[illegible]

Cl. Sem.
A 175 3
DEPARTMENTAL LIBRARY.
UNIVERSITY OF TORONTO LIBRARY

# APPIANI

## ROMANARVM HISTORIARVM

VOLVMINIS PRIMI

*PARS II.*

FRAGMENTA EX HISTOR. MACEDON.

HISTORIA ROMANORVM SYRIACA

MITHRIDATICA ILLYRICA.

PA
3873
A2
1785½
v.1
pt.2

4753

6

## ΕΚ ΤΗΣ
# ΤΩΝ ΑΠΠΙΑΝΟΥ ΡΩΜΑΙΚΩΝ
## ΒΙΒΛΟΥ Θʹ.
# ΤΗΣ ΜΑΚΕΔΟΝΙΚΗΣ.

### I. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Ὅτι Ῥωμαῖοι τοῦ Φιλίππου τοῦ Μακεδόνος, τοῦ πολεμήσαντος αὐτοῖς, πέρι, πάμπαν ἐπολυπραγμόνουν οὐδέν· οὐδὲ σφίσιν ἐνθύμιος ἦν ὅλως· πονουμένης ἔτι τῆς Ἰταλίας ὑπὸ Ἀννίβου τοῦ Καρχηδονίων στρατηγοῦ, καὶ αὐτοὶ μεγάλοις στρατοῖς Λιβύην καὶ Καρχηδόνα καὶ Ἰβηρίαν περικαθήμενοι, καὶ καθιστάμενοι Σικελίαν. Αὐτὸς 539.
δὲ Φίλιππος ἀρχῆς ἐπιθυμίᾳ μείζονος, οὐδέν τι προπαθών, ἔπεμπε πρὸς Ἀννίβαν ἐς τὴν Ἰταλίαν πρέσβεις, ὧν ἡγεῖτο Ξενοφάνης, ὑπισχνούμενος αὐτῷ συμμαχήσειν ἐπὶ

*Lin. 7 sq.* προπαθῶν *Edd. vit.*

## EX APPIANI
# ROMANARUM HISTORIARUM
## LIBRO IX.
# DE REBUS MACEDONICIS
## EXCERPTA AC FRAGMENTA.

### I. *Excerptum* XIX. *de* LEGATIONIBUS.

Nihil omnino negotii Romanis cum *Philippo* Macedone, qui bellum eis facere adgressus est, habuerant; ac de eo ne cogitaverant quidem. Nam & Italia etiam tum ab Annibale, Carthaginiensium duce, premebatur; & Romani Africam & Carthaginem & Hispanias ingentibus exercitibus obsidebant, & in redigenda Sicilia occupati erant. Sed ipse *Philippus*, augendi imperii cupiditate ductus, nulla injuria a Romanis lacessitus, *legatos ad Annibalem* in Italiam *misit*, quorum princeps erat *Xenophanes*; Annibalique pollicitus est: *se illi adversus Italiam auxilia missu-*

A. U. 539. τὴν Ἰταλίαν, εἰ κἀκεῖνος αὐτῷ σύνθοιτο κατεργάσασθαι τὴν Ἑλλάδα. Συμβάντος δ᾽ ἐνταῦθα τοῦ Ἀννίβου, καὶ ἐπὶ τῇ συνθήκῃ ὀμόσαντος, πρέσβεις τε ἀντιπέμψαντος ἐπὶ τοὺς ὅρκους τοῦ Φιλίππου· Ῥωμαίων τριήρης ἔλαβε τοὺς ἑκατέρων πρέσβεις ἀναπλέοντας, καὶ ἐς Ῥώμην ἐκόμισεν. ἐφ᾽ ᾧ Φίλιππος ἀγανακτῶν, Κερκύρᾳ προσέβαλεν, ἣ Ῥωμαίοις συνεμάχει.

## II. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

546 *sqq.* Ὅτι Πτολεμαίου τοῦ βασιλεύοντος Αἰγύπτου πρέσβεις, καὶ σὺν αὐτοῖς ἕτεροι, παρά τε Χίων, καὶ Μιτυληναίων, καὶ Ἀμυνάνδρου, τοῦ Ἀθαμάνων βασιλέως, δὶς, ἔνθαπερ οἱ Αἰτωλοὶ τὰς πόλεις ἐπισκεψομένας ἐκάλουν, συνῆλθον ἐπὶ διαλλαγῇ Ῥωμαίων καὶ Αἰτολῶν καὶ Φιλίππου. Σουλπικίου δ᾽ εἰπόντος, οὐκ εἶναι κυρίου περὶ τῆς εἰρήνης τι κρῖναι, καὶ ἐς τὴν βουλὴν κρύφα ἐπιστέλλοντος, ὅτι Ῥωμαίοις συμφέρει πολεμεῖν Αἰτωλοὺς Φιλίππῳ· ἡ

*Lin.* 10. *an* κατεργάσεσθαι? *L.* 11. *pro* ἐνταῦθα *legendum* ἐς ταῦτα *puto. Articulum* τοῦ *ex Bav. recepi. L.* 12. ὀμώσαντος *Edd. duplici errore.*

rum; *si Annibal regi operam suam ad subjiciendam ei Græciam spopondisset.* Quam conditionem quum accepisset *Annibal*, atque, fœdere juramento sancito, legatos in vicem ad *Philippum* misisset, qui a rege jusjurandum acciperent; Romanorum triremis legatos utriusque in alto navigantes intercepit, Romamque deportavit. Quod ægerrime ferens *Philippus*, *Corcyræ*, Romanorum sociæ, intulit bellum.

## II. *Excerptum* XX. *de* LEGATIONIBUS.

Ab rege Ægypti *Ptolemæo*, *Chiisque* & *Mitylenæis*, & *Amynandro*, rege Athamanum, bis iis locis, in quæ ad consultandum Ætoli vocaverant civitates, legati convenerunt ad dirimendum inter *Philippum* atque *Ætolos Romanosque* bellum. Sed quum SULPICIUS, *in sua non esse potestate*, dixisset, *de pace quidquam statuere*, scripsissetque clam ad senatum, *e re Romanorum esse*, *ut Ætoli cum Philippo in bello perseverarent*; vetuit senatus bel-

μὲν βουλὴ τὰς συνθήκας ἐκώλυσε, καὶ τοῖς Αἰτωλοῖς ἔπεμπε συμμαχίαν, πεζοὺς μυρίους, καὶ ἱππέας χιλίους. A. U. 546 sqq. μεθ᾽ ὧν οἱ Αἰτωλοὶ κατέλαβον Ἀμβρακίαν, ἣν οὐ πολὺ ὕστερον αὐτῶν Φίλιππος ἀποπλευσάντων ἀνέλαβεν. Οἱ δὲ πρέσβεις αὖθις συνῆλθον, καὶ πολλὰ φανερῶς ἔλεγον, ὅτι Φίλιππος καὶ Αἰτωλοὶ, διαφερόμενοι, τοὺς Ἕλληνας ἐς δουλείαν Ῥωμαίοις ὑποβάλλουσιν, ἐθίζοντες αὐτοὺς τῆς Ἑλλάδος θαμινὰ πειρᾶσθαι. Ἐφ᾽ οἷς ὁ μὲν Σουλπίκιος ἀντιλέξων ἀνίστατο· τὸ δὲ πλῆθος οὐκ ἤκουσεν, ἀλλ᾽ ἐκεκράγεσαν, τοὺς πρέσβεις εὖ λέγειν.

II. Καὶ τέλος Αἰτωλοί τε πρῶτοι, κατὰ σφᾶς, ἄνευ 549. Ῥωμαίων, Φιλίππῳ συνέβησαν· καὶ πρέσβεις αὐτοῦ Φιλίππου καὶ Ῥωμαίων ἐπὶ διαλλαγαῖς ἀφίκοντο ἐς Ῥώμην. καὶ ἐγένοντο συνθῆκαι Ῥωμαίοις καὶ Φιλίππῳ· Μηδετέρους ἀδικεῖν τοὺς ἑκατέρωθεν φίλους. Ἐς μὲν δὴ τοῦτ᾽ ἔληξεν ἡ Φιλίππου καὶ Ῥωμαίων ἐς ἀλλήλους πεῖρα πρώτη. καὶ τὰς συνθήκας οὐδέτεροι βεβαίους, οὐδ᾽ ἀπ᾽ εὐνοίας, ἐδόκουν πεποιῆσθαι.

*Lin.* 40. πεῖρα, πρῶτα. *Edd. Rectius Bav.* *L.* 42. ἐδόκουν περιποιῆσθαι *Bav. male.*

lum componere, & auxilia Ætolis misit, mille equites, decem peditum millia. Horum ope *Ambraciam* ceperunt Ætoli; sed eamdem post eorum discessum mox recepit Philippus. Rursus dein convenere legati, ac multis verbis palam conquesti sunt, *Philippum Ætolosque suis dissidiis Græcos servituti subjicere Romanorum, quippe quos ad tentandam frequenter Græciam adsuefacerent.* Ad hæc quum responsurus *Sulpicius* surrexisset; a nemine est auditus: clamantibus omnibus, *verum dixisse Legatos.*

2. Denique vero *Ætoli* priores, per se, re cum Romanis non communicata, *pacem cum Philippo fecerunt.* Moxque & ab ipso Philippo & Romano imperatore legati de pace Romam missi sunt. Et convenit *pax inter Romanos Philippum*que in hanc conditionem: „ut neutra pars amicos alterius infestaret.” Hic exitus fuit primæ Romanorum cum Philippo contentionis. Sed satis adparebat, neutram partem firmiter observaturam illam pacis conditionem, neutramque bona voluntate eam iniisse.

A. U. 554.

## III. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Ὅτι μετ' οὐ πολὺ Φίλιππος μὲν, τῶν ὑπηκόων τοῖς ἐπὶ θαλάσσης στόλον ἐπαγγείλας, Σάμον καὶ Χίον εἷλε, καὶ μέρος τῆς Ἀττάλου γῆς ἐπόρθησεν. καὶ αὐτῆς ἀπεπείρασε Περγάμου, μὴ φειδόμενος ἱερῶν ἢ τάφων· τήν τε Ῥοδίων Περαίαν ἐδῄου, διαλλακτήρων οἱ γεγονότων· καὶ ἑτέρῳ μέρει στρατοῦ τὴν Ἀττικὴν ἐλυμαίνετο, καὶ τὰς Ἀθήνας ἐπολιόρκει, ὡς οὐδενὸς τῶνδε Ῥωμαίοις προσηκόντων. λόγος τε ἦν, ὅτι Φίλιππος καὶ Ἀντίοχος ὁ Σύρων βασιλεὺς ὑπόσχοιντο ἀλλήλοις· Ἀντιόχῳ μὲν ὁ Φίλιππος, συστρατεύσειν ἐπί τε Αἴγυπτον, καὶ ἐπὶ Κύπρον, ὧν τότε ἦρχεν ἔτι παῖς ὢν Πτολεμαῖος ὁ τέταρτος, ᾧ Φιλοπάτωρ ἐπώνυμον ἦν· Φιλίππῳ δὲ Ἀντίοχος, ἐπὶ Κυρήνην καὶ τὰς Κυκλάδας νήσους καὶ Ἰωνίαν. Καὶ τήνδε τὴν δόξαν, ἐκταράσσουσαν ἅπαντας, Ῥόδιοι μὲν Ῥωμαίοις ἐμήνυσαν. Ἐπὶ δὲ τοῖς Ῥοδίων, Ἀθηναίων πρέσβεις ᾐτιῶντο Φίλιππον τῆς πολιορ-

*Lin.* 53. ἐπώνυμος *Bav. male.* *L.* 56. Ῥόδιοι δὲ *Bav. perperam.* *L.* 57. Ἀθηναίων πρέσβεις. ᾐτιῶντο δὲ Φιλ. *Edd. Prætuli Bav.*

## III. *Excerptum* XXI. *de* LEGATIONIBUS.

Non multo post, *Philippus*, populis maritimis, qui ei parebant, imperata classe, *Samum Chium*que cepit, & partem regni *Attali* devastavit. Ipsamque etiam *Pergamum* tentavit, neque templis neque sepulcris parcens; & *Rhodiorum Peræam* depopulatus est, qui conciliatores ei pacis fuerant; simulque alia cōpiarum suarum parte Atticam vastavit, *Athenas*que obsessam tenuit: tamquam ista omnia nihil ad Romanos pertinerent. Famaque percrebuerat, inter *Philippum* & *Antiochum*, Syriæ regem, convenisse: „ ut Philippus Antiocho contra Ægyptum Cyprumque, quibus tunc *Ptolemæus quartus*, *Philopator* cognomine, puer adhuc, regnabat, auxilia mitteret; Antiochus autem Philippo contra Cyrenen, insulasque Cyclades, & Joniam." Eamque famam, quæ omnes valde conturbavit, *Rhodii* Romanis retulerunt. Post Rhodiorum vero legatos auditi sunt *legati Atheniensium*, de obsidione, qua Athenas premebat Philippus, conquerentes. *Ætoli*que, quos

κίας. Καὶ Αἰτωλοὶ, μεταγιγνώσκοντες, κατηγόρουν, ὡς καὶ περὶ σφᾶς ἀπίστου γεγονότος· ἠξίουν τε, αὖθις ἐς τοὺς Ῥωμαίων συμμάχους ἐγγραφῆναι. Ῥωμαῖοι δ᾽ Αἰτωλοῖς ἐμέμψαντο τῆς οὐ πρὸ πολλοῦ μεταβολῆς. πρέσβεις δ᾽ ἐς τοὺς βασιλέας ἔπεμπον· οἳ προηγόρευον αὐτοῖς, Ἀντίοχον μὲν Αἰγύπτῳ μὴ ἐπιχειρεῖν, Φίλιππον δὲ μηδὲν ἐς Ῥοδίους, ἢ Ἀθηναίους, ἢ Ἄτταλον, ἢ ἐς ἄλλον τινὰ Ῥωμαίων φίλον ἁμαρτάνειν. Τούτοις ὁ Φίλιππος ἀπεκρίνατο, Ῥωμαίοις ἕξειν καλῶς, ἂν ἐμμένωσιν ᾗ συνέθεντο πρὸς αὐτὸν εἰρήνῃ. Οὕτω μὲν αἱ γενόμεναι σπονδαὶ ἐλέλυντο· καὶ στρατιὰ Ῥωμαίων ἐς τὴν Ἑλλάδα ἠπείγετο, στρατηγοῦντος Ποπλίου, καὶ ναυαρχοῦντος Λευκίου. *A. U.* 554.

## IV. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Ποιμὴν ὑπέσχετο, στρατὸν εὔζωνον ἄξειν ὁδὸν ἀτριβῆ τρισὶν ἡμέραις. 555.

*Lin.* 68. ἐπείγετο *Bav. forte ex* ἐπήγετο *deflexum, quod præferendum videtur.*

pœnitebat capti consilii, & ipsi de rege conquesti sunt, quod & secum perfide egisset: petiveruntque, ut in sociorum Romanorum numerum iterum reciperentur. *Romani* autem, objurgatis Ætolis propter nuperam defectionem, legatos miserunt ad Reges: *ad Antiochum* quidem, qui eum vetarent invadere Ægyptum; *ad Philippum* vero, qui ei edicerent, ut bello adversus Rhodios, aut Athenienses, aut Attalum, aut ullum ex sociis populi Romani, abstineret. Quibus *Philippus* respondit: „ bene fore Romanis, si ipsi, fœderum memores, secum servaverint pacem. " Ita quidem pax soluta est; & protinus, exercitus Romanorum in Græciam trajecit, imperatore *Publio* (*Sulpicio*), & classi præfecto *Lucio* (Apustio).

## IV. *Apud* SUIDAM: *voce* ΕΥΖΩΝΟΣ.

Pastor promisit *T. Quintio*, se copias expeditas per callem intra triduum esse perducturum.

## V. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

A. U. 556. Ὅτι Λεύκιος Κοΐντιος ἐς τὸν τῶν Ἀχαιῶν σύλλογον ἀπέστειλε πρέσβεις, οἱ μετὰ Ἀθηναίων καὶ Ῥοδίων ἔπειθον αὐτοὺς, μεταθέσθαι πρὸς σφᾶς ἀπὸ τοῦ Φιλίππου, αἰτοῦντος βοήθειαν ἐς συμμάχους. Οἱ δὲ ἐνοχλούμενοι μὲν οἰκείῳ καὶ γείτονι πολέμῳ Νάβιδος τοῦ Λακεδαιμονίων τυράννου, διεστῶτες δὲ ταῖς γνώμαις, ἠπόρουν· καὶ οἱ πλείονες ᾑροῦντο τὰ Φιλίππου, καὶ ἀπεστρέφοντο Ῥωμαίους διά τινα ἐς τὴν Ἑλλάδα Σουλπικίου τοῦ στρατηγοῦ παρανομήματα. ἐγκειμένων δὲ βιαίως τῶν ῥωμαϊζόντων, οἱ πολλοὶ τῆς ἐκκλησίας ἀπεχώρουν δυσχεραίνοντες· καὶ οἱ λοιποὶ, διὰ τὴν ὀλιγότητα ἐκβιασθέντες, συνέθεντο τῷ Λευκίῳ, καὶ εὐθὺς ἠκολούθουν ἐπὶ Κόρινθον, μηχανήματα φέροντες.

## VI. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

557. Ὅτι Φλαμινῖνος αὖθις συνῆλθεν ἐς λόγους Φιλίππῳ,

*Lin.* 72. Κάντος *pro* Κοίντιος *erat in MS. Urs.* In Cod. Bav. desideratur totum hoc Excerptum. *L.* 74 *sq.* αἰτῶν *MS. In* αἰτοῦντος *mutavit Ursinus.* *L.* 85. Φλαμίνιος *Bav. constanter. Forte & MS. Ursini. Certe & in* Lib. Syriac. *omnes MSS. cum Edd. constanter dant* Φλαμίνιος.

## V. *Excerptum* XXII. *de* LEGATIONIBUS.

*L. Quintius* ad *concilium Achæorum* legatos misit, qui una cum Athenienſibus Rhodiiſque hortati ſunt illos, *ut ad Romanos deficerent a Philippo,* qui auxilia ab illis adverſus ſocios peteret. Illi vero, domeſtico bello ac vicino *Nabidis*, Lacedæmoniorum tyranni, infeſtati, & ſententiis diviſi, hæſitabant: & plerique præferebant Philippi ſocietatem, adverſabanturque Romanos, ob nonnullas a Sulpicio, ſuperiori imperatore, Græcis illatas injurias. Quum vero acriter inſtarent hi, quibus Romanorum placebant partes; plerique, ægre ferentes, exceſſerunt concilio: & reliqui, ob paucitatem cedere coacti, *ſocietatem iniere cum Lucio*, & ſtatim eum ad Corinthum ſecuti ſunt, machinaſque urbi admoverunt.

## VI. *Excerptum* XXIII. *de* LEGATIONIBUS.

*Flamininus* iterum in *colloquium* convenit cum *Philip-*

κατὰ τὸν Μηλιέα κόλπον· ἔνθα κατηγορούντων τοῦ Φιλίππου Ῥωμαίων καὶ Αἰτωλῶν, καὶ Ἀμυνάνδρου τοῦ Ἀθαμᾶνος, ἐκέλευσε Φίλιππον ἐξάγειν τὰς φρουρὰς ἐκ Φωκίδος· καὶ πρέσβεις ἐς Ῥώμην ἀμφοτέρους ἀποστεῖλαι. γενομένων δὲ τούτων, οἱ μὲν Ἕλληνες ἐν τῇ βουλῇ τῇ Ῥωμαίων ἠξίουν, τὸν Φίλιππον ἐξαγαγεῖν ἐκ τῆς Ἑλλάδος τὰς τρεῖς φρουρὰς, ἃς αὐτὸς πέδας ἐκάλει τῆς Ἑλλάδος· τὴν μὲν ἐν Χαλκίδι, Βοιωτοῖς καὶ Εὐβοεῦσι καὶ Λοκροῖς ἐπικειμένην· τὴν δὲ ἐν Κορίνθῳ, καθάπερ ἐν πύλαις τὴν Πελοπόννησον ἀποκλείουσαν· καὶ τρίτην ἐν Δημητριάδι, τὴν Αἰτωλοῖς καὶ Μάγνησιν ἐφεδρεύουσαν. Ἡ δὲ βουλὴ τοὺς Φιλίππου πρέσβεις ἤρετο· τί φρονοίη περὶ τῶνδε τῶν φρουρῶν ὁ βασιλεύς; Ἀποκριναμένων δὲ, ἀγνοεῖν· Φλαμινῖνον, ἔφη, κρινεῖν, καὶ πράξειν ὅ τι ἂν δίκαιον ἡγεῖται. Οὕτω μὲν οἱ πρέσβεις ἐκ Ῥώμης ἐπανῆεσαν. Φλαμινῖνος δὲ καὶ Φίλιππος ἐς οὐδὲν συμβαίνοντες ἀλλήλοις, αὖθις ἐς πόλεμον καθίσταντο.

A. U. 557.

*Lin.* 86. Μιλιέα *Edd. vitiose.* *L.* 87. Ῥοδίων *pro* Ῥωμαίων *puto legendum.* *Ibid. sq.* Ἀθάμανος *Bav.* *L.* 89. *Verba* ἐς Ῥώμην, *quæ desunt in Edd. dedit Bav.* *L.* 97. εἴρετο *Edd.* *Ibid. sq.* περὶ τῶν φρουρῶν *Edd.* περὶ τῶνδε φρουρῶν *MS. Urs. & Bav. Conjungendam utramque lectionem duxi.* *L.* 99. κρίνειν *Edd. & Bav. Mutavi accentum.*

*po*, in ſinu Maliaco. Ibi quum de Philippo conquererentur *Rhodii*, & *Ætoli*, & *Amynander* rex *Athamanum*; Flamininus Philippum, præſidia deducere ex Phocide, utramque autem partem, legatos mittere Romam, juſſit. Quod ubi illi fecerunt; Græci apud ſenatum Romanum poſtularunt, ut e Græcia Philippus tria illa præſidia educeret, quæ *compedes Græciæ* adpellare ille conſueverat; unum *Chalcide*, quod Bœotis & Eubœenſibus & Locris immineret; alterum *Corintho*, Peloponneſum tamquam porta claudens; tertium *Demetriade*, Ætolos Magneteſque velut ex inſidiis obſervans. Senatus vero, quum interrogati legati Philippi, *quid de illis præſidiis ſentiret rex?* „ſe neſcire” reſpondiſſent; *Flamininus*, inquit, *judicabit*; *et*, *quod æquum cenſebit*, *faciet*. Sic legati Roma reverſi ſunt. Et Flamininus Philippuſque, quum de conditionibus inter eos non conveniſſet, ad arma redierunt.

## VII. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

A. U. 557. Ὅτι ἡττηθεὶς πάλιν ὁ Φίλιππος, περὶ συμβάσεων ἐπεκηρυκεύετο πρὸς Φλαμινῖνον. ὁ δ᾽ αὖθις αὐτῷ συνελθεῖν ἐς λόγους συνεχώρει· πολλὰ μὲν τῶν Αἰτωλῶν δυσχεραινόντων, καὶ διαβαλλόντων αὐτὸν ἐς δωροδοκίαν, καὶ καταγιγνωσκόντων τῆς ἐς ἅπαντα εὐχεροῦς μεταβολῆς· ἡγούμενος δ᾽, οὔτε Ῥωμαίοις συμφέρειν, οὐδὲ τοῖς Ἕλλησι, Φιλίππου καθαιρεθέντος, ἐπιπολάσαι τὴν Αἰτωλῶν βίαν. τάχα δ᾽ αὐτὸν καὶ τὸ παράδοξον τῆς νίκης ἀγαπᾷν ἐποίει. συνθέμενος δὲ χωρίον, οἷ τὸν Φίλιππον ἐπελθεῖν ἔδει, τοὺς συμμάχους ἐκέλευσε γνώμην προαποφήνασθαι κατὰ πόλεις. τὰ μὲν δὴ παρὰ τῶν ἄλλων φιλάνθρωπα ἦν, τό τε τῆς τύχης ἄδηλον, ἐξ ὧν ἔπαθεν ὁ Φίλιππος, ὑφορωμένων, καὶ τὸ πλαῖσμα τοῦτο

οὐ κατ᾽

*Lin. 5. Iterum* Φλαμίνιον *Bav. per totum hoc Excerpt. L. 6 & 7. verba* πολλὰ μὲν - - δωροδοκίαν *parentheſi includunt Edd. Poſt* δωροδοκίαν *autem dant* καταγινώσκων, *& omittunt* καὶ, *Edd. & MSS. Emendationem, qua indigebat locus, quum in promtu eſſet, non dubitavi adhibere. L. 8.* εὐχαιρεοῦς *Edd. L. 10. correxi vit.* ἐπιπολαῦσαι. *L. 12. pro* ἐποίει *cogitaveram* ἐπῄει: *Sed ſic paulo ante pro* δ᾽ αὐτὸν *reponendum foret* δ᾽ αὐτῷ. *Ibid.* ἢ τὸν Φιλ. *Edd.* οἱ *dederunt MSS. Adjeci accentum. L. 13.* ἐκέλευε *Bav.*

## VII. *Excerptum* XXIV. *de* LEGATIONIBUS.

Victus (*ad Cynoſcephalas*) *Philippus*, rurſus caduceatores de pace ad *Flamininum* miſit. Et Flamininus iterum poteſtatem ei ſecum *colloquendi* fecit; ægerrime quidem id ferentibus *Ætolis*, & regiis donis corruptum calumniantibus, & *de ſubita ejus conſiliorum mutatione conquerentibus.* Sed ille, neque Romanis utile eſſe, neque Græcis, cenſebat, ſi, ſublato Philippo, dominaretur Ætolorum violentia. Ac fortaſſe ipſius quoque victoriæ inſperata magnitudo fecerat, ut ea contentus eſſe vellet *Quintius.* Conſtituto igitur loco, quo conveniret Philippus; priuſquam advenit tempus, convocatis ſociis, juſſit quemque populum ſententiam ſuam exponere. Et ceterorum quidem benigna oratio fuit, incerta fortunæ, exemplo eorum, quæ Philippus perpeſſus fuerat, ſuſpecta habentium; exiſti-

mantiumque

οὐ κατ' ἀσθένειαν, ἀλλὰ πλέον ἐκ συντυχίας αὐτὸν παθεῖν ἡγουμένων. Ἀλέξανδρος δὲ ὁ τῶν Αἰτωλῶν πρόεδρος, ἀγνοεῖν, ἔφη, τὸν Φλαμινῖνον, ὅτι μηδὲν ἄλλο μήτε Ῥωμαίοις μήθ' Ἕλλησι συνοίσει, πλὴν ἐξαιρεθῆναι τὴν ἀρχὴν τὴν Φιλίππου. Ὁ δὲ, Ἀλέξανδρον ἀγνοεῖν, ἔφη, τὴν Ῥωμαίων φύσιν· οἳ οὐδένα ποτὲ τῶν ἐχθρῶν εὐθὺς ἀπ' ἀρχῆς ἀνέτρεψαν, ἀλλὰ πολλῶν ἐς αὐτοὺς ἁμαρτόντων, καὶ Καρχηδονίων ἔναγχος, ἐφείσαντο, τὰ σφέτερα αὐτοῖς ἀποδόντες, καὶ φίλους ποιησάμενοι τοὺς ἠδικηκότας. Ἀγνοεῖς δ', ἔφη, καὶ τοῦθ', ὅτι τοῖς Ἕλλησιν ἔθνη πολλὰ, ὅσα βάρβαρα τὴν Μακεδονίαν περικάθηται, εἴ τις ἐξέλοι τοὺς Μακεδόνων βασιλέας, ἐπιδραμεῖται ῥᾳδίως. ὅθεν ἐγὼ δοκιμάζω, τὴν μὲν ἀρχὴν ἐᾶν τῶν Μακεδόνων, προπολεμεῖν ὑμῶν πρὸς τοὺς βαρβάρους· Φίλιππον δὲ ἐκστῆναι τοῖς Ἕλλησιν, ὧν πρότερον ἀντέλεγε χωρίων, καὶ Ῥωμαίοις ἐς τὴν τοῦ πολέμου δαπάνην ἐσενεγκεῖν τάλαντα

A. U. 557.

*Lin.* 20. συνοίσειν *MSS.* *Ibid. sq.* τὴν ἀρχ. τοῦ Φιλ. *Bav.* *L.* 21. Ἀλέξανδρος *Bav. male.* *L.* 22. οἱ οὐδὲν ἀπὸ τῶν *MSS.* *Pro* οὐδένα ποτὲ, *possis &* οὐδένα πω *reponere.* *Ibid. sq.* ἀπ' ἀρχῆς ἀνέγραψαν *MSS.*

mantiumque, ipſam illam cladem non tam ex infirmitate, quam adverſo quodam caſu fortunæ, accidiſſe regi. *Alexander* autem, princeps *Ætolorum*: „ neſcire, ajebat, *Flamininum*, nihil aliud neque Romanis, neque Græcis profuturum, niſi ut deleatur regnum Philippi." Ad quæ QVINTIVS: „ neſcire *Alexandrum*, inquit, morem Romanorum: qui nullum umquam hoſtem initio ſtatim delevisſent; ſed multis ſæpe, a quibus fuiſſent injuria laceſſiti, & nuper Carthaginienſibus, peperciſſent, ſua eis redden„ tes, & ſocios ſibi jungentes hos, qui iniqua adverſus ipſos patraſſent. Sed nec illud (inquit) tu conſideras, barbarorum gentium magnum numerum, quotquot Macedoniam circum attingunt, ſi quis Macedonum reges tollat, in Græciam facile ſe effuſuras. Quare ego relinquendum Macedonum regnum, arbitror, ut vos illi adverſus barbaros tueantur; *Philippum* autem jubendum cenſeo, Græcis reddere loca ea, quibus cedere adhuc recuſavit, & populo Romano pro belli ſumtibus pendere ducenta talenta, fili-

A. U. διακόσια, ὅμηρά τε δοῦναι τὰ ἀξιολογώτατα, καὶ τὸν υἱὸν αὐτοῦ Δημήτριον· μέχρι δὲ ταῦθ᾽ ἡ σύγκλητος ἐπικυρώσει, τετραμήνους ἀνοχὰς γενέσθαι.

558. II. Δεξαμένου δὲ πάντα τοῦ Φιλίππου, τὴν μὲν εἰρήνην ἡ βουλὴ μαθοῦσα ἐπεκύρωσε· τὰς δὲ προτάσεις τὰς Φλαμινίνου σμικρύνασα καὶ φαυλίσασα, ἐκέλευσε τὰς πόλεις ὅσαι ἦσαν Ἑλληνίδες ὑπὸ Φιλίππῳ, πάσας ἐλευθέρας εἶναι, καὶ τὰς φρουρὰς ἀπ᾽ αὐτῶν Φίλιππον ἐξαγαγεῖν πρὸ τῶν ἐπιόντων Ἰσθμίων· ναῦς τε ὅσας ἔχει, χωρὶς ἑξήρους μιᾶς καὶ σκαφῶν πέντε καταφράκτων, παραδοῦναι τῷ Φλαμινίνῳ· καὶ ἀργυρίου τάλαντα Ῥωμαίοις ἐσενεγκεῖν πεντακόσια μὲν αὐτίκα, πεντακόσια δὲ ἐν ἔτεσι δέκα, ἑκάστου τὸ μέρος ἔτους ἐς Ῥώμην ἀναφέροντα· ἀποδοῦναι δὲ καὶ αἰχμάλωτα καὶ αὐτόμολα αὐτῶν, ὅσα ἔχοι. Τάδε μὲν ἡ βουλὴ προσέθηκε, καὶ Φίλιππος ἐδέξατο ἅπαντα· ᾧ καὶ μάλιστα ἡ σμικρολογία Φλαμινίνου καταφανὴς ἐγένετο. Συμβούλους δ᾽ ἔπεμπον αὐτῷ καθάπερ εἰώθεσαν ἐπὶ τοῖς λήγουσι πολέμοις

*Lin.* 44. ἐπενεγκεῖν *Bav.* *L.* 45. ἐν *caret Bav. bene.*

oſque familias nobiliſſimos, & in his *filium* ſuum *Demetrium*, obſides tradere: interim, quoad hæ conditiones fuerint a ſenatu confirmatæ, quatuor menſium inducias dandas."

2. Et ea quidem omnia rex recepit. *Senatus* autem, re intellecta, pacem quidem ratam habuit; ſed conditiones Flaminini, velut juſto tenuiores, aſpernatus, *has pacis leges* eſſe voluit: „ Omnes Græcorum civitates, quæ ſub ditione Philippi fuiſſent, liberæ eſſent; & præſidia ex his ante proxima *Iſthmia* rex deduceret: naves, quotquot haberet, excepta una, quæ ſex verſibus remorum agebatur, & quinque minoribus navibus tectis, Flaminino traderet: talenta argenti Romanis quingenta præſentia daret; & alia quingenta æquis penſionibus decem annorum Romam mitteret: captivos & transfugas redderet, quotquot haberet." Has conditiones, a ſenatu adjectas, & ipſas rex cunctas accepit: quo magis etiam adparebat, nimis tenues fuiſſe illas, quas *Flamininus* tulerat. Decem autem legati, ut fieri ſolebat perfectis bellis, miſſi ſunt a ſenatu ad Flamini-

δέκα ἄνδρας, μεθ' ὧν αὐτὸν ἔδει τὰ εἰλημμένα καθίστα- A. U.
σθαι· καὶ τάδε μὲν διετίθετο σὺν ἐκείνοις. αὐτὸς δ' ἐς 558.
τὸν τῶν Ἰσθμίων ἀγῶνα ἐπελθὼν, πληθύοντος τοῦ σταδίου, σιωπήν τε ἐσήμηνεν ὑπὸ σάλπιγγι, καὶ τὸν κήρυκα ἀνειπεῖν ἐκέλευσεν· Ὁ δῆμος ὁ Ῥωμαίων, καὶ ἡ σύγκλητος, καὶ Φλαμινῖνος ὁ στρατηγὸς, Μακεδόνας καὶ βασιλέα Φίλιππον ἐκπολεμήσαντες, ἀφιᾶσι τὴν Ἑλλάδα ἀφρούρητον, ἀφορολόγητον, ἰδίοις ἤθεσι καὶ νόμοις χρῆσθαι. Πολλῆς δ' ἐπὶ τούτῳ βοῆς καὶ χαρᾶς γενομένης, θόρυβος ἥδιστος ἦν, ἑτέρων μεθ' ἑτέρους τὸν κήρυκα καὶ παρὰ σφᾶς ἀνειπεῖν μετακαλούντων. στεφάνους τε καὶ ταινίας ἐπέβαλον τῷ στρατηγῷ, καὶ ἀνδριάντας ἐψηφίζοντο κατὰ πόλεις. πρέσβεις τε, μετὰ χρυσῶν στεφάνων, ἔπεμπον ἐς τὸ Καπιτώλιον, οἱ χάριν ὡμολόγουν, καὶ ἐς τοὺς Ῥωμαίων συμμάχους ἀνεγράφοντο. καὶ δεύτερος ὅδε πόλεμος Ῥωμαίοις τε και Φιλίππῳ ἐς τοῦτο ἐτελεύτα.

III. Οὐ πολὺ δὲ ὕστερον καὶ συνεμάχησε Ῥωμαίοις ὁ 564.

*Lin. 57.* ἀφιῆσι *Edd.* ἀφίασι *Bav. quod in* ἀφιᾶσι *mutavi.* *L. 58.* ἔθεσι *puto legendum.*

num, ex quorum consilio res victoria quæsitas ordinaret. Quibus rite constitutis, *Isthmiorum ludicrum* obiit *Quintius*; & referto hominibus stadio, tuba silentio facto, præconem hæc pronunciare jubet: *Senatus populusque Romanus, et Flamininus imperator, debellatis Macedonibus Philippoque rege, Græciam externis præsidiis liberam esse jubent, et immunem, suis institutis legibusque viventem."* Qua exaudita voce, plausus & gaudium, lætissimusque strepitus coortus est; & omnes passim ad se revocabant præconem, ut apud se quoque pronunciantem præconium audirent; & coronas & lemniscos in imperatorem jaciebant, statuasque ei erigendas oppidatim decernebant. Legatos quoque cum aureis coronis in Capitolium miserunt, qui publice gratias agerent, & in tabulas sociorum Romani populi nomina civitatum suarum inscriberent. Atque hunc *exitum* habuit *secundum Romanorum bellum cum Philippo.*

3. Non multo post autem auxilium etiam tulit Romanis

A. U. 564. Φίλιππος ἐν τῇ Ἑλλάδι κατὰ Ἀντιόχου βασιλέως· περῶντάς τε ἐπὶ Ἀντίοχον ἐς τὴν Ἀσίαν διὰ Θρᾴκης καὶ Μακεδονίας ὁδὸν οὐκ εὐμαρῆ, παρέπεμπεν οἰκείοις τέλεσι καὶ τροφαῖς καὶ δαπανήμασιν, ὁδοποιῶν, καὶ ποταμοὺς δυσπόρους ζευγνὺς, καὶ τοὺς ἐπικειμένους Θρᾷκας διακόπτων, ἕως ἐπὶ τὸν Ἑλλήσποντον ἤγαγεν. Ἐφ᾽ οἷς ἡ μὲν βουλὴ τὸν υἱὸν αὐτῷ Δημήτριον παρὰ σφίσιν ὁμηρεύοντα ἀπέλυσε, καὶ τῶν χρημάτων ἀφῆκεν, ὧν ἔτι ὤφειλεν. Οἱ δὲ Θρᾷκες οἵδε Ῥωμαίους, ἀπὸ τῆς ἐπ᾽ Ἀντιόχῳ νίκης ἐπανιόντας, οὐκ ἔτι Φιλίππου παρόντος, τήν τε λείαν ἀφείλοντο, καὶ πολλοὺς διέφθειραν· ᾧ καὶ μάλιστα ἐπεδείχθη ὅσον αὐτοὺς ἀπιόντας ὤνησεν ὁ Φίλιππος.

571. IV. Ἐκτελεσθέντος δὲ - - -, πολλοὶ κατηγόρουν τοῦ Φιλίππου, τὰ μὲν ἀδικεῖν αὐτὸν, τὰ δὲ οὐ ποιεῖν, ὧν ὥρισε

*Lin.* 70 *sq.* παρέπεμπον, *Bav. sequente hypostigme: nescio, an pro* παραπέμπων. *Post* τέλεσι *distinxit Ursinus, non post* δαπανήμασι. *Mihi non satis planus iste locus. L.* 79. ὅσον αὐτοῦ ἀπιόντος *Edd. & MSS. quod ex facili conject. correxi. L.* 80. *Ubi signum lacunæ posui, deesse aliquid perspecte viderat Ursinus: ex cujus conjectura in Editis adjecta sunt verba* τοῦ κηρύγματος. *Mallem* τοῦ κατὰ τὸν Ἀντίοχον πολέμου, *aut nescio quid aliud.*

*Philippus* in Græcia *contra* regem *Antiochum*; eosdemque, quum adversus Antiochum in Asiam trajicerent, difficili itinere, per Macedoniam Thraciamque, suis sumtibus prosecutus est, & commeatus exercitui suppeditavit, suisque impensis vias communivit, & fluvios trajectu difficiles pontibus junxit; & disjiciens incumbentes Thracas, *usque ad Hellespontum Romanos perduxit.* In cujus officii gratiam senatus ei & filium *Demetrium*, qui obses Romæ erat, & pecuniam, quam adhuc Philippus debebat, remisit. Iidem vero Thraces redeuntibus deinde a victoria de Antiocho reportata Romanis, quum jam Philippus non præsto esset, prædam abstraxerunt, & magnum numerum militum interfecerunt: quo vel maxime adparuit, quam utilis eis, ad id bellum exeuntibus, fuerit opera Philippi.

4. Perfecto vero (bello adversus Antiochum,) multi ex Græcis apud Romanos conquesti sunt de Philippo, quod & alia multa injuste ageret, & ea non faceret, quæ essent a

Φλαμινῖνος, ὅτε διετίθετο τὴν Ἑλλάδα. καὶ Δημήτριος ἐς ἀντιλογίαν ἐπρέσβευεν ὑπὲρ αὐτοῦ, κεχαρισμένος μὲν A. U. 571. ἔκπαλαι Ῥωμαίοις ἀπὸ τῆς ὁμηρίας. Φλαμινίνου δὲ αὐτὸν τῇ βουλῇ γνωρίζοντος ἰσχυρῶς, νεώτερον δὲ ὄντα καὶ θορυβούμενον, ἐκέλευσαν τὰ τοῦ πατρὸς ὑπομνήματα ἀναγνῶναι. ἐν οἷς ἦν ἐφ' ἑκάστου, τὰ μὲν ἤδη γεγονέναι, τὰ δὲ γενήσεσθαι, καίπερ ἀδίκως ὡρισμένα· καὶ γὰρ τοῦτο προσέκειτο πολλάκις. Ἡ δὲ βουλὴ τὴν ὑπόγυιον αὐτοῦ ἐς Ἀντίοχον προθυμίαν αἰδουμένη, συγγιγνώσκειν τε, ἔφη, καὶ προσεπεῖπε, διὰ Δημήτριον. Ὁ δὲ, ὁμολογουμένως αὐτοῖς ἐς τὸν Ἀντιόχου πόλεμον, χρησιμώτατός τε γεγονὼς, καὶ βλαβερώτατος ἂν φανεὶς, εἰ Ἀντιόχῳ παρακαλοῦντι συνέπραξε· πολλὰ ἐλπίσας ἐπὶ τῷδε, καὶ ὁρῶν αὐτὸν ἀπιστούμενον καὶ κατηγορούμενον, καὶ συγ-

*Lin. 84.* ὁμηρείας *Bav.* *Ibid. ſq. verba* Φλαμινίνου --- ἰσχυρῶς *rectius fortaſſe cum præcedd. jungentur.* *L. 89.* ὑπόγυον *Bav.* *L. 91.* διὰ, *quod vulgo abeſt ante* Δημήτριον, *ex ſatis certa conject. adjeci. Sic bene habet verbum* προσεπεῖπε; *in quo vitium latere, putaverat Urſinus.* *L. 92.* τὸν Ἀντίοχον πολ. *MSS.* τὸν πρὸς Ἀντίοχον πολ. *Edd. ex emend. Urſin. Prætuli formam loquendi, Noſtro uſitatam.*

Flaminino, quum Græciam ordinaret, definita. *Ad ea crimina purganda Demetrius patris nomine Romam legatus* abiit; qui & a ſuperiori tempore, quo obſes ibi fuerat, Romanis acceptus erat, & nunc a Flaminino ſenatui etiam atque etiam commendabatur. Sed quum inexercitatus eſſet juvenis, & ad reſpondendum perturbatus; juſſerunt commentarium patris eis de rebus prælegere. In eo autem de ſingulis rebus perſcriptum erat, alia jam facta eſſe, alia etiamnum ſe facturum, quamquam inique poſtulata: nam & hoc ipſum quibuſdam locis adjectum erat. Et ſenatus nuperum regis ſtudium reputans, quod Romanis adverſus Antiochum demonſtraverat, reſpondit: *ignoſcere ſe ei;* adjecit autem, *Demetrii cauſa id fieri.* Jam vero *Philippus*, qui, cum plurimum nocere Romanis in bello contra Antiochum potuiſſet, ſi cum Antiocho, ſolicitante eum, facere voluiſſet, utiliſſimam eis operam præſtiterat, magnamque ab illis gratiam ſeſe ſperaverat initurum; ubi vidit, fidem ſibi non haberi, & accuſationes adverſus ſe ad-

A. U. 571. γνώμης ἀντὶ χαρίτων ἀξιούμενον, καὶ τῆσδε διὰ Δημήτριον· ἤχθετο, καὶ ἠγανάκτει, καὶ ἐπέκρυπτεν ἄμφω. Ὡς δὲ καὶ ἐν δίκῃ τινὶ Ῥωμαῖοι πολλὰ τῶν Φιλίππου πρὸς Εὐμενῆ μετέφερον, ἀσθενοποιοῦντες αἰεὶ τὸν Φίλιππον, ἐς πόλεμον ἤδη λανθάνων ἡτοιμάζετο.

## VIII. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Ὁ δὲ Φίλιππος τοὺς ἐπιπλέοντας διέφθειρεν· ἵνα μὴ Ῥωμαῖοι λέγοιεν, τὰ Μακεδόνων ἐκτετρῦσθαι.

## IX. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

582. Ὅτι Ῥωμαῖοι ταχέως αὐξανόμενον τὸν Περσέα ὑφορῶντο· καὶ μάλιστα αὐτοὺς ἠρέθιζεν ἡ τῶν Ἑλλήνων φιλία καὶ γειτνίασις, οἷς ἔχθος ἐς Ῥωμαίους ἐπεποιήκεσαν οἱ Ῥωμαίων στρατηγοί. ὡς δὲ καὶ οἱ πρέσβεις οἱ ἐς Βαστάρνας ἀπεσταλμένοι, τὴν Μακεδονίαν, ἔφασκον, ἰδεῖν ἀ-

*Lin.* 96. διὰ Δημητρίου *Edd. Rectius Bav. quem secutus sum.* *L.* 97. ἀπέκρυπτεν *Edd.* *L.* 99. Εὐμένη *Edd.* *L.* 3. ἐκτετρύσθαι *recent. Suidæ editiones.* *L.* 5. ἥ τε Ἑλλήνων *Edd.* *L.* 6. *forte* ἐμπεποιήκεσαν. *L.* 7. Βαστέρνας *Bav.* &, *ni fallor*, *MS. Urs.*

mittere Romanos, satisque illis esse, cum *gratias* debeant, ut *veniam* sibi, eamque ipsam *Demetrii causa*, concederent; dolore simul & indignatione commotus est: sed aliquantisper etiam tum occultavit animi sensum. Postquam autem in lite etiam quadam, quam judicabant Romani, multa, quæ Philippi fuerant, sunt ab his Eumeni adtributa, ut adpareret, quavis occasione opes Philippi ab eis infringi; tum vero & *bellum* clam cœpit *adparare*.

## VIII. *Ex* SUIDA, *voce* ΤΕΤΡΥΣΘΑΙ.

Quos *Philippus*, navibus accedentes, interemit; ne Romani dicerent, adtritas esse vires Macedonum.

## IX. *Excerptum* XXV. *de* LEGATIONIBUS.

*Perseum*, celeriter opibus crescentem, suspectum habebant Romani: ac maxime eos stimulavit Græcorum vicinia & in eum amor, quibus odium adversus Romanos adtulerant imperatores Romanorum. Postquam vero & legati, qui ad *Bastarnas* missi erant, *Macedoniam se vidisse*, dixe-

σφαλῶς ὠχυρωμένην, καὶ παρασκευὴν ἱκανὴν, καὶ νεότητα γεγυμνασμένην· Ῥωμαίους καὶ τάδε διετάρασσεν. A. U. 582. Αἰσθόμενος δ᾽ ὁ Περσεὺς, ἑτέρους ἔπεμπε πρέσβεις, τὴν ὑπόνοιαν ἐκλύων. Εν δὲ τούτῳ καὶ Εὐμενὴς, ὁ τῆς περὶ τὸ Πέργαμον Ασίας βασιλεὺς, ἀπὸ τῆς πρὸς Φίλιππον ἔχθρας δεδιὼς Περσέα, ἧκεν ἐς Ῥώμην, καὶ κατηγόρει Φανερῶς αὐτοῦ, παρελθὼν ἐς τὸ βουλευτήριον· ὅτι Ῥωμαίοις δυσμενὴς γένοιτο αἰεὶ, καὶ τὸν ἀδελφὸν οἰκείως ἐς αὐτοὺς ἔχοντα ἀνέλοι· καὶ Φιλίππῳ τε παρασκευὴν τοσήνδε κατ᾽ αὐτῶν συναγαγόντι συμπράξειεν· καὶ βασιλεὺς γενόμενος, οὐδὲν ἐκλύσειεν αὐτῆς, ἀλλὰ καὶ προσεξεργάσαιτο ἕτερα· καὶ τὴν Ἑλλάδα ἀμέτρως θεραπεύοι, Βυζαντίοις τε καὶ Αἰτωλοῖς καὶ Βοιωτοῖς συμμαχήσας· καὶ Θρᾴκην καταστρῷτο, μέγα ὁρμητήριον· καὶ Θετταλοὺς καὶ Περῤαιβοὺς διαστασιάσειε βουλομένους τι πρεσβεῦσαι πρὸς ὑμᾶς. Καὶ τῶν ὑμετέρων, ἔφη, Φίλων καὶ συμμάχων,

*Lin.* 12. Εὐμένης *Edd. & sic semper, penacute.* *L.* 21. συμμαχήσεις *MSS.* *L.* 22. Θετταλοὺς καὶ Ιταλοὺς *MSS.* Περῤαιβοὺς *est ex emend. Ursini.* *L.* 23. βουλόμενοι *MS. Ursin.* βουλομένοις *Bav.*

runt, *valide munitam*, & *copiosum in ea belli adparatum*, & *exercitatam juventutem*; id quoque Romanos conturbavit. Quod ubi intellexit *Perseus*, alios misit Romam legatos, per quos dilueret suspicionem. Eodem autem tempore EUMENES quoque, *rex Asiæ Pergamenæ*, qui ob inimicitias, quas cum Philippo gesserat, timebat Perseum, Romam venit, ac publice apud senatum *accusavit Perseum*: „quod infensus semper Romanis fuisset, fratremque bene erga illos adfectum sustulisset; & Philippum, tantos belli adparatus adversus eos contrahentem, juvisset: quo de adparatu, postquam rex factus est, adeo nihil remisisset, ut multa etiam adjecerit: Græciam autem omnibus modis sibi conciliare studeret; & *Byzantinis*, *Ætolis*que & *Bœotis* auxilia misisset: *Thraciam* vero, magnam arcem belli, sibi subjecisset: apud *Thessalos* & *Perrhæbos*, quum in eo fuissent, ut legationem Romam de rebus suis mittere vellent, omnia seditionibus conturbasset. Ac duorum, inquit, amicorum vestrorum sociorumque, al-

A. U. 582. Ἀβρούπολιν μὲν ἀφήρηται τὴν ἀρχὴν, Ἀρθέταυρον δ᾽ ἐν Ἰλλυριοῖς, καὶ δυνάστην ἔκτεινεν ἐπιβουλεύσας, καὶ τοὺς ἐργασαμένους ὑποδέδεκται. Διέβαλλε δ᾽ αὐτοῦ καὶ τὰς ἐπιγαμίας, βασιλικὰς ἄμφω γενομένας, καὶ τὰς νυμφαγωγίας ὅλῳ τῷ Ῥοδίων στόλῳ παραπεμφθείσας. ἔγκλημα δ᾽ ἐποίει καὶ τὴν ἐπιμέλειαν αὐτοῦ, καὶ τὸ νηφάλιον τῆς διαίτης, ὄντος οὕτω νέου. καὶ ὅτι πρὸς πολλῶν ὀξέως ἐν ὀλίγῳ ἀγαπῷτο καὶ ἐπαινοῖτο. ζήλου τε καὶ φθόνου καὶ δέους μᾶλλον, ἢ ἐγκλημάτων, οὐδὲν ὁ Εὐμενὴς ἀπολιπὼν, ἐκέλευε τὴν σύγκλητον ὑφορᾶσθαι νέον ἐχθρὸν εὐδοκιμοῦντα καὶ γειτονεύοντα.

II. Ἡ δ᾽ ἔργῳ μὲν, οὐκ ἀξιοῦσα, βασιλέα σώφρονα καὶ φιλόσοφον, καὶ ἐς πολλοὺς φιλάνθρωπον, ἀθρόως οὕτως ἐπαιρόμενον, καὶ πατρικὸν ὄντα σφίσιν ἐχθρὸν, ἐν

*Lin.* 25. Ἀβρόπολιν, *h. l. Edd. & MSS.* *L.* 26. *Miror, ni legendum* ἐν Ἰλλυριοῖς δυνάστην καὶ ἔκτεινεν. *L.* 27. διέβαλε *Bav.* *L.* 37. *Suspecta vox* φιλόσοφον *videri potest.*

„terum, *Abrupolim*, regno ejecit; alterum vero, *Arthetaurum*, Illyriæ principem, interficiendum etiam per insidias curavit, & interfectores apud se recepit." Præterea vero & *adfinitates Persei*, utramque cum regibus contractam, in invidiam adducere conatus est *Eumenes*; & deductiones sponsarum, totius Rhodiæ classis comitatu celebratas. Quin & *industriam* regis, & *sobrietatem* vitæ in tam juvenili ætate, in crimen adduxit: & quod tam celeriter multorum benevolentiam existimationemque esset consecutus. Omninoque nulla re prætermissa, quæ vel ad conflandam Perseo invidiam, incitandamque Romanorum æmulationem, vel ad timorem eis incutiendum magis, quam ad culpam Persei arguendam, pertineret; monuit *Eumenes* senatum, ut caveret sibi ab hoste juvene, qui tanta existimatione frueretur, tamque esset vicinus.

2. Et *senatus*, re vera quidem, quod nollet, ab tergo habere regem sobrium, & sapientiæ studiosum, & homines beneficiis demerentem, qui tam brevi tempore in id fastigium evectus, inimicitias adversus Romanos gereret paterna hæreditate acceptas; in speciem autem, causas in-

πλευραῖς ἔχειν· λόγῳ δὴ, ἃ προὔτεινεν ὁ Εὐμενὴς, αἰτιωμένη· πολεμεῖν ἔκρινε τῷ Περσεῖ. Καὶ ταῦτ᾽ ἀπόῤῥητα ἔτι ἐν σφίσιν αὐτοῖς ποιούμενοι, Ἅρπαλόν τε, πεμφθέντα παρὰ Περσέως ἐς ἀντιλογίαν Εὐμενοῦς, καὶ Ῥοδίων τινὰ πρεσβευτὴν, βουλομένους ἐς ὄψιν τὸν Εὐμενῆ διελέγχειν, παρόντος μὲν ἔτι τοῦ Εὐμενοῦς, οὐ προσήκατο· μεταστάντος δὲ, ἐδέξαντο. καὶ οἱ μὲν ἐπὶ τῷδε πρῶτον ἀγανακτοῦντές τε, καὶ παῤῥησίᾳ χρώμενοι πλέον, βουλομένους δὴ ἤδη Ῥωμαίους Περσεῖ καὶ Ῥοδίοις μᾶλλον ἐξηγρίωσαν. τῶν δὲ βουλευτῶν πολλοὶ τὸν Εὐμενῆ δι᾽ αἰτίας εἶχον, ὑπὸ φθόνου καὶ δέους αἴτιον τοσοῦδε πολέμου γενόμενον. καὶ Ῥόδιοι τὴν θεωρίαν αὐτοῦ, μόνου βασιλέων, ἐς τὴν ἑορτὴν τοῦ Ἡλίου πεμπομένην, οὐκ ἐδέξαντο. Αὐτὸς δὴ ἐς τὴν Ἀσίαν ἐπανιὼν ἐκ Κίῤῥας ἐς Δελφοὺς ἀνέβαινε θύσων. καὶ αὐτῷ τέσσαρες ἄνδρες ὑπὸ τὸ τειχίον ὑπο- *A. U.* 582.

*Lin.* 39 *sq.* ἀντιωμένη *Edd.* *L.* 40 *sq.* ταῦτ᾽ ἀπόῤῥητον *Bav.* &, *ni fallor*, *etiam MS. Ursin.* *L.* 44. *aut* πρεσήκαντο *legendum, aut paulo ante reponendum* ποιουμένη. *L.* 46 *sq.* *Lego* πολεμεῖν βουλομένους ἤδη Ῥωμαίους. *L.* 47. Ῥωμαίοις *Bav.* *L.* 50. τὴν θεωρίδα *Edd. ex emendatione Ursini, qua non erat opus.*

terſerens eas, quas prætenderat Eumenes, *bellum inferre Perſeo* decrevit: cavit tamen adhuc, ne in publicum exiret captum in eam partem conſilium. *Harpalus* autem, *a Perſeo miſſus* ad diluendas Eumenis criminationes, & alius legatus *Rhodiorum*, quum poſtulaſſent, ut coram diſceptare cum Eumene in ſenatu ſibi liceret, præſente quidem Eumene non ſunt admiſſi; ſed poſt hujus diſceſſum demum ſenatus illis datus eſt. Et illi, hoc ipſo primum indignati, tum & libertate in dicendo intemperantius utentes, ſponte jam bellum meditatos Romanos, magis etiam exaſperarunt adverſus Perſeum Rhodioſque. Fuere tamen haud pauci ex ſenatoribus, qui accuſarent Eumenem, quod privata tantum invidia metuque auctor tanti belli exſtiterit. Et *Rhodii* poſthac *legationem ſacram*, quam ſolus ex regibus *Eumenes* ad *feſtum Solis* miſit, non receperunt. Ipſi autem Eumeni, quum, in Aſiam rediens, Cyrrha adſcenderet Delphos, Appollini ſacrificaturus, quatuor viri, poſt maceriem abditi, inſidias ſtruxerunt. Atque hanc & alias ſi-

A. U. 582. στάντες ἐπεβούλευον. Καὶ ἄλλας δέ τινας αἰτίας οἱ Ῥωμαῖοι ἐς τὸν Περσέως πόλεμον, ὡς οὔπω κεκριμένον, προσελάμβανον· καὶ πρέσβεις ἐς τοὺς Φίλους βασιλέας, Εὐμενῆ, καὶ Ἀντίοχον, καὶ Ἀριαράθην, καὶ Μασσανάσσην, καὶ Πτολεμαῖον τὸν Αἰγύπτου, περιέπεμπον. ἑτέρους δὲ ἐς τὴν Ἑλλάδα καὶ Θεσσαλίαν, καὶ Ἤπειρον καὶ Ἀκαρνανίαν, καὶ ἐς τὰς νήσους, ὅσας δύναιντο προσαγαγέσθαι· ὃ καὶ μάλιστα τοὺς Ἕλληνας ἐτάραττεν, ἡδομένους μὲν τῷ Περσεῖ, Φιλέλληνι ὄντι, ἀναγκαζομένους δὲ ἐνίους, Ῥωμαίοις ἐς συμβάσεις χωρεῖν.

583. III. Ὧν ὁ Περσεὺς αἰσθόμενος, ἔπεμπεν ἐς Ῥώμην· ἀπορῶν δὲ καὶ πυνθανόμενος, τί παθόντες ἐκλήθονται τῶν συγκειμένων, καὶ πρέσβεις κατ᾽ αὐτοῦ περιπέμπουσιν, ὄντος Φίλου· δέον, εἰ καί τι μέμφονται, λόγῳ διακριθῆναι. Οἱ δὲ ἐνεκάλουν, ὅσα Εὐμενὴς εἴποι, καὶ πάθοι· καὶ μάλιστα, ὅτι Θρᾴκην κατακτῷτο, καὶ στρατιὰν ἔχοι

*Lin.* 54. *Forsan* καὶ τήνδε καὶ ἄλλας. *L.* 61. ὃ, *ante* καὶ μάλιστα, *ex conject. inserui.* *L.* 63. Ῥωμαίους *Bav. male.* *L.* 65. *pro* δὲ, *post* ἀπορῶν, *lege* δὴ *vel* τε.

mul caufas pro bello contra Perfeum fufcipiendo, tamquam non jam ante decretum fuiffet, adlegantes *Romani*, *ad focios reges*, ad Eumenem, Antiochum, Ariarathem, Mafiniffam, Ptolemæumque Ægypti regem, *legatos circum miferunt.* Itemque alios in Græciam, in Theffaliam, in Epirum, in Acarnaniam, in infulas denique miferunt, ut earum, quotquot poffent, ad fuas partes pertraherent. Quæ res Græcos maxime conturbavit; quorum nonnulli, quamquam eis placuerat Perfeus, ut amicus Græcorum, coacti funt ad focietatem cum Romanis ineundam.

3. Quibus rebus cognitis, *Perfeus* iterum *legatos Romam* mifit: qui „mirari regem, dicerent, & difcere a Romanis cupere, quibus tandem caufis inducti oblivifcerentur fœderum, legatofque contra fe, Socium populi Romani, circummitterent; quum, fi qua re offenfos fe putarent, verbis primum difceptare ea de re oportuiffet." Tum vero *fenatus* caufatus eft ea, quæ de Perfeo retulerat Eumenes, & quæ ab illo idem erat perpeffus; maxime vero, quod Thraciam fubegiffet Perfeus, & eum exercitum eofque ad-

καὶ παρασκευὴν οὐκ ἠρεμήσοντος ἀνδρός. Ὁ δ᾽ αὖθις ἔπεμπεν ἑτέρους, οἳ, ἐς τὸ βουλευτήριον ἀπαχθέντες, ἔλεγον ὧδε· Τοῖς μὲν προφάσεως ἐς πόλεμον, ὦ Ῥωμαῖοι, δεομένοις, ἱκανὰ πάντα ἐς τὴν πρόφασιν ἐστίν. Εἰ δ᾽ αἰδεῖσθε συνθήκας, οἱ πολὺν ἀξιοῦντες αὐτῶν λόγον ἔχειν, τί παθόντες ὑπὸ Περσέως αἱρεῖσθε πόλεμον; οὐ γὰρ, ὅτι στρατιὰν ἔχει καὶ παρασκευήν. οὐ γὰρ ἔχει ταῦτα καθ᾽ ὑμῶν· οὐδὲ τοὺς ἄλλους κεκτῆσθαι βασιλέας κωλύετε· οὐδ᾽ ἄδικον, ἀσφαλῶς ἔχειν ἐς τοὺς ἀρχομένους, καὶ τὰ περίοικα, καὶ εἴ τις ἔξωθεν ἐπιβουλεύοι. Πρὸς δὲ ὑμᾶς, ὦ ἄνδρες Ῥωμαῖοι, ὑπὲρ τῆς εἰρήνης ἐπρέσβευσε, καὶ τὰς συνθήκας ἔναγχος ἀνεκαίνισεν. Ἀλλὰ Ἀβρούπολιν ἐξέβαλε τῆς ἀρχῆς. ἐπιδραμόντα γε τοῖς ἡμετέροις, ἀμυνόμενος. καὶ τοῦτ᾽ αὐτὸς ὑμῖν ἐδήλωσε Περσεύς· καὶ τὰς συνθήκας

A. U. 583.

*Lin.* 70. οὐκ ἐρήμης ὄντος ἀνδρός. *MSS. pro quo ex conject. Ursini editum fuit* οὐκ ἐπιβουλεύοντος ἀνδρός. *Mihi multo leviori mutatione sanari posse locus visus est.* *L.* 72. Τῆς μὲν *Edd. Rectius Bav.* *L.* 73 *sq.* αἰδεῖσθαι *MSS.* *L.* 75. αἱρεῖσθαι *MSS. Forsan* αἵρεσθε. *Ibid.* οὐ γὰρ ἔτι στρατιὰν *Edd. & MSS.* ὅτι *ex conj. reposui.* *L.* 83. καὶ ταῦτ᾽ αὐτὸς ἐδήλωσε, *& carent* ὑμῖν, *Edd.*

paratus haberet, qui non essent viri de pace cogitantis. Et mox *rursus* alios *legatos misit* PERSEUS, qui, cum senatus eis datus esset, in hunc modum verba fecerunt: „Qui belli occasionem modo quærunt, *PATRES CONSCRIPTI*, & speciem, quam prætendant; eis quælibet facile causa satis speciosa videtur. Quod si vero fœderum vobis reverentia est, qui magnam illorum rationem habere profitemini; *quidnam tandem in vos peccavit Perseus*, quod adversus eum arma capessitis? Non enim, quod *exercitum* & *adparatus* „habet, ea vobis bellandi causa est. Hæc enim non contra vos habet; neque alios reges habere ea prohibetis; neque injustum est, ut tutum se præstet rex & adversus eorum, qui imperio suo sunt subjecti, & vicinorum, & externi hostis, molimina. Ad vos autem, *ROMANI*, de pace servanda legatos misit, & non ita pridem fœdus vobiscum renovavit. At *Abrupolim* regno ejecit! Nimirum propulsans utique eum, qui, quæ nostra erant, invaserat. Quod & ipse vobis Perseus declaravit; & vos, post id factum, fœdus cum eo reno-

A. U. 583. αὐτῷ μετὰ τοῦτο ἀνενεώσασθε, οὔπω διαβάλλοντος Εὐμενοῦς. Τὸ μὲν δὴ περὶ Ἀβρούπολιν, καὶ πρεσβύτερόν ἐστι τῶν συνθηκῶν· καὶ παρ' ὑμῖν, ὅτε συνετίθεσθε, δίκαιον ἐφάνη. Δόλοψι γὰρ ἐπεστράτευσεν, οὖσι τῆς ἰδίας ἀρχῆς. Καὶ δεινὸν, εἰ τῶν ἑαυτοῦ λογισμὸν ὑμῖν ὀφλήσει. δίδωσι δ' ὅμως, περὶ πολλοῦ ποιούμενος ὑμᾶς τε καὶ δόξαν ἀγαθήν. ἔκτειναν δ' οἱ Δόλοπες οἵδε τὸν ἡγούμενον αὐτῶν, αἰκισάμενοι. καὶ ζητεῖ Περσεύς· τί ἂν ὑμεῖς ἐδράσατε τοὺς ὑπηκόους, τοιαῦτα πράξαντας; Ἀλλὰ Ἀρθέταυρόν τινες ἀνελόντες, ἐν Μακεδονίᾳ διέτριβον. κοινῷ γε πάντων ἀνθρώπων νόμῳ, καθὰ καὶ ὑμεῖς τοὺς ἑτέρων φεύγοντας ὑποδέχεσθε. μαθὼν δὲ καὶ τοῦθ' ὅτι ἔγκλημα ποιεῖσθε, ἐξεκήρυξεν αὐτοὺς τῆς ἀρχῆς ὅλης. Βυζαντίοις δὲ, καὶ Αἰτωλοῖς, καὶ Βοιωτοῖς, οὐ καθ' ὑμῶν, ἀλλὰ καθ' ἑτέρων συνεμάχησε. καὶ ταῦτα πρὶν ὑμῖν ἡμέτεροι

*Lin.* 84. ἀντὶ τοῦτο *MSS.* *Ibid.* ἀνανεώσασθαι *Edd.* *Ibid.* οὔτω διαβ. *MSS.* *L.* 88. *correxi vulgatum* λογισμῶν. *L.* 89. τε *post* ὑμᾶς *ex Bav. inserui.* *L.* 90 *sq.* ἡγουμ. αὐτὸν *Bav. perperam.* *L.* 93. Ἀνθέταυρον *h. l. Bav.* *L.* 97. καθ' ἡμῶν *Edd. operarum, puto, culpa.* *L.* 98. ταῦτα πλὴν ὑμῖν *MSS.* πλὴν *in* πρὶν *mutavit Ursin.*

„ vastis, quum nondum adesset calumniator Eumenes. Igitur illud de Abrupoli gestum est ante hoc fœdus; neque id ipsum vobis, quo tempore inistis fœdus, injustum visum est. Nam quod *Dolopes* armis coërcuit; hi nimirum regni ditionisque ipsius fuerunt. Ac durum sane foret, si de his etiam, quæ cum suis agit, rationem vobis reddere teneretur. Ac reddet tamen caussam, cum reverentia vestri, tum ut bonam de se existimationem tueatur. Præfectum regium inter diros cruciatus trucidaverant *Dolopes* isti. Et quærit a vobis *Perseus*, vos vestris subditis quid facturi fuissetis, qui talia patrassent? At nonnulli, qui *Arthetaurum* interfecerant, morati sunt in Macedonia! Nimirum ex communi omnium gentium jure: quemadmodum & vos aliorum exules recipitis. Sed & hoc ipsum postquam intellexit in crimen sibi a vobis verti; interdixit istis totius regni sui finibus. Byzantinis vero, & Ætolis, Bœotisque, non contra vos, sed contra alios, auxilium tulit. Et hoc ipsum

πρέσβεις ἐμήνυον· καὶ οὐκ ἐμέμφεσθε, μέχρι τῆς Εὐμε- *A. U.*
νοῦς διαβολῆς· ἣν οὐκ εἰάσατε τοὺς ἡμετέρους πρέσβεις 583.
ἐς ὄψιν αὐτὸν ἐλέγξαι.

IV. Ἀλλὰ τὴν ἐπιβουλὴν, τὴν ἐν Δελφοῖς αὐτῷ γενομένην, προσγράφετε Περσεῖ. πόσων Ἑλλήνων, πόσων δὲ βαρβάρων, κατ' Εὐμενοῦς πρεσβευσάντων πρὸς ὑμᾶς; οἷς πᾶσιν ἐχθρός ἐστι, τοιοῦτος ὤν. Ἐρρέννιον, τὸν ἐν Βρεντεσίῳ, τίς ἂν πιστεύσειεν, ὅτι Περσεὺς, Ῥωμαῖον ὄντα, καὶ φίλον ὑμέτερον καὶ πρόξενον, εἴληφεν ἐπὶ τὴν τῆς βουλῆς φαρμακείαν, ὡς ἀναλῶσαι τὴν σύγκλητον δι' αὐτοῦ δυνάμενος, ἢ τοὺς ὑπολοίπους εὐμενεστέρους ἕξων, διὰ τοὺς ἀναιρουμένους; ἀλλ' Ἐρρέννιος μὲν ἐψεύσατο τοῖς ἐπιτρίβουσιν ἐς τὸν πόλεμον ὑμᾶς, πρόφασιν εὐσχήμονα διδούς. Εὐμένης δ' ὑπ' ἔχθρας τε, καὶ φθόνου, καὶ δέους, οὐδὲ ταῦτ' ὤκνησεν ἐγκαλέσαι Περσεῖ, ὅτι πολλοῖς ἔθνεσι κεχαρισμένος, καὶ φιλέλλην, καὶ σωφρόνως ἀντὶ μέθης

*Lin.* 6. Ἐρρένιον *Edd. & sic mox iterum iterumque. Prætuli lect. Bav.* L. Rammius *vocatur apud Livium. L.* 8. ἡμέτερον *Bav. male. L.* 9. φαρμακίαν *Edd. operarum, ut videtur, errore. L.* 14. ἔτεσι, *quod est in Edd. & MSStis, in* ἔθνεσι *mutavi.*

„ jam antea vobis per legatos indicaverat; neque vos incusavistis, donec Eumenis calumniis præberetis aurem; quas ut coram ipso accusatore apud vos refellerent legati nostri, non concessistis.

4. „ At *insidias*, quæ *Eumeni* ad Delphos structæ sunt, imputatis Perseo! Non cogitantes scilicet, quot Græci populi, quot item barbari, legatos ad vos adversus eumdem Eumenem miserint; quibus cunctis exosus est, cum talis homo sit. *Erennio* autem Brundisino, quis credat, uti voluisse Perseum, cive Romano, & amico hospiteque vestro, ad venenum senatui miscendum? Tamquam vel senatum opera ejus tollere potuisset, aut reliquos benevolentiores sibi fuisset redditurus propter eos, quos e medio sustulisset. Nimirum mendaciis *Erennius* decepit eos, qui ad bellum vos stimularunt, honestam speciem vobis suppeditaturus. *Eumenes* autem, inimicitia, invidiaque, & metu inductus, ne hoc quidem veritus est in crimen vertere *Perseo*, quod multis populis gratus, quod amicus Græcorum est, & quod sobrie re-

A. U. 583. καὶ τρυφῆς ἄρχει. καὶ ταῦθ' ὑμεῖς αὐτοῦ λέγοντος ὑπέστητε ἀκροάσασθαι. τοιγάρτοι τὴν ἐκείνου διαβολὴν αὔξετε καθ' ὑμῶν, ὡς οὐ φέροντες σώφρονας καὶ δικαίους καὶ φιλοπόνους γείτονας. Περσεὺς δὲ Ἐρέννιον μὲν καὶ Εὐμενῆ, καὶ εἴ τις ἄλλος ἐθέλοι, προκαλεῖται παρ' ὑμῖν εἰς ἐξέτασιν καὶ κρίσιν. Ὑμᾶς δὲ ἀναμιμνήσκει μὲν τῆς ἐς Ἀντίοχον τὸν Μέγαν τοῦ πατρὸς ἑαυτοῦ προθυμίας καὶ βοηθείας· ἧς, ἐπιγιγνομένης, καλῶς ᾔσθάνεσθε· αἰσχρὸν δὲ, παρελθούσης ἐπιλαθέσθαι. προφέρει δὲ συνθήκας, πατρῴας τε, καὶ ἰδίας πρὸς αὐτὸν ὑμῖν γενομένας· καὶ ἐπὶ τοῖσδε, οὐκ ὀκνεῖ καὶ παρακαλεῖν ὑμᾶς, θεοὺς, οὓς ὠμόσατε, αἰδεῖσθαι, καὶ μὴ πολέμου κατάρχειν ἀδίκως ἐς φίλους, μηδ' ἔγκλημα ποιεῖσθαι γειτνίασιν καὶ σωφροσύνην καὶ παρασκευήν. οὐ γὰρ ἄξιον, ὡς Εὐμενοῦς, καὶ ὑμῶν ἅπτεσθαι φθόνον ἢ φόβον. τὸ δὲ ἐναντίον ἐστὶ σῶφρον, φείδεσθαι γειτόνων ἐπιμελῶν, καὶ, ὡς Εὐμενής φησιν, εὖ παρεσκευασμένων.

*Lin.* 20. θέλοι *Bav. minus bene.* *L.* 30. φθόνον ἢ φόνον *Bav. male.* *L.* 31. σώφρων *MS. Urs. ex quo* σωφρόνων *fecit Ursinus. Tenui lectionem Bav.*

„gnat, non vino crapulæque indulget. Et talia eum dicentem vos audire sustinuistis! Videte, ne calumniæ ejus, graviores etiam, in ipsos vos recidant, tamquam non feratis sobrios, justosque & industrios vicinos. *Perseus* vero Erennium & Eumenem, & quisquis præter hos voluerit, provocat, ut coram vobis cognitoribus judicibusque causa ipsius disceptetur. Vobis autem in memoriam revocat patris sui studium auxiliumque adversus Magnum Antiochum. Quæ quantum vos adjuverint, quoniam, quo tempore eis usi estis, præclare intellexistis; „videte, ne turpe sit oblivisci, postquam tempus illud præteriit. Tum vero fœdera invocat, quæ & cum patre, & rursus cum ipso se, pepigistis. Ac præter hæc non veretur, hortari vos, ut Deos, per quos jurastis, vereamini; neque bellum injustum inferatis sociis vestris, neque in crimen vertatis viciniam, sobrietatem, adparatus. Indignum est enim vobis, ROMANI, invidia aut metu pertentari, veluti *Eumenem*. Quin potius sapienter feceritis, si parcatis vicinis impigris, &, quemadmodum Eumenes ait, bene paratis."

V. Οἱ μὲν δὴ πρέσβεις τοιαῦτα εἶπον. Οἱ δὲ οὐδὲν αὐτοῖς ὑποκρινάμενοι, τὸν πόλεμον ἐς τὸ φανερὸν ἐκύρουν. *A. U. 583.* καὶ ὁ ὕπατος ἐκέλευε τοὺς πρέσβεις, ἐκ μὲν τῆς πόλεως, αὐτῆς ἡμέρας, ἐκ δὲ τῆς Ἰταλίας, τριάκοντα ἄλλαις, ἐξιέναι. τὰ δὲ αὐτὰ καὶ τοῖς ἐπιδημοῦσι Μακεδόνων ἐκήρυττε. καὶ θόρυβος αὐτίκα μετὰ τὸ βουλευτήριον ἐπίφθονος ἦν, ἐν ὀλίγαις ὥραις ἐλαυνομένων τοσῶνδε ὁμοῦ· καὶ οὐδὲ ὑποζύγια εὑρεῖν ἐν οὕτω βραχεῖ διαστήματι, οὐδὲ πάντα φέρειν, δυναμένων. ὑπὸ δὲ σπουδῆς, οἱ μὲν οὐκ ἔφθανον ἐπὶ τοὺς σταθμούς, ἀλλ᾽ ἐν μέσαις ἀνεπαύοντο ταῖς ὁδοῖς. οἱ δὲ παρὰ ταῖς πύλαις μετὰ παίδων ἑαυτοὺς ἐρρίπτουν, καὶ μετὰ γυναικῶν. πάντα τε ἐγίγνετο, ὅσα εἰκὸς ἐν αἰφνιδίῳ καὶ τοιῷδε κηρύγματι. αἰφνίδιον γὰρ αὐτοῖς ἐφαίνετο, διὰ τὰς ἔτι πρεσβείας.

## X. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Ὅτι μετὰ τὴν νίκην, ὁ Περσεύς, εἴτ᾽ ἐπιγελῶν Κράσσῳ καὶ τωθάζων αὐτόν, εἴτ᾽ ἀποπειρώμενος ὅπως ἔτι φρονή-

*Lin.* 36. *pro vulg.* ἄλλας *posui* ἄλλαις.

5. Hæc quum *Persei legati* dixissent; nihil eis ab Senatu responsum est, sed protinus *bellum publice decretum.* Consulque legatos jussit eo ipso die Roma, intra tricesimum autem Italia, excedere; atque idem per præcones edixit omnibus Macedonibus, in Urbe peregrinantibus. Itaque statim, dimisso senatu, consternatio erat ac trepidatio plena invidiæ, *tot hominibus simul intra paucas horas urbe ejectis*; qui neque jumenta nancisci, tam brevi concesso spatio, neque ipsi res suas omnes poterant ferre. Atque propter tantam præcipitationem, alii, noctu non attingentes diversoria, in mediis viis pernoctabant; alii ante portas, cum conjugibus & liberis, humum sese projiciebant: omniaque vidisses, quæ tale tamque subitum edictum consequi consentaneum est. *Subitum* enim illis videri debebat *edictum*; quia per legationes etiam tunc agebat *Perseus.*

## X. *Excerptum* XXVI. *de* LEGATIONIBUS.

Ea *victoria reportata*, *Perseus*, sive ludibrio habiturus Crassum, sive ejus voluntatem exploraturus, sive quod Ro-

A. U. 583. ματος ἔχοι, εἴτε τὴν Ῥωμαίων δύναμίν τε καὶ παρασκευὴν ὑφορώμενος, εἴθ' ἑτέρῳ τῷ λογισμῷ, προσέπεμπεν αὐτῷ περὶ διαλλαγῶν· καὶ πολλὰ δώσειν ὑπισχνεῖτο, ὧν ὁ πατὴρ Φίλιππος οὐ συνεχώρει· ᾧ καὶ μᾶλλον ὕποπτος ἦν ἐπιγελῶν καὶ πειρώμενος. Ὁ δὲ Περσεῖ μὲν ἀπεκρίνατο· Ῥωμαίων ἀξίας οὐκ εἶναι διαλύσεις αὐτῷ, εἰ μὴ καὶ Μακεδόνας καὶ ἑαυτὸν ἐπιτρέψειε Ῥωμαίοις. Αἰδούμενος, δ' ὅτι Ῥωμαῖοι τῆς ἥττας κατῆρξαν, ἐκκλησίαν συναγαγὼν, Θεσσαλοῖς μὲν ἐμαρτύρησεν, ὡς ἀνδράσιν ἀγαθοῖς περὶ τὴν συμφορὰν γενομένοις· Αἰτωλῶν δὲ καὶ ἑτέρων Ἑλλήνων κατεψεύσατο, ὡς πρώτων τραπέντων· καὶ τούτους ἐς Ῥώμην ἔπεμψεν.

## XI. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Τὸ δὲ λοιπὸν τοῦ θέρους ἀμφότεροι περὶ σιτολογίαν ἐγίγνοντο· Περσεὺς μὲν ἐν τοῖς πεδίοις ἀλωνευόμενος, Ῥωμαῖοι δὲ ἐν τῷ στρατοπέδῳ.

XII. ΕΚ

*Lin. 60. in voce* τούτους *mendum inesse, aut aliquid omissum, videtur.*

manorum potentiam adparatusque vereretur, sive quo alio consilio, *legatos ad Crassum de pace misit;* atque multa se ei daturum pollicitus est, quæ pater ipsius numquam Romanis concesserat: quo ipso etiam magis visus est, ridere tantum Consulem, & consilia ejus velle explorare. At Perseo *Licinius respondit:* „non alia conditione pro dignitate populi Romani pacem ei dari posse, nisi *se regnumque suum arbitrio populi Romani permitteret.*" Quum puderet autem Consulem, quod Romani initium fugæ fecissent; convocata concione, Thessalos quidem publice collaudavit, quod fortiter sese in illa calamitate gessissent; in Ætolos autem ceterosque Græcos caussam falso contulit, ab eis principium fugæ esse ortum. Hosque Romam misit.

## XI. *Ex* SUIDA, *voce* ΑΛΩΝΕΥΟΜΕΝΟΣ.

Reliquam æstatem colligendo frumento consumserunt: *Perseus* in ipsis campis triturans; Romani vero in castris.

XII. SUIDAS,

### XII. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

A. U.

Ὁ δὲ πρῶτος ἐξῆρχε τοῦ πόνου, ἑξηκοντούτης ὢν, καὶ 583.
βαρὺς τὸ σῶμα, καὶ πιμελής.

### XIII. ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Τότε δὲ ἔθει τις δρόμῳ, δηλώσων τῷ Πέρσῃ λουομένῳ, καὶ τὸ σῶμα ἀναλαμβάνοντι. Ὁ δὲ ἐξήλατο τοῦ ὕδατος· βοῶν, ὅτι ἑαλώκοι πρὸ τῆς μάχης.

### XIV. ΕΚΛΟΓΗ ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Ὅτι Περσεὺς, ἀναθαῤῥῶν ἤδη κατ' ὀλίγον μετὰ τὴν 585.
φυγὴν, Νικίαν καὶ Ἀνδρόνικον, οὓς ἐπὶ τὸν καταποντισμὸν τῶν χρημάτων καὶ τὸν ἐμπρησμὸν τῶν νεῶν ἐπεπόμφει, περιποιήσας αὐτῷ καὶ τὰς ναῦς καὶ τὰ χρήματα, συνίστορας ἡγούμενος αἰσχροῦ φόβου καὶ ἑτέροις ἐξαγγέλλειν, ἀπέκτεινεν ἀθεμίστως. καὶ ἀπὸ τοῦδε εὐθὺς ἐκ μεταβολῆς ὠμὸς καὶ εὐχερὴς ἐς ἅπαντας ἐγένετο. καὶ οὐδὲν ὑγιὲς οὐδ[ὲ]

*Lin.* 73. ἐπεξαγγέλλειν *Suidas in* συνίστωρ: *sed idem alibi cum vulgatis facit. Mallem* ἐξαγγελεῖν.

### XII. SUIDAS, *voce* ΠΙΜΕΛΗΣ.

Ille vero (*Q. Marcius Philippus*) præibat laborem militibus; quamquam ſexagenarius, & corpore prægravis atque obeſus.

### XIII. SUIDAS, *voce* ΑΝΑΛΑΜΒΑΝΕΙΝ.

Et ad *Perſeum*, lavantem tunc corpuſque curantem, adcurrit quidam, nunciavitque (adeſſe hoſtem.) Et rex, ex balneo proſiliens, clamavit, *ante pugnam ſe captum eſſe.*

### XIV. *Excerptum* PEIRESCIANUM.

*Perſeus*, ex fuga paulatim animo confirmatus, *Niciam* & *Andronicum*, quos ad pecuniam in mare dejiciendam & ad incendendas naves miſerat; poſtquam ſervatæ ipſi naves ſunt, & recuperata pecunia eſt; exiſtimans, conſcios tam turpis pavoris aliis quoque rem eam eſſe enunciaturos, *nefarie occidit.* Atque ab eo tempore crudelis in omnes & inconſtans, ſubita mutatione, eſſe cœpit: nec deinceps quid-

A. U. 585. εὔβουλόν οἱ ἔτι ἦν. ἀλλ' ὁ πιθανώτατος ἐς εὐβουλίαν, καὶ λογίσασθαι δεξιὸς, καὶ εὐτολμότατος ἐς μάχας, ὅσα γε μὴ σφάλλοιτο δι' ἀπειρίαν, ἀθρόως τότε καὶ παραλόγως ἐς δειλίαν καὶ ἀλογιστίαν ἐτρέπετο· καὶ ταχὺς, καὶ εὐμετάβετος ἄφνω, καὶ σκαιὸς ἐς πάντας ἐγίγνετο, ἀρχομένης αὐτὸν ἐπιλείπειν τῆς τύχης. ὅπερ ἐστὶ πολλοὺς ἰδεῖν, μεταβολῆς προϊούσης ἀλογωτέρους γιγνομένους ἑαυτῶν.

## XV. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Ὅτι Ῥόδιοι πρέσβεις ἐς Μάρκιον ἔπεμψαν, συνηδόμενοι τῶν γεγονότων Περσεῖ. ὁ δὲ Μάρκιος τοὺς πρέσβεις ἐδίδασκε Ῥοδίους πεῖσαι, πέμψαντας ἐς Ῥώμην διαλῦσαι τὸν πόλεμον Ῥωμαίοις τε καὶ Περσεῖ. καὶ Ῥόδιοι πυθόμενοι, μετέπιπτον· ὡς οὐ φαύλως ἔχοντος τοῦ Περσέως. οὐ γὰρ εἴκαζον ἄνευ Ῥωμαίων ταῦτα Μάρκιον ἐπισκήπτειν.

*Lin.* 76. ἀλλ' ὅτι πιθανωτ. *Suid. mend. Forte* ὁ τέως πιθανωτ. *L.* 79. ἐτράπετο, *& mox* ἐγένετο *Suid.* *L.* 80. *Forsan* ἐς πάντα, inconsultus in omnibus rebus: *Sic forte & paulo ante*, *l.* 75. ἐς ἅπαντα *legendum.* *L.* 81. ὅπερ, *quod dedit MS. & Suidas*, *in* ὥσπερ *mutavit Valesius*; *sine necessitate*, *ut videtur.* *L.* 82. γενομένους *Suid.*

quam sanæ mentis ac prudenti consilio egit. Sed qui antea merito omnibus visus erat prudentissimus; & in excogitando solers fuerat, & in pugna, nisi quum imperitia laberetur, fortissimus; is repente tunc & incredibili modo, postquam eum fortuna deserere cœpit, *ad timiditatem et imprudentiam deflexit*, & præceps, ac subito mutabilis, & in omnes durus & asper, factus est. Quemadmodum multis usu venire solet, ut, *rebus suis in deterius ruentibus*, *pristina excidant prudentia.*

## XV. *Excerptum* XXVII. *de* LEGATIONIBUS.

*Rhodii* ad *Marcium* legatos miserunt, gratulatum de his quæ *Perseo* acciderant. Eos legatos monuit *Marcius*, persuaderent Rhodiis, ut legatos Romam mitterent, conciliandæ pacis causa inter Romanos Perseumque. Quo audito, Rhodii mutarunt paulisper consilium; intelligentes, non pessimo in statu esse res Persei. Suspicabantur enim, non absque publico consilio illud mandatum sibi de-

ὁ δ᾽ ἀφ᾽ ἑαυτοῦ καὶ τάδε, καὶ ἕτερα πολλὰ, δι᾽ ἀτολμίαν ἔπραττε. Ῥόδιοι μὲν οὖν, καὶ ὡς, πρέσβεις ἔπεμπον ἐς Ῥώμην, καὶ ἑτέρους πρὸς Μάρκιον. A. U.

## XVI. ΕΚΛ. ΠΕΡΙ ΑΡΕΤ. ΚΑΙ ΚΑΚ.

Ὅτι Γένθιος, βασιλεὺς Ἰλλυριῶν, ἑνὸς ἔθνους προσοίκου Μακεδόσι, Περσεῖ συμμαχῶν ἐπὶ τριακοσίοις ταλάντοις, ὧν τι καὶ προειλήφει, ἐσέβαλεν ἐς τὴν ὑπὸ Ῥωμαίοις Ἰλλυρίδα, καὶ πρέσβεις περὶ τούτων πρὸς αὐτὸν ἐλθόντας, Περπένναν καὶ Πετίλιον, ἔδησεν. ὧν ὁ Περσεὺς αἰσθόμενος, οὐκέτι τὰ λοιπὰ τῶν χρημάτων ἔπεμπεν· ὡς ἤδη καὶ δι᾽ αὐτὸν Ῥωμαίοις πεπολεμωμένον. Ἐς δὲ Γέτας ἔπεμπε τοὺς ὑπὲρ Ἴστρον· καὶ Εὐμενοῦς ἀπεπείρασεν ἐπὶ χρήμασιν, ἢ μεταθέσθαι πρὸς αὐτὸν, ἢ διαλῦσαι τὸν πόλεμον, ἢ ἀμφοτέροις ἐκστῆναι τοῦ ἀγῶνος. Εὐμενεῖ δ᾽ ὡς οὐ 586.

*Lin.* 91. πρὸς Ῥώμην *Edd.* & ἐς *in marg.* *L.* 96. *correxi vulg.* Πετήλιον. *L.* 98. *An* πεπολεμωμένῳ? *L.* 99. Εὐμένους *Edd.* & *ſic deinceps.* *L.* 2 *ſq.* Εὐμενεῖ δ᾽ ὡς &c. *Corruptus locus. Forſan:* Εὐμενῆ δ᾽, ὡς οὐ λησόμενα ταῦτα Ῥωμαίους, ἤλπιζε πράξειν τι αὐτῶν &c. *Si retineas* ἐλπίζων, *delendum videtur* δ᾽ *poſt* Εὐμενῆ, *aut in* δὴ *mutandum; niſi forte aliud quid præceſſit, quod exciderit.*

diſſe Marcium. Sed ille & hoc ipſum, & multa alia, privato conſilio propter ignaviam fecerat. *Rhodii* igirur, nihilo tamen ſecius, legatos Romam miſerunt, & rurſus alios ad *Marcium.*

## XVI. *Excerptum* PEIRESCIANUM.

*Genthius*, partis *Illyriorum rex* Macedonibus finitimæ, poſtquam ſocietatem cum *Perſeo* trecentorum talentorum mercede pepigiſſet, ejuſque pecuniæ exiguam partem accepiſſet præſentem, mox in eam regionem Illyrici, quæ populo Rom. parebat, cum exercitu irrupit; & legatos, qui de ea re queſtum ad ipſum miſſi erant, *Perpennam* & *Petilium*, in vincula conjecit. Quo audito, *Perſeus* reliquam ſummam ad *Genthium* mittere ſuperſedit; contraxiſſe jam eum ratus propriam belli cum Romanis gerendi neceſſitatem. Ceterum ad *Getas*, qui trans Iſtrum incolunt, miſit legatos: atque *Eumenem* oblata pecunia ſolicitavit, ut aut ad ſuas tranſiret partes, aut pacem ſibi conciliaret cum Romanis, aut certe neutri parti ſeſe adjungeret. Et ſperabat, aut

A. U. 586. λησομένῳ ταῦτα Ῥωμαίοις ἐλπίζων πράξειν τι αὐτῶν, ἢ τῇ πείρᾳ διαβαλεῖν τὸν Εὐμενῆ. ὁ δὲ μεταθήσεσθαι μὲν οὐκ, ἔφη· τάλαντα δ' ᾔτει τῆς μὲν διαλύσεως χίλια καὶ πεντακόσια, τῆς δὲ ἡσυχίας χίλια. καὶ ὁ Περσεὺς ἤδη, Γετῶν αὐτῷ προσιέναι μισθοφόρους, μυρίους ἱππέας, καὶ μυρίους πεζοὺς, πυθόμενος, αὐτίκα τοῦ Εὐμενοῦς κατεφρόνει· καὶ τῆς μὲν ἡσυχίας οὐκ, ἔφη, δώσειν οὐδέν· αἰσχύνην γὰρ φέρειν ἀμφοῖν. τὰ δὲ τῆς διαλύσεως οὐ προδώσειν, ἀλλ' ἐν Σαμοθράκῃ καταθήσειν μέχρι γένοιτο ἡ διάλυσις· εὐμετάβολος ἤδη καὶ μικρολόγος, ὑπὸ θεοβλαβείας, ἐς πάντα γενόμενος. ἑνὸς δὲ, ὧν ἤλπισεν, ὅμως οὐκ ἀπέτυχε, Ῥωμαίοις Εὐμενοῦς ὑπόπτου γενομένου.

II. Γετῶν δὲ τὸν Ἴστρον περασάντων, ἐδόκει, Κλοιλίῳ μὲν τῷ ἡγεμόνι δοθῆναι χιλίους χρυσοῦς στατῆρας, ἱππεῖ δ' ἑκάστῳ δέκα, καὶ τὰ ἡμίσεα πεζῷ. καὶ τοῦτο σύμ-

*Lin.* 11. καθήσειν *MS.* *L.* 15. Κλοιλίῳ, *corruptum procul dubio nomen.* Clondicum *Livius vocat.*

Eumenem, quoniam occultæ legationes, quæ inter ipsos intercedebant, ad notitiam Romanorum essent perventuræ, facturum aliquid ex his; aut se eum Romanis ipsa illa solicitatione suspectum redditurum. Sed *Eumenes* societatem quidem inire cum *Perseo* recusabat: pacis vero conciliandæ causa mille & quingenta talenta; ut vero neutri adesset, mille poscebat. Interim *Perseus*, ubi intellexit, *Getarum* auxilia sibi adventare, decem millia peditum, equitum parem numerum; spernere protinus Eumenem cœpit: atque *pro eo, ut neutros juvaret Eumenes, nihil se daturum*, ait; *id enim ambobus pariter turpe fore. Pacis vero conciliandæ causa daturum quidem pactam pecuniam; sed non ante tempus: atque interim Samothracæ depositurum, donec pax perfecta esset.* Tanta in omnibus rebus & levitate & avaritia *Perseus*, lævo percitus numine, agebat. Et tamen eorum, quæ speraverat, alterum saltem est consecutus, ut *Eumenes Romanis suspectus* fieret.

2. Ceterum ex quo *Getæ Istrum transgressi* erant, debebant ex pacto *Clælio*, (*vel* Clondico) duci eorum, aurei mille numerari, singulis vero equitibus deni, peditibus quini:

παν ἦν ὀλίγῳ πλέον πεντεκαίδεκα μυριάδων χρυσίου. ὁ δὲ χλαμύδας μέν τινας ἐπήγετο καὶ ψέλλια χρυσᾶ καὶ ἵππους, ἐς δωρεὰν τοῖς ἡγουμένοις, καὶ στατῆρας φερομένους μυρίους. καὶ πλησιάσας μετεπέμπετο Κλοίλιον. ὁ δὲ τοὺς ἐλθόντας, εἰ φέρουσι τὸ χρυσίον, ἤρετο· καὶ μαθὼν οὐκ ἔχοντας, ἀναστρέφειν ἐπ᾽ αὐτὸν ἐκέλευσεν. ὧν ὁ Περσεὺς πυθόμενος, πάλιν αὐτὸν ἐλαύνοντος θεοῦ, κατηγόρει τῶν Γετῶν ἐν τοῖς φίλοις, ἐκ μεταβολῆς, ὡς φύσεως ἀπίστου. καὶ ὑπεκρίνετο, μὴ θαῤῥεῖν δισμυρίους αὐτῶν ἐς τὸ στρατόπεδον ὑποδέξασθαι. μόλις δὴ, ἔφη, μυρίους· ὧν καὶ νεωτεριζόντων κρατῆσαι δύνασθαι. Ταῦτα δὲ τοῖς φίλοις εἰπὼν, ἕτερα τοῖς Γέταις ἐπλάττετο, καὶ τὸ ἥμισυ τῆς στρατιᾶς ᾔτει, τὸ χρυσίον τὸ γιγνόμενον ὑπισχνούμενος δώσειν. τοσαύτης ἀνωμαλίας ἔγεμε, φροντίζων χρημάτων τῶν πρὸ βραχέος ἐς θάλασσαν μεθειμένων. ὁ δὲ Κλοίλιος τοὺς ἀφικομένους ἰδὼν, ἤρετο μετὰ βοῆς· εἰ τὸ χρυσίον κεκομίκασι; καὶ βουλο-

A. U. 586.

quæ ſumma efficiebat paulo amplius CXV. millibus aureorum nummûm. At *Perſeus* chlamydes quidem nonnullas, & aureos torques, & equos, dona principibus ferebat, & aureorum omnino millia decem: quumque haud procul Getarum caſtris abeſſet, *Clælium* ad ſe accivit. Sed ille, interrogatis qui ad ſe miſſi erant, ecquid aurum ſecum adtuliſſent? ubi, minime eos adtuliſſe, cognovit, ad Perſeum protinus redire juſſit. Quo cognito, *Perſeus*, ut erat inconſtans, rurſus Diis illum ad perniciem impellentibus, in amicorum concilio conqueſtus eſt de Getarum perfido ingenio. Et periculoſum ſibi videri ſimulavit, viginti millia barbarorum in caſtra accipere: vix decem millia admittere ſe audere: quos, ſi ſeditionem moviſſent, compeſcere haud adeo foret difficile. Hæc quum inter amicos dixiſſet; *Getis* alia, neſcio quæ, confinxit: ac dimidiam partem exercitus poſtulavit; pollicitus, ſe aurum, quod convenerat, daturum. Tanta inconſtantia laborabat; ſolicitus de pecunia, quam paulo ante in mare projici juſſerat. Sed *Clælius* advenientes videns hos, qui denuo a rege ad ipſum miſſi erant, clamans eis obviam, interrogavit: *pe-*

A. U. 586. μένους τι λέγειν, ἐκέλευε πρῶτον εἰπεῖν περὶ τοῦ χρυσίου. ὡς δ᾽ ἔμαθεν οὐκ ἔχοντας, οὐκ ἀνασχόμενος αὐτῶν οὐδ᾽ ἀκοῦσαι, τὴν στρατιὰν ἀπῆγεν ὀπίσω. καὶ Περσεὺς ἀφῄρητο καὶ τῆσδε τῆς συμμαχίας, πολλῆς τε, καὶ κατὰ καιρὸν ἐλθούσης. Ὑπὸ δ᾽ ἀφροσύνης, ἐν Φίλᾳ χειμάζων, καὶ στρατὸν ἔχων πολὺν, Θεσσαλίαν μὲν οὐκ ἐπέτρεχεν, ἣ Ῥωμαίοις ἐχορήγει τροφάς· ἐς δὲ τὴν Ἰωνίαν ἔπεμπε, κωλύειν τὴν ἀγορὰν, τὴν ἐκεῖθεν αὐτοῖς φερομένην.

XVII. ΕΚΛ. ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Ὅτι Παύλῳ, ἐπ᾽ εὐτυχίας τοσῆσδε γενομένῳ, τὸ δαιμόνιον ἐφθόνησε τῆς εὐτυχίας. Καὶ οἱ τεσσάρων παίδων ὄντων, τοὺς μὲν πρεσβυτέρους αὐτῶν ἐς θέσιν ἄλλοις ἐδεδώκει, Μάξιμόν τε καὶ Σκιπίωνα· τοὺς δὲ νεωτέρους ἄμφω, συνέβη, τὸν μὲν πρὸ τριῶν ἡμερῶν τοῦ θριάμβου, τὸν δὲ μετὰ πέντε, ἀποθανεῖν. καὶ τοῦτ᾽ οὐδενὸς ἧττον ὁ Παῦλος κατελογίσατο τῷ δήμῳ. ἔθους γὰρ ὄντος τοῖς

*cuniam-ne adferrent?* Qui quum ambages miſcerent, primum de auro reſpondere juſſit. Quod ubi eos non adferre intellexit; ne verbum quidem ultra ab eis audire ſuſtinens, exercitum retro in patriam abduxit. Ita *Perſeus* his quoque auxiliis, ingentibus ſane, & perquam opportune ei advenientibus, ſemet ipſe privavit. Et quum *Philæ* hibernaret, magnumque exercitum aleret; ita imprudens fuit, ut in Theſſaliam quidem, quæ alimenta Romanis ſuppeditabat, nullis incurſionibus irrumperet; in Joniam tantum parte copiarum miſſa, quo annonam, quæ inde ſubvehebatur Romanis, intercluderet.

XVII. *Excerptum* PEIRESCIANUM.

*Paulo Æmilio*, ad tantum felicitatis faſtigium evecto, invida quædam numinis vis incubuit. Nam ex quatuor, quos habuerat, filiis, quum duos, in adoptionem dediſſet, *Maximum* ac *Scipionem*; reliquos duos, minores natu, accidit, ut eodem fere tempore amiſerit: alterum triduo ante triumphum, alternm quinque poſt triumphum diebus. Idque *Paulus* inter ceteras res ſuas pro concione commemo-

στρατηγοῖς, καταλέγειν τὰ πεπραγμένα, παρελθὼν ἐς τὴν ἀγορὰν εἶπεν· Ες μὲν Κέρκυραν ἐκ Βρεντεσίου διαπλεῦσαι μιᾶς ἡμέρας. ἐκ δὲ Κερκύρας πέντε μὲν ἐς Δελφοὺς ὁδεῦσαι, καὶ θῦσαι τῷ θεῷ· πέντε δὲ ἄλλαις ἐς Θεσσαλίαν παραγενέσθαι καὶ παραλαβεῖν τὸν στρατόν· ἀπὸ δὲ ταύτης πεντεκαίδεκα ἄλλαις ἑλεῖν Περσέα, καὶ Μακεδόνας παραλαβεῖν. οὕτω δὲ ὀξέως ἁπάντων ἐπιτυχὼν, δεῖσαι, μή τι τῷ στρατῷ συμπέσοι, πρὸς ὑμᾶς ἐπανιόντι. Διασωθέντος δὲ τοῦ στρατοῦ, περὶ ὑμῶν ἐδεδοίκειν, ἔφη· Φθονερὸς γὰρ ὁ δαίμων. εἰς ἐμὲ δὲ ἀποσκήψαντος τοῦ κακοῦ, καὶ ἀθρόως μοι τῶν δύο παίδων ἀποθανόντων, ἐπ' ἐμαυτῷ μέν εἰμι βαρυσυμφορώτατος, ἐπὶ δὲ ὑμῖν ἀμέριμνος. Ταῦτ' εἰπὼν, καὶ καταθαυμαζόμενος ἐπὶ πᾶσιν, οἰκτιζόμενος δὲ ἐπὶ τοῖς τέκνοις, μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.

A. U. 586.

*Lin.* 59 *ſq. correxi vulgatum* ἐδιδοίκειν.

ravit. Nam quum *moris* eſſet, ut *de rebus a ſe geſtis Imperatores diſſererent ad populum*; PAULUS, in concionem prodiens, hæc fere dixit: „Brunduſio cum ſolviſſem, eodem die Corcyram tenui. Inde quinto die Delphos veni, atque Appollini ſacrificavi. Aliis quinque diebus Delphis in Theſſaliam perveni, & accepi exercitum. Abhinc, intra quintum decimum diem, Perſeum cepi, ac Macedoniam ſubegi. *Quæ cum mihi adeo præcipiti rerum ſecundarum curſu contigiſſent*; *vereri cœpi*, ne qua calamitas *exercitui* in urbem revertenti ingrueret. Poſtquam exercitus incolumis ad vos pervenit; *vobis*, *QUIRITES*, timere ab invida numinis vi inſtiti. Jam vero quum *meum in caput* calamitas incubuerit, ac duo mihi filii ſimul ſint fato rapti; equidem, quod ad me adtinet, calamitoſiſſimus hominum omnium; de vobis autem, *QUIRITES*, jam ſum ſecurus." His dictis, *Paulus*, omnium admiratione ob cetera celebratus, orbitatis autem cauſa omnibus vicem ejus dolentibus, haud multo poſt & ipſe vita exceſſit.

A. U.

# ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΩΝ ΣΥΡΙΑΚΗ.

ΑΝΤΙΟΧΟΣ, ὁ Σελεύκου τοῦ Αντιόχου, Σύρων καὶ Βαβυλωνίων καὶ ἑτέρων ἐθνῶν βασιλεὺς, ἕκτος δὲ ἀπὸ Σελεύκου, τοῦ μετὰ Ἀλέξανδρον Ἀσίας τῆς περὶ Εὐφράτην βεβασιλευκότος· ἐσβαλὼν ἐς Μηδίαν τε καὶ Παρθυηνὴν, καὶ ἕτερα ἔθνη, ἀφιστάμενα ἔτι πρὸ αὐτοῦ, καὶ πολλὰ καὶ μεγάλα δράσας, καὶ Μέγας Ἀντίοχος ἀπὸ
556. τοῦδε κληθείς· ἐπαιρόμενος τοῖς γεγονόσι, καὶ τῇ δι' αὐτὰ προσωνυμίᾳ, Συρίαν τε τὴν Κοίλην, καὶ Κιλικίας ἔστιν ἃ, Πτολεμαίου τοῦ Φιλοπάτορος, Αἰγύπτου βασιλέως, ἔτι παιδὸς ὄντος, ἐπιδραμὼν περιέσπασε. καὶ μικρὸν οὐδὲν

*Lin.* 4. Μηδείαν *edit.* 1. *Ibid.* Παρθηίνην *Edd.* *L.* 6. καὶ μεγάλα *carent Edd.* *Ibid. ſq.* Ἀντίοχος ἐπικληθεὶς, *&* *carent* ἀπὸ τοῦδε, *Edd.* *L.* 8. προσανομίᾳ *edit.* 2. 3.

# APPIANI ALEXANDRINI ROMANARUM HISTORIARUM LIBER DE REBUS SYRIACIS.

ANTIOCHUS Seleuci filius, Antiochi nepos, *Syrorum et Babyloniorum* aliarumque gentium *rex*, ſextus ab eo Seleuco, qui poſt Alexandrum in Aſia circa Euphratem regnaverat: *Mediam* primum adgreſſus & *Parthiam*, aliaſque provincias, quæ a progenitoribus ejus defecerant; & ex multis rebus præclare geſtis, MAGNUS cognominatus: elatus jam cum ſucceſſibus, tum cognomine, *Cæleſyriam* quoque & partem *Ciliciæ* invaſit; Ptolemæoque Philopatori, Ægypti regi, etiam tum puero, provincias illas abſtulit. Mox-

ἐνθυμούμενος, Ἑλλησποντίους ἐπῄει, καὶ Αἰολέας καὶ Ἴωνας, ὡς οἱ προσήκοντας, ἄρχοντι τῆς Ἀσίας, ὅτι καὶ πάλαι τῶν τῆς Ἀσίας βασιλέων ὑπήκουον. ἔς τε τὴν Εὐρώπην διαπλεύσας, Θρᾴκην ὑπήγετο, καὶ τὰ ἀπειθοῦντα ἐβιάζετο, Χεῤῥόνησόν τε ὠχύρου, καὶ Λυσιμάχειαν ᾤκιζεν· ἣν Λυσίμαχος μὲν, ὁ Θρᾴκης ἐπὶ Ἀλεξάνδρῳ βασιλεύσας, ἔκτισεν ἐπιτείχισμα τοῖς Θρᾳξὶν εἶναι, οἱ Θρᾷκες δ᾽ ἀποθανόντος τοῦ Λυσιμάχου καθῃρήκεσαν. καὶ ὁ Ἀντίοχος συνῴκιζε, τούς τε φεύγοντας τῶν Λυσιμαχέων κατακαλῶν, καὶ, εἴ τινες αὐτῶν αἰχμάλωτοι γεγονότες ἐδούλευον, ὠνούμενος, καὶ ἑτέρους προσκαταλέγων, καὶ βοῦς καὶ πρόβατα καὶ σίδηρον ἐς γεωργίαν ἐπιδιδοὺς, καὶ οὐδὲν ἐλλείπων ἐς ταχεῖαν ἐπιτειχίσματος ὁρμήν. πάνυ γὰρ αὐτῷ τὸ χωρίον ἐφαίνετο λαμπρῶς ἔχειν ἐπὶ ὅλῃ Θρᾴκῃ, καὶ ταμιεῖον εὔκαιρον ἐς τὰ λοιπὰ, ὧν ἐπενόει πάντων, ἔσεσθαι. *A. U. 558.*

*Lin.* 11. Ἑλλησποντείους *Edd.* *L.* 14. Θρᾴκη *edit.* 1. *ex Reg. A.* *L.* 15. Χεῤῥόννησον *cum dupl. ν. Aug. ut solet; quod alibi in context. quoque recepi.* *L.* 20. καὶ οἵτινες *Edd.* *L.* 23. ἐλλεῖπον *edit.* 1. *Ibid. pro* ἐπιτειχίσματος ὁρμὴν, PLETHO *in* EXCERPTIS *dat* τῆς πόλεως συνοίκισιν. *L.* 25. ταμεῖον *Edd.*

que, nihil mediocre cogitans, & *Hellespontios* bello petiit, & *Æoles Jonas*que, quasi ad suam ditionem, ut REGIS ASIÆ, pertinentes; quandoquidem etiam horum majores regibus Asiæ subditi fuissent. Deinde *in Europam* trajiciens, *Thraciam* subigebat, vi ad obsequium coactis, qui parere nollent; *Chersonesum*que muniit; & *Lysimachiam* instauravit, quam olim Lysimachus, rex post Alexandrum Thraciæ, ceu arcem contra ipsos Thracas condiderat, Thraces vero post ejus mortem deleverant. Hanc tunc *Antiochus* rursum incoli jussit, revocatis civibus profugis, & redemtis si qui eorum in captivitate serviebant, aliisque additis colonis; ultro donans eis boves ovesque, & ferrum ad agriculturam: omnique studio id agens, ut urbs, quæ arx belli esset futura, quam celerrime & frequentaretur & bene muniretur. Videbatur enim ei locus hic opportunissimus adversus universam Thraciam, simulque horreum commodissimum adparatibus reliquarum rerum; quas animo meditabatur.

A. U. 558. II. Ταῦτα δὴ αὐτῷ διαφορᾶς φανερᾶς καὶ πρὸς Ῥωμαίους ἦρξεν. ὡς γὰρ δὴ μετῄει τὰς ταύτῃ Ἑλληνίδας πόλεις· οἱ μὲν πλέονες αὐτῷ προσετίθεντο, καὶ φρουρὰς ἐσεδέχοντο, δέει τῆς δυνάμεως· Σμυρναῖοι δὲ, καὶ Λαμψακηνοὶ, καὶ ἕτεροι, ἔτι ἀντέχοντες, ἐπρεσβεύοντο ἐς Φλαμίνιον τὸν Ῥωμαίων στρατηγὸν, ἄρτι Φιλίππου τοῦ Μακεδόνος μεγάλῃ μάχῃ περὶ Θετταλίαν κεκρατηκότα. ἐγίγνετο γὰρ δὴ καὶ τὰ Μακεδόνων καὶ τὰ Ἑλλήνων ἐπίμικτα ἀλλήλοις ἀνὰ μέρη καὶ χρόνους, ὥς μοι ἐν τῇ Ἑλληνικῇ γραφῇ δεδήλωται. καὶ γίγνονταί τινες Ἀντιόχῳ καὶ Φλαμινίῳ διαπρεσβεύσεις ἐς ἀλλήλους, καὶ ἀπόπειραι ἀτελεῖς. Ἐκ πολλοῦ δὲ οἱ Ῥωμαῖοι καὶ ὁ Ἀντίοχος ὑπόπτως εἶχον ἀλλήλοις· οἱ μὲν οὐκ ἀτρεμήσειν ὑπολαμβάνοντες Ἀντίοχον, ἐπαιρόμενον ἀρχῆς τε μεγέθει, καὶ εὐπραξίας ἀκμῇ· ὁ

*Lin.* 27 *sq. Verba,* Ταῦτα δὴ αὐτῷ --- Ἑλληνίδας πόλεις· *desiderantur vulgo: recepi ex Pleth.* *L.* 28 *sq.* οἱ μὲν δὴ πλείονες *Edd.* δὴ *delevi cum Pleth. Leid.* πλέονες, *ut alibi, dederunt Aug. Ven.* *L.* 31. Φλαμίνιον *&* *mox* Φλαμινίῳ, *retinui ex Edd. cum quibus consentiunt Cand. & Pletho & MSS. nostri, nisi quod Aug. det* Φλαμμίνιον *&* Φλαμμινίῳ *cum dupl.* μ. *& sic constanter.* *Ib. sq.* Ῥωμαῖον *edit.* 1. *L.* 36 *sq.* γίγνονται λόγοι τῶν (*lege* τῷ) Ἀντιόχῳ καὶ Φλαμμινίῳ διὰ πρέσβεων εἰς ἀλλήλους *Aug. & sic legendum videtur.* διὰ πρέσβεων *dat etiam Ven.* *L.* 37 *sq. pro* ἐκ πολλοῦ δὲ, *dat* ἑκάτεροι δὲ *Aug. Mox* ὁ *ante* Ἀντιοχ. *omisit idem.* *L.* 40. *pro* ἀκμῇ *dant* ἀρχῇ *Edd.*

2. Et hinc primum initium ceperunt *dissidia*, quæ paulo post *inter Antiochum Romanosque* eruperunt. Ut enim Græcas civitates, quæ in illis sunt regionibus, invasit rex; pleræque quidem se ei adjunxerunt, præsidiaque ejus, metu potentiæ, receperunt: sed *Smyrnæi* & *Lampsaceni* aliique, resistentes adhuc, legatos miserunt ad *Flaminium* imperatorem Romanorum, qui paulo ante magno prælio Philippum Macedonem vicerat in Thessalia. Fuit enim tempus, quando res Macedonum & Græcorum magna ex parte erant permixtæ, quemadmodum in *Libro de rebus Græciæ* a nobis expositum est. Hinc inter *Antiochum* quoque et *Flaminium* intercessere *legationes* nonnullæ, quibus nil aliud actum est, nisi quod voluntatem alter alterius exploraverit. Jamdudum enim inter Antiochum & Romanos mutuæ suspiciones fuerant: quod hi non quieturum regem putarent, elatum regni magnitudine, & flore felicitatis;

δὲ, Ῥωμαίους οἱ μόνους αὐξομένῳ μάλιστα ἐμποδὼν ἔσεσθαι, καὶ κωλύσειν ἐς τὴν Εὐρώπην περαιούμενον. Οὐδενὸς δέ πω φανεροῦ γεγονότος αὐτοῖς εἰς ἔχθραν, ἀφίκοντο πρέσβεις ἐς Ῥώμην παρὰ Πτολεμαίου τοῦ Φιλοπάτορος, αἰτιωμένου, Συρίαν τε καὶ Κιλικίαν Ἀντίοχον αὐτὸν ἀφελέσθαι. καὶ οἱ Ῥωμαῖοι τῆς ἀφορμῆς ἐπέβαινον ἄσμενοι, κατὰ καιρὸν σφίσι γενομένης· καὶ πρέσβεις ἐς τὸν Ἀντίοχον ἔστελλον, οἳ λόγῳ μὲν ἔμελλον συναλλάξειν Πτολεμαῖον Ἀντιόχῳ, ἔργῳ δὲ κατασκέψεσθαι τὴν ὁρμὴν Ἀντιόχου, καὶ κωλύσειν ὅσα δύναιντο. A. U. 558.

III. Τούτων δὴ τῶν πρέσβεων Γναῖος ἡγούμενος ἠξίου τὸν Ἀντίοχον, Πτολεμαίῳ μὲν, ὄντι Ῥωμαίων φίλῳ, συγχωρεῖν ἄρχειν ὅσων ὁ πατὴρ αὐτῷ κατέλιπε· τὰς δ᾽ ἐν Ἀσίᾳ πόλεις, ὧν Φίλιππος ὁ Μακεδὼν ἦρχεν, αὐτονόμους ἐᾷν. οὐ γὰρ εἶναι δίκαιον, Ἀντίοχον κρατεῖν ὧν Φίλιππον ἀφείλοντο Ῥωμαῖοι. ὅλως δ᾽ ἀπορεῖν, ἔφη, τί τοσοῦτον στόλον ὁ Ἀντίοχος καὶ τοσαύτην στρατιὰν ἄγων ἄνωθεν

*Lin. 45 sq.* ὑφελέσθαι *Aug. Ven.* *L. 47.* σφίσι *ex Pleth. & Cand. adjeci.* *L. 49.* κατασκέψασθαι *edit.* 1. *L. 51. pro* Γναῖος *dant* Λεύκιος Κορνήλιος *Polyb. & Livius, quod & Appiano fortasse restituendum.* *L. 56.* οἱ Ῥωμαῖοι *Edd. ex Reg. A.*

rex vero solos Romanos incrementa sua prohibituros existimaret, neque laturos ipsius in Europam transitum. Nondum tamen ullum simultatis publicum argumentum exstiterat, quum *legati* Romam venerunt *a Ptolemæo Philopatore; querente de Antiocho*, quod Syriam sibi Ciliciamque abstraxisset. Eam occasionem, ut sibi opportunam, libenter arripuerunt *Romani:* moxque *legatos ad Antiochum* miserunt, prætextu reconciliandi reges, re vera ut explorarent conatus Antiochi, & cohiberent pro viribus.

3. Ejus *legationis princeps, Cnæus*, (potius, *L. Cornelius*,) postulavit a rege, ut „ *Ptolemæum*, populi Rom. amicum, sineret potiri paterno regno integro: & *Asiæ civitates*, quas Philippus Macedo tenuisset, liberas relinqueret; inique enim usurpari ab Antiocho, quæ Romani ademerint Philippo. Omninoque mirum esse, ait, quid sit, quod rex cum tanta classe tantoque exercitu e Media venerit in Asi-

A. U. 558. ἐκ Μήδων ἔλθοι τῆς Ἀσίας ἐπὶ θάλασσαν, ἔς τε τὴν Εὐρώπην ἐσβάλοι, καὶ πόλεις ἐν αὐτῇ κατασκευάζοιτο, καὶ Θρᾴκην ἐπάγοιτο· εἰ μὴ ταῦτά ἐστιν ἑτέρου πολέμου θεμέλια. Ὁ δ᾽ ἀπεκρίνατο, Θρᾴκην μὲν, τῶν προγόνων αὐτοῦ γενομένην τε, καὶ δι᾽ ἀσχολίας ἐκπεσοῦσαν, αὐτὸς ἐπὶ σχολῆς ὢν ἀναλαμβάνειν· καὶ Λυσιμάχειαν ἐγείρειν, οἰκητήριον Σελεύκῳ τῷ παιδὶ εἶναι. τὰς δ᾽ ἐν Ἀσίᾳ πόλεις αὐτονόμους ἐάσειν, εἰ χάριν οὐ Ῥωμαίοις ἀλλ᾽ ἑαυτῷ μέλλοιεν ἕξειν. Πτολεμαίῳ δ᾽, ἔφη, καὶ συγγενής εἰμι, καὶ ὅσον οὔπω καὶ κηδεστὴς ἔσομαι· καὶ χάριν ὑμῖν αὐτὸν ὁμολογεῖν παρασκευάσω. ἀπορῶ δὲ κἀγὼ, τίνι Ῥωμαῖοι δικαίῳ τὴν Ἀσίαν πολυπραγμονοῦσιν, ἐμοῦ τὴν Ἰταλίαν οὐ πολυπραγμονοῦντος. Οὕτω μὲν ἀπ᾽ ἀλλήλων ἄπρακτοι διεκρίθησαν, ἀποῤῥηγνύντες ἤδη τὰς ἀπειλὰς ἐς τὸ φανερώτερον.

559. IV. Λόγου δὲ καὶ δόξης ἐμπεσούσης, ὅτι Πτολεμαῖος ὁ Φιλοπάτωρ ἀποθάνοι, κατὰ σπουδὴν ὁ Ἀντίοχος ἀπῄει,

*Lin. 60.* ὑπάγοιτο *Pl. quod verius videtur.* *L. 63 ſq.* ἀνεγείρειν *Pl.* *L. 65.* εἰ τὴν χάριν *Pl. quod magis placet.* *L. 67.* καὶ *poſt* οὔπω *inſerui ex Pleth.* *L. 71. mallem* ἤδη καὶ ἀπειλὰς *cum Plethone, qui dat* ἤδη καὶ ἐς τὸ φαν. τὰς ἀπειλάς. *L. 73.* δὲ *carent Edd.* *L. 74 ſq.* ἀπῄει ἐπ᾽ Αἴγυπτ. *Aug. in text. ſed* ὡς *pro* ἐπ᾽ *dat margo ab ead. man. Mallem* ἐπ᾽ Αἴγυπτον, ὡς ἐρημ.

am maritimam, jamque infeſtet *Europam*, & urbes in ea ædificet, *Thraciam*que ſubigat: niſi hunc ad aliud bellum gradum faciat." Reſpondit ANTIOCHUS: „*Thraciam*, poſſeſſam quondam a ſuis majoribus, deinde his alibi occupatis abſtractam, ſe nunc recuperare per otium: & ibi *Lyſimachiam* condere, *Seleuco* filio ſedem regni futuram. Ceterum *Aſiæ civitates* liberas ſe relicturum, ſi gratiam beneficii ſibi, non populo Romano, eſſent habituræ. *Ptolemæi* vero cognatus ſum, inquit, mox ſocer quoque futurus; & curabo, ut vobis ille pro hoc officio habeat gratias. Miror autem & ego, quo jure populus Rom. de Aſia ſatagat, quum ego rebus Italicis me non ingeram." Ita re infecta diſceſſum eſt, utriſque jam in apertiores minas prorumpentibus.

4. Quumque rumoribus temere crediddiſſet *Antiochus*, mortuum eſſe Philopatorem,

ὡς Αἴγυπτον ἔρημον ἄρχοντος ἁρπασόμενος. καὶ αὐτῷ κατὰ Ἔφεσον Αννίβας ὁ Καρχηδόνιος συμβάλλει, φεύγων τὴν πατρίδα, δι' ἐχθρῶν διαβολὰς, οἱ Ρωμαίοις αὐτὸν ἔφασκον εἶναι δύσεριν τε καὶ φιλοπόλεμον, καὶ οὔποτε εἰρηνεύειν δυνάμενον. τότε δ' ἦν, ὅτε Καρχηδόνιοι Ρωμαίοις ὑπήκουον ἔνσπονδοι. Αννίβαν μὲν δὴ, διώνυμον ἐπὶ στρατηγίαις ὄντα, ὁ Αντίοχος ὑπεδέχετο λαμπρῶς, καὶ εἶχεν ἀμφ' αὐτόν. περὶ δὲ τὴν Λυκίαν Πτολεμαῖον περιεῖναι μαθὼν, Αἰγύπτου μὲν ἀπέγνω, Κύπρον δ' ἐλπίσας αἱρήσειν ἀντὶ Αἰγύπτου, διέπλει κατὰ τάχος ἐπ' αὐτήν. χειμῶνι δ' ἀμφὶ τὸν Σάρον ποταμὸν συμπεσὼν, καὶ πολλὰς τῶν νεῶν ἀποβαλὼν, ἐνίας δ' αὐτοῖς ἀνδράσι καὶ φίλοις, ἐς Σελεύκειαν τῆς Συρίας κατέπλευσε, καὶ τὸν στόλον κατεσκεύαζε πεπονημένον. γάμους τε τῶν παίδων ἔθυεν, Αντιόχου καὶ Λαοδίκης, ἀλλήλοις συναρμόζων.

A. U. 559.

V. Ἤδη δὲ τὸν πρὸς Ρωμαίους πόλεμον ἐγνωκὼς ἀπο- 561.

*Lin. 76. vulgo* ξυμβάλλει. *L. 78.* καὶ ἄλλως φιλοπόλεμον *Pl. L. 82. correxi vulg.* αὐτόν. *L. 84.* ἐπ' *carent Edd.* ἐς *dat Aug. Prætuli Pleth. L. 85.* χειμῶνος *Edd. L. 87.* Σελευκίαν *Aug. L. 88.* κατεσκεύασε *Edd. ex Reg. A.*

properavit in Ægyptum, ut occuparet orbatam principe. In quo itinere Pœnus ei *Annibal* occurrit circa Ephesum; *profugus e patria* propter inimicorum calumnias, qui, quo tempore Carthaginienses Romanorum amicitiam ex fœdere colebant, *Annibalem* semper Romanis inimicum esse, dictitaverant, & belli cupidum, neque umquam pacem ex animo servaturum. Eum igitur *Antiochus*, propter nomen artibus imperatoriis celebre, excepit magnifice, & circa se habuit. In Lycia vero edoctus Ptolemæum vivere, cogitare de Ægypto desiit; *Cyprum* tamen *tetendit*, sperans, se ea insula saltem, quum Ægypto non posset, potiturum. Sed in eo trajectu, *tempestate* deprehensus *circa flumen Sarum*, *multas naves amisit*, & in his nonnullas cum amicis ceterisque vectoribus. Hinc Seleuciam Syriæ delatus, classem quassatam ibi reparavit; & liberorum celebravit *nuptias*, *Antiochi et Laodices*, quos matrimonio junxerat.

5. Quumque jam non diutius occultare constituisset *An-*

A. U. 561. καλύπτειν, ἐπιγαμίαις τοὺς ἐγγὺς βασιλέας προκατελάμβανε. καὶ Πτολεμαίῳ μὲν ἐς Αἴγυπτον ἔστελλε Κλεοπάτραν, τὴν Σύραν ἐπίκλησιν, προῖκα Συρίαν τὴν Κοίλην ἐπιδιδοὺς, ἣν αὐτὸς ἀφῄρητο τοῦ Πτολεμαίου· θεραπεύων ἤδη τὸ μειράκιον, ἵν' ἐν τῷ πολέμῳ τῷ πρὸς Ῥωμαίους ἀτρεμῇ. Ἀντιοχίδα δ' ἔπεμπεν Ἀριαράθῃ, τῷ Καππαδοκῶν βασιλεῖ, καὶ τὴν ἔτι λοιπὴν Εὐμενεῖ τῷ Περγάμου βασιλεῖ. ὁ δὲ (ἑώρα γὰρ αὐτὸν ἤδη Ῥωμαίοις τε πολεμησείοντα, καὶ πρὸς τήνδε τὴν χρείαν τὸ κῆδος αὐτῷ συναπτόμενον) ἠρνήσατο· καὶ τοῖς ἀδελφοῖς, Ἀττάλῳ τε καὶ Φιλεταίρῳ, θαυμάζουσιν ὅτι κῆδος βασιλέως τοσοῦδε καὶ γείτονος, αὐτοῦ τε κατάρχοντος καὶ δεομένου, παραιτοῖτο, ἐπεδείκνυ, τὸν ἐσόμενον πόλεμον ἐν μὲν ἀρχῇ τι παρ' ἀμφοῖν ἕξειν ἰσοπαλὲς, σὺν χρόνῳ δ' ὑπεροίσειν τὰ Ῥωμαίων, δι' εὐψυχίαν καὶ ταλαιπωρίαν. Ἐγὼ δ', ἔφη, Ῥωμαίων μὲν ἐπικρατούντων, βεβαίως τῆς ἀρχῆς τῆς ἐμῆς ἄρξω· Ἀντιόχου δὲ νικῶντος, ἐλπὶς μὲν ἀφαι-

*Lin.* 9 *ſq.* ἀφαιρεθήσεσθαι *Pl.*

*tiochus* conſilium belli adverſus Romanos ſuſcipiendi; vicinos reges adjungere ſibi connubiis inſtituit. Miſitque *Ptolemæo* in Ægyptum *Cleopatram*, *Syram* cognomine; dotem addens Cœleſyriam, quam ei prius ipſe ademerat; demeriturus jam adoleſcentem, ut bello Romano quieſceret. *Antiochidem* vero miſit *Ariarathi*, regi Cappadocum; ac tertiam, quæ reliqua erat, Eumeni obtulit, Pergami regi. Sed *Eumenes*, quia videbat eum jam bellum contra Romanos moliri, & in hunc uſum affinitatem illam quærere, recuſavit. Mirantibuſque fratribus, *Attalo* & *Philetæro*, quod aſpernaretur affinitatem tanti regis vicini, & ultro invitantis, oſtendit: „ bellum, quod immineret inter Antiochum & Romanos, primum quidem æquo Marte geſtum iri utrimque; ſed tandem ſuperiores fore Romanos, propter fortitudinem ac laborum patientiam. Ego vero, inquit, vincentibus Romanis, firmiter meum regnum obtinebo. Quod ſi contra Antiocho victoria contingeret; periculum mihi foret, aut a præpotente vicino ſpoliarer poſſeſſionibus

ῥεθῆναι πάντα πρὸς γείτονος, ἐλπὶς δὲ καὶ ἔχοντα βασιλεύσειν βασιλευόμενον ὑπ' ἐκείνου. Ὁ μὲν δὴ τοιοῖσδε λογισμοῖς τοὺς γάμους ἀπεώσατο. A. U. 561.

VI. Ὁ δ' Ἀντίοχος αὖθις ἐφ' Ἑλλησπόντου κατῄει, καὶ περιπλεύσας ἐς Χεῤῥόνησον, πολλὰ καὶ τότε τῆς Θρᾴκης ὑπήγετό τε καὶ κατεστρέφετο. Ἕλληνας δ', ὅσοι τοῖς Θρᾳξὶν ὑπήκουον, ἠλευθέρου· καὶ Βυζαντίοις ἐχαρίζετο πολλὰ, ὡς ἐπίκαιρον ἐπὶ τοῦ στόματος πόλιν ἔχουσι. Γαλάτας τε δώροις καὶ καταπλήξει τῆς παρασκευῆς ἐς συμμαχίαν ὑπήγετο, ἀξιομάχους ἡγούμενος ἔσεσθαί οἱ, διὰ τὰ μεγέθη τῶν σωμάτων. Μετὰ δὲ τοῦτο εἰς Ἔφεσον κατῆρε, καὶ πρέσβεις ἐς Ῥώμην ἔπεμπε, Λυσίαν τε καὶ Ἡγησιάνακτα καὶ Μένιππον· οἳ τῷ μὲν ἔργῳ, τῆς βουλῆς ἀποπειράσειν ἔμελλον. τῷ λόγῳ δ' ὁ Μένιππος ἔφη· Τὸν βασιλέα, περὶ τὴν Ῥωμαίων φιλίαν ἐσπουδακότα, καὶ βουλόμενον καὶ σύμμαχον αὐτοῖς εἶναι, ἂν ἀξιῶσι, θαυμάζειν, ὅτι κελεύουσι τῶν ἐν Ἰωνίᾳ πόλεων ἀφίστασθαι,

*Lin.* 18 *ſq. mallem* ἐς συμμ. ἐπήγετο. *L.* 22. Ἡγισιάνακτα *edit.* 2. 3. *vit.* *L.* 25. βουλόμενον αὐτοῖς εἶναι καὶ σύμμαχον *Aug. Ven.* βουλομ. φίλον αὐτοῖς εἶν. κ. συμμ. *Pl.*

omnibus; aut, etiam ſi regnum mihi maneret, parendum eſſet majoris regis imperio." Atque his ille de cauſis renuit nuptias.

6. *Antiochus* vero rurſus in Helleſpontum reverſus, & provectus in *Cherſoneſum*, multa tunc quoque Thraciæ loca vel vi vel deditione cepit. Græcos vero, quotquot Thracibus parebant, liberabat; & Byzantiis multa gratificatus eſt, opportunam urbem in ore Ponti habentibus. *Gallogræcos* quoque muneribus & terrore adparatus in ſocietatem belli pertraxit; quos, ſi hoſtes habuiſſet, ad reſiſtendum ſibi pares fore exiſtimaverat, propter corporum magnitudinem. Poſthæc Epheſum rediit, unde *legatos Romam* miſit, *Lyſiam*, *Hegeſianactem*, *Menippum*; re ipſa quidem, ut conſilia ſenatus explorarent: in ſpeciem autem hæc fere dixit MENIPPUS: „ *Antiochum* regem, ſtudioſum Romani nominis, & in ſocietatem etiam, ſi vellent, recipi cupientem, mirari, cur jubeatur Jonicis urbibus abſcedere, & aliis tributa remittere, & Aſiæ nego-

A. U. 561. καὶ φόρους τισὶν ἀφιέναι, καὶ τῆς Ἀσίας ἔνια μὴ πολυπραγμονεῖν, καὶ Θρᾴκην ἐᾶν, ἀεὶ τῶν προγόνων αὐτοῦ γενομένην· ἅπερ οὐ τοῖς φίλοις, ἀλλὰ τοῖς ἡττημένοις τοὺς κεκρατηκότας ἐπικελεύειν. Οἱ δὲ, τῆς πρεσβείας συνιέντες ἐπὶ διαπείρᾳ σφῶν ἀφιγμένης, διὰ βραχέος ἀπεκρίναντο αὐτοῖς· ἐὰν Ἀντίοχος αὐτονόμους τοὺς Ἕλληνας ἐᾷ τοὺς ἐν Ἀσίᾳ, καὶ τῆς Εὐρώπης ἀπέχηται, Ῥωμαίοις αὐτὸν ἔσεσθαι φίλον, ἂν θέλῃ. Τοσάδε μὲν ἀπεκρίναντο Ῥωμαῖοι, καὶ τὰς αἰτίας ταῖς ἀποκρίσεσιν οὐκ ἐπέθεσαν.

VII. Ὁ δ᾽ Ἀντίοχος ἐς πρώτην ἐπινοῶν τὴν Ἑλλάδα ἐσβαλεῖν, κἀκεῖθεν ἄρξασθαι τοῦ πρὸς Ῥωμαίους πολέμου, ὑπετίθετο τὴν γνώμην τῷ Καρχηδονίῳ Ἀννίβᾳ. ὁ δ᾽ ἔφη· Τὴν μὲν Ἑλλάδα, ἐκ πολλοῦ τετριμμένην, ἔργον εὐχείρωτον εἶναι· τοὺς δὲ πολέμους ἅπασι χαλεποὺς μὲν οἴκοι, διὰ λιμὸν τὸν ἐπιγιγνόμενον, ἔξω δὲ, κουφοτέρους. καὶ τὰ Ῥωμαίων οὔποτε Ἀντίοχον ἐν τῇ Ἑλλάδι καθαιρήσειν, ἀγορᾶς τε οἰκείας καὶ παρασκευῆς ἱκανῆς εὐπορούντων.

Ἐκέλευεν

*Lin.* 32. *artic.* τοὺς *ante* Ἑλλ. *carent Edd.* *L.* 36 *sq.* Ἑλλάδα βαλεῖν *Edd.* *L.* 39. τετρυμμένην *Edd. Prætuli Aug & Pl.* *L.* 42. καὶ τῇ Ἑλλ. *edit.* 3. *operar. vit.*

tiis quibuſdam ſeſe non miſcere, & omittere avitam poſſeſſionem Thraciæ: cujuſmodi leges non amicis, ſed bello victis ſoleant a victoribus, ferri." Ad quæ *Senatus*, intelligens, legatos tentatum ſe veniſſe, paucis verbis reſpondit: „Si Antiochus Græcos Aſiaticos ſinat eſſe liberos, & ab Europa abſtineat, fore amicum Populi Romani, ſi voluerit." Nil aliud reſpondit ſenatus, nec ullam reſponſo cauſam adjecit.

7. *Antiochus* vero, cogitans Græciam primum invadere, & inde bellum adverſus Romanos incipere, *communicavit cum* ANNIBALE id *conſilium.* Qui „Græciam, dixit, jamdudum adtritam, occupari poſſe abſque negotio: bella autem omnia domi eſſe difficilia propter famem comitem; foris vero geri facilius, neque Antiochum umquam debellaturum in Græcia Romanos, abundantes commeatu & adparatu domeſtico." *Suadebat*

Ἐκέλευεν οὖν τι προλαβεῖν τῆς Ἰταλίας, καὶ πολεμεῖν ἐκεῖθεν ὁρμώμενον, ἵνα Ῥωμαίοις ἀσθενέστερα ᾖ καὶ τὰ οἴκοι καὶ τὰ ἔξω. Ἔχω δ' ἐμπείρως, ἔφη, τῆς Ἰταλίας, καὶ μυρίοις ἀνδράσι δύναμαι καταλαβεῖν αὐτῆς τὰ ἐπίκαιρα· ἔς τε Καρχηδόνα τοῖς φίλοις ἐπιστεῖλαι, τὸν δῆμον ἐς ἀπόστασιν ἐγεῖραι, δυσφοροῦντα τέως ἐφ' ἑαυτοῦ, καὶ πρὸς Ῥωμαίους ἀπίστως ἔχοντα· τόλμης τε καὶ ἐλπίδος ἐμπλησόμενον, εἰ πύθοιτό με πορθοῦντα τὴν Ἰταλίαν αὖθις. Ὁ δ', ἄσμενος ἀκούσας τοῦ λόγου, καὶ μέγα (ὥσπερ ἦν) εἰς τὸν πόλεμον ἡγούμενος Καρχηδόνα προσλαβεῖν, αὐτίκα αὐτὸν ἐπιστέλλειν τοῖς φίλοις ἐκέλευεν. *A. U.* 561.

VIII. Ὁ δὲ οὐκ ἐπέστειλε μέν· (οὐ γὰρ ἀσφαλὲς ἡγεῖτό πω, Ῥωμαίων τε πάντ' ἀνερευνωμένων, καὶ τοῦ πολέμου μή πω φανεροῦ γεγονότος, καὶ πολλῶν οἱ διαφερομένων ἐν Καρχηδόνι, καὶ τῆς πολιτείας οὐδὲν βέβαιον οὐδ' εὐσταθὲς ἐχούσης· ἃ καὶ μετ' ὀλίγον ἀνέτρεψε τὴν Καρχηδόνα.) Ἀρίστωνα δ' ἔμπορον Τύριον, ἐπὶ προφάσει

*Lin.* 47. καταβαλεῖν *Edd.* *L.* 49. *mallem* ἀφ' ἑαυτοῦ. *L.* 51. ποθοῦντα *Edd.* *L.* 57. φανερῶς *Edd.*

*debat* igitur *Annibal regi*, *ut occuparet partem aliquam Italiæ, ibique ſedem belli faceret:* ita Romanam rem domi foriſque debiliorem fore. „Equidem vero peritus ſum, inquit, Italiæ, & poſſum in ea cum decem millibus virorum occupare opportunum locum aliquem: & Carthaginienſibus amicis mandare per literas, ut populum ad defectionem moveant, jam ante ſua ſponte a præſenti ſtatu abhorrentem, & a fide in Romanos alienum, facileque melioris ſpe fortunæ auſurum aliquid, ubi intellexerit, Italiam iterum a me oppugnari." Rex, libenter his auditis; magni, ut erat, momenti ratus ad hoc bellum eſſe acceſſionem Carthaginienſium; confeſtim eum amicis per literas mandata dare juſſit.

8. *Annibal* vero literas quidem non ſcripſit: id enim nondum tuto fieri poſſe arbitrabatur; quod & Romani ſcrutarentur omnia, & bellum nondum eſſet declaratum, & multos ipſe æmulos haberet Carthagine, & in ipſa republica nihil firmi, nullum ſtabile conſilium eſſet; quæ res & paulo poſt evertit Carthaginem. Sed *Ariſtonem* quemdam, negotiatorem *Tyrium*,

A. U. 561. τῆς ἐμπορίας ἔπεμπε πρὸς τοὺς Φίλους, ἀξιῶν, ὅταν αὐτὸς ἐς τὴν Ἰταλίαν ἐμβάλῃ, τότε ἐκείνους τὴν Καρχηδόνα ἐς ἄμυναν ὧν ἐπεπόνθεσαν ἐγείρειν. Καὶ ὁ μὲν Ἀρίστων οὕτως ἔπραξεν. οἱ δὲ τοῦ Ἀννίβου ἐχθροὶ, αἰσθόμενοι τῆς Ἀρίστωνος ἐπιδημίας, ἐθορύβουν, ὡς ἐπὶ νεωτέροις ἔργοις, καὶ τὸν Ἀρίστωνα ἐζήτουν περιϊόντες. ὁ δὲ, ἵνα τὴν διαβολὴν μὴ ἐξαίρετον ἔχοιεν οἱ Ἀννίβου Φίλοι, προὔθηκε νυκτὸς λαθὼν γράμματα πρὸ τοῦ βουλευτηρίου, ὅτι πάντας ὁ Ἀννίβας τοὺς βουλευτὰς παρακαλοίη τῇ πατρίδι συναράσθαι μετ᾽ Ἀντιόχου. καὶ τοῦτο πράξας ἀπέπλευσεν. ἅμα δ᾽ ἡμέρᾳ, τὸ μὲν δέος ἐξῄρητο τῶν Ἀννίβου Φίλων ἐκ τῆς Ἀρίστωνος ἐπινοίας, ὡς πρὸς ἅπασαν τὴν γερουσίαν ἀπεσταλμένου· ἡ δὲ πόλις ἐπεπλήρωτο θορύβου ποικίλου, δυσμενῶς μὲν ἔχουσα Ῥωμαίοις, λήσεσθαι δ᾽ οὐ προσδοκῶσα. καὶ τὰ μὲν Καρχηδονίων ὧδε εἶχε.

562. IX. Ῥωμαίων δὲ πρέσβεις, ἕτεροί τε, καὶ Σκιπίων, ὁ Καρχηδονίους ἀφελόμενος τὴν ἡγεμονίαν, ἐς ὁμοίαν πεμφ-

*Lin.* 62. ἐμβάλλῃ *Edd.* *L.* 77. Ῥωμαῖοι *Edd.* *Ibid.* Σκηπίων *Aug. Regii*, *Pletho*, *h. l.* & *deinceps plerumque.*

ſpecie negotiationis *miſit ad amicos*; poſtulans, ut quamprimum ipſe invaſiſſet Italiam, *populum Carthaginienſem concitarent* ad expetendam ultionem ob acceptas a Romanis injurias. Quæ mandata ille diligenter exſecutus eſt. Ceterum Annibalis inimici ut ſenſerunt adventum *Ariſtonis*, tumultuabantur, quaſi res novarentur, & quærebant per urbem hoſpitem Tyrium. Ille, ne amici Annibalis præ aliis hærerent in crimine, noctu clam ſcriptum quoddam pro curia expoſuit, quo *Annibal* univerſum ſenatum hortabatur, ut patriam defenderent autore Antiocho: ac protinus e portu ſolvit. Mane vero amici quidem Annibalis, hoc *Ariſtonis commento*, quaſi totus ſenatus ſolicitatus ſit, a ſuſpicione liberati ſunt: populus vero plenus fuit variis tumultibus, infenſus quidem Romanis, ſed clam eis moliri aliquid poſſe deſperans.

9. Interea *Romani legatos*, & in his *Scipionem*, qui Pœnis ademerat imperium, ſimi-

θέντες Ἀντιόχου τῆς τε γνώμης ἀπόπειραν, καὶ τῆς παρασκευῆς κατάσκεψιν, ἐπεὶ τὸν βασιλέα εὗρον οἰχόμενον ἐς Πισίδας, ἐν Ἐφέσῳ περιέμενον· ἔνθα συνήεσαν θαμινὰ ἐς λόγους τῷ Ἀννίβᾳ, Καρχηδόνος τε σφίσιν ἔτι οὔσης ἐνσπόνδου, καὶ οὔπω φανερῶς Ἀντιόχου πολεμίου: καταμεμφόμενοι τὸν Ἀννίβαν, ὅτι τὴν πατρίδα φύγοι, Ῥωμαίων οὐδὲν, οὔτε ἐς αὐτὸν, οὔτε ἐς τοὺς ἄλλους Καρχηδονίους, ἐπὶ ταῖς συνθήκαις ἁμαρτόντων. ἔπρασσον δὲ ταῦθ', ὕποπτον ἐργαζόμενοι γενέσθαι τῷ βασιλεῖ τὸν Ἀννίβαν, ἐκ τῆς συνεχοῦς σφῶν ὁμιλίας τε καὶ συνόδου. καὶ τοῦθ' ὁ μὲν στρατηγικώτατος Ἀννίβας οὐχ ὑπενόησεν· ὁ δὲ βασιλεὺς πυθόμενος ὑπώπτευσε, καὶ ἀμβλύτερος ἦν τὸ ἀπὸ τοῦδε πιστεύειν ἔτι τῷ Ἀννίβᾳ. καὶ γάρ τι καὶ ζήλου προὐπῆν ἐς αὐτὸν ἤδη καὶ φθόνου, μὴ τῶν γιγνομένων τὸν ἔπαινον Ἀννίβας ἀποφέροιτο. *A. U. 562.*

X. Λέγεται δ' ἐν ταῖσδε ταῖς διατριβαῖς ἐν τῷ γυμνασίῳ λεσχηνεῦσαί ποτε πρὸς ἀλλήλους Σκιπίωνα καὶ Ἀν-

*Lin. 79.* τε *ante* γνώμης *ex Aug. inserui.* *L. 81.* παριέμενον *edit. 1.* *Ibid.* συνίεσαν *edit. 1.* *L. 88.* καὶ *ante* τοῦθ' *dederunt Aug. & Pl.* *L. 90.* τὸ *ad* ἀπὸ τοῦδε *recepi ex Pl.*

liter ad *Antiochi* mentem tentandam, ſimulque ad adparatus ejus explorandos, miſerunt. Qui quum *Epheſi* audiſſent, regem profectum in Piſidiam; ibi exſpectarunt ejus reditum, & ſæpe *collocuti* ſunt *cum Annibale*; Carthagine tunc pacata, nec dum declarato hoſte Antiocho. Expoſtularuntque cum Annibale, quod patriam fugeret, quum nullam neque ipſe, neque alii Carthaginienſes, a populo Romano injuriam poſt renovatum fœdus paſſi eſſent. Idque faciebant, ut *Annibalem regi ſuſpectum* redderent quotidianis cum eo colloquiis: quod Pœnus, quamquam bellicarum artium calidiſſimus, non animadvertit. Sed rex admonitus, ſuſpicionem concepit, & tardior abhinc erat ad fidem ei habendam. Jam enim ſuberat quoque nonnihil æmulationis & invidiæ, ne rei bene geſtæ laudem auferret Annibal.

10. Fertur autem, inter hujuſmodi familiaria colloquia, in gymnaſio quodam *inter Scipionem Annibalemque ſermonem de claris imperato-*

A. U. 562. νίβαν περὶ στρατηγίας, πολλῶν ἐφεστώτων· καὶ τοῦ Σκιπίωνος ἐρομένου, τίς δοκοίη οἱ στρατηγὸς ἄριστος γενέσθαι, τὸν Αννίβαν εἰπεῖν, ὁ Μακεδὼν Αλέξανδρος. Σκιπίωνα δ᾽ ἡσυχάσαι μὲν ἐπὶ τῷδ᾽, ἐξιστάμενον ἄρα Αλεξάνδρῳ· ἐπανερέσθαι δὲ, τίς εἴη δεύτερος μετ᾽ Αλέξανδρον. καὶ τὸν φάναι, Πύῤῥος ὁ Ηπειρώτης· τὴν ἀρετὴν ἄρα τὴν στρατηγικὴν ἐν τόλμῃ τιθέμενον. οὐ γάρ ἐστιν εὑρεῖν μεγαλοτολμοτέρους τῶνδε τῶν βασιλέων. δακνόμενον δ᾽ ἤδη τὸν Σκιπίωνα, ὅμως ἐπανερέσθαι ἔτι, τίνι διδοίη τὰ τρίτα, ταχὺ γοῦν ἐλπίζοντα ἕξειν τὰ τρίτα. τὸν δὲ, ἐμαυτῷ, φάναι· νέος γὰρ ὢν ἔτι, Ιβηρίας τε ἐκράτησα, καὶ στρατῷ τὰ Αλπεια ὄρη μεθ᾽ Ἡρακλέα πρῶτος ὑπερῆλθον. ἔς τε τὴν Ιταλίαν, ὑμῶν οὐδενός πω θαῤῥοῦντος, ἐμβαλὼν, τετρακόσια ἀνέστησα ἄστη, καὶ περὶ τῇ πόλει τὸν ἀγῶνα

*Lin.* 97. δοκοίη οἱ: *Sic repoſui, pro* δοκεῖ οἱ *Edd.* δοκεῖ σοι *Reg. A.* δοκοίη *abſque dativo perſ. Aug.* αὐτῷ δοκοίη *Pl. L.* 99. ἐξανιστάμενον *Edd. invitis MSS. L.* 1. *&* 5. ἐπανερέσθαι *edit.* 1. *Aug. Accentum mutavit H. Steph. L.* 5. ἔτι *recepi ex Pl. Ibid. ſq.* τάχὺ (*ſic*) *Aug. Mallem* Τάχα: *quod & Gelenio placuit. L.* 6. ἐμαυτὸν *Edd. L.* 9. *pro* θαῤῥοῦντος *dat* ἐλπίζοντος *Pl. Sed Cand.* nullo e vobis OBSTARE auſo; *ut* πω *poſſit ex* κωλύειν *decurtatum corruptumque videri.*

*ribus* incidiſſe in multorum præſentia; & quærenti AFRICANO, *quem fuiſſe maximum imperatorem* ANNIBAL *crederet?* illum reſpondiſſe, *Alexandrum Macedonem.* Et nihil repugnantem Scipionem, quod Alexandro ſane quidem cederet, rurſum interrogaſſe, *quem ſecundum poſt Alexandrum* poneret? Cui Annibal, quod *audaciam* virtutem ducis præcipuam putaret, *Pyrrhum Epirotam*, fertur, dixiſſe. Neque enim duobus iſtis audaciores ullos reges licet invenire. Tum vero SCIPIONEM, jam ſubmoleſte ferentem, rurſum tamen rogaſſe, *cui tandem tertiam palmam tribueret?* ſibi ſperantem forſitan tertium ſaltem locum conceſſum iri. Sed, *mihi ipſi*, reſpondiſſe ANNIBALEM: „nam juvenis etiam tum Hiſpaniam perdomui; Alpeſque ſuperavi cum exercitu, primus poſt Herculem; & Italiam, vobis trepidantibus, ingreſſus, quadringenta everti oppida, & urbem veſtram non ſemel in extremum adduxi pe-

πολλάκις ὑμῖν ἐπέστησα· οὔτε μοι χρημάτων, οὔτε στρατιᾶς ἐπιπεμπομένης ἐκ Καρχηδόνος. Ὡς δὲ αὐτὸν ὁ Σκιπίων εἶδεν ἀπομηκύνοντα τὴν σεμνολογίαν, ἔφη γελάσας· Ποῦ δ᾽ ἂν ἑαυτὸν ἔταττες, ὦ Αννίβα, μὴ νενικημένος ὑπ᾽ ἐμοῦ; Τὸν δέ, φασὶν, αἰσθανόμενον ἤδη τῆς ζηλοτυπίας, εἰπεῖν· ὅτι ἔγωγε ἔταξα ἂν ἐμαυτὸν πρὸ Αλεξάνδρου. οὕτω μὲν ὁ Αννίβας ἐπέμεινέ τε τῇ σεμνολογίᾳ, καὶ τὸν Σκιπίωνα λαθὼν ἐθεράπευσεν, ὡς καθελόντα τὸν ἀμείνονα Αλεξάνδρου. A. U. 563.

XI. Διαλυομένης δὲ τῆς συνόδου, Σκιπίωνα μὲν ὁ Αννίβας ἐπὶ ξενίᾳ ἐκάλει· Σκιπίων δέ, ἐλθεῖν ἄν, ἔφη, μάλα προθύμως, εἰ μὴ συνῆσθα νῦν Αντιόχῳ, πρὸς Ρωμαίους ὑπόπτως ἔχοντι. ὧδε μὲν ἐκεῖνοι, τῆς στρατηγίας ἀξίως, τὴν ἔχθραν ὡρίζοντο τοῖς πολέμοις. Φλαμίνιος δ᾽ 571.
ἀνομοίως. ἡττηθέντος γὰρ ὕστερον Αντιόχου, φεύγοντα τὸν Αννίβαν, καὶ ἀλώμενον περὶ Βιθυνίαν, πρεσβεύων ἐφ᾽ ἕτερα πρὸς Προυσίαν, οὔτε τι πρὸς τοῦ Αννίβου προπαθών, οὔτε Ρωμαίων ἐντειλαμένων, οὔτε φοβερὸν ἔτι αὐτοῖς γενέσθαι

*Lin.* 11. πολλ. ὑμῖν ἀντέστησα *Edd.* *L.* 17. τε *carent Edd.* *L.* 21. ἐπὶ ξενίαν *Edd.*

riculum; non pecuniis, non supplementis domo adjutus." Tum SCIPIO magniloquentiæ hominis finem facturus, arridens subjecit: *quoto igitur loco poneres te,* ANNIBAL, *si a me victus non esses?* Et POENUS, animadvertens jam illius æmulationem: *Tum*, inquit, *Alexandro me anteponerem.* Ita nullo magniloquentiæ suæ detrimento, *Scipioni* quoque tacite blanditus est *Annibal*, quasi is vicerit Alexandro præstantiorem.

11. Soluto in hunc modum colloquio, *Annibal Africanum* invitavit in hospitium: qui, perlibenter se venturum, dixit, nisi ille tum *apud Antiochum* ageret, Romanis suspectum. Sic illi, ut dignum erat tantis imperatoribus, *inimicitiarum modum belli finibus terminabant.* At non talis fuit *Flaminius:* qui posthac fugientem, victo Antiocho, *Annibalem*, & vagum circa Bithyniam, legatione ob aliam causam fungens apud Prusiam, nihil ab eo privatim læsus, nec mandatum senatus adferens, ne formidandum quidem amplius hostem, post

A. U. 571. δυνάμενον, Καρχηδόνος κατεστραμμένης, ἔκτεινε διὰ τοῦ Προυσίου φαρμάκῳ· λεγόμενον μὲν ἐσχηκέναι ποτὲ χρησμὸν, ὧδε ἔχοντα,

Λίβυσσα κρύψει βῶλος Αννίβου δέμας,

καὶ οἰόμενον ἐν Λιβύῃ τεθνήξεσθαι. ποταμὸς δ᾽ ἐστὶ Λίβυσσος ἐν τῇ Βιθυνίᾳ, καὶ πεδίον ἐκ τοῦ ποταμοῦ Λίβυσσα. Καὶ τάδε μὲν ἐς ὑπομνήματα τῆς Αννίβου καὶ Σκιπίωνος μεγαλονοίας, καὶ Φλαμινίου σμικρότητος, παρεθέμην.

562. XII. Ὁ δ᾽ Αντίοχος ἐκ Πισιδῶν ἐς τὴν Ἔφεσον ἐπανῄει, καὶ χρηματίσας τοῖς Ρωμαίοις πρέσβεσι, Ροδίους μὲν καὶ Βυζαντίους καὶ Κυζικηνοὺς, καὶ ὅσοι ἄλλοι περὶ τὴν Ασίαν εἰσὶν Ἕλληνες, αὐτονόμους ἐπηγγείλατο ἐάσειν, εἰ γίγνοιντο αὐτῷ συνθῆκαι πρὸς Ρωμαίους· Αἰολέας δὲ καὶ Ἴωνας οὐ συνεχώρει, ὡς ἐκ πολλοῦ καὶ τοῖς βαρβάροις βασιλεῦσι τῆς Ασίας εἰθισμένους ὑπακούειν. οἱ μὲν δὴ Ρωμαίων πρέσ-

*Lin.* 34. *forsan* χωρίον *leg. pro* πεδίον. *Ibid. sq. post* Λίβυσσα *Pl. adjecit,* ὅπου ἐτεθνήκει. *Ac revera tale aliquid in contextu desiderari videtur.* *L.* 36. σμικρότατος *Aug. vit.* σμικρολογίας *Pletho; sed is sæpe Appiani dictionibus substituit alias; ut paulo ante* μεγαλοφροσύνης, *pro* μεγαλονοίας. *L.* 39. τοῖς Ροδίοις πρέσβ. *Edd. Cand. male.* Ρωμαίοις *ded. Aug. Ven.* Ρωμαίων *Pl. quod magis placet.* *L.* 40. Κυζηνοὺς *edit.* 1. *L.* 41. γίγνοιτο *edit.* 1.

eversas opes Carthaginis, *veneno per Prusiam sustulit*; dudum ut fertur, præmonitum oraculo hujusmodi,

*Annibalis cineres terra Libyssa teget:*

eoque falsum, quasi moriturus esset in Africa. Est autem *Libyssus Bithyniæ fluvius*, a quo adjacens regio, in qua mortuus est Annibal, *Libyssa* nominatur. Quæ exempla *magnanimitatis Scipionis et Annibalis*, & ex adverso *pusillanimitatis Flaminii*, ab hac narratione non aliena esse mihi visa sunt.

12. Ceterum *Antiochus* e Pisidia reversus, audita *Romanorum legatione*, Rhodios, & Byzantios, Cyzicenosque, & quicumque alii Græci Asiam incolunt, liberos fore pollicitus est, si Romani fœdus secum jungere vellent: Æolibus vero & Jonibus idem jus concedere recusavit, adsuetis quippe jam a longo tempore barbarorum etiam Asiæ regum parere imperio. Itaque Romani

βεις, ἐς οὐδὲν αὐτῷ συμβαίνοντες, (οὐ γὰρ ἐπ' ἔργῳ συμβάσεων ἐληλύθεσαν, ἀλλ' ἐς ἀπόπειραν,) ᾤχοντο ἐς Ῥώμην. Ἀντιόχῳ δ' ἧκον Αἰτωλῶν πρέσβεις, ὧν Θόας ἦρχεν, αὐτοκράτορά τε στρατηγὸν Αἰτωλῶν Ἀντίοχον ἀποφαίνοντες, καὶ διαπλεῖν ἐς τὴν Ἑλλάδα ἤδη παρακαλοῦντες, ὡς ἐπὶ ἔργον ἕτοιμον. οὐδὲ εἴων ἀναμένειν τὴν στρατιὰν ἀπὸ τῆς Ἀσίας τῆς ἄνω κατιοῦσαν· ἀλλὰ τὰ Αἰτωλῶν ὑπερεπαίροντες, καὶ Λακεδαιμονίους ἐπαγγελλόμενοι σφίσι καὶ Φίλιππον ἐπὶ τοῖς Λακεδαιμονίοις τὸν Μακεδόνα, Ῥωμαίοις μηνίοντα, συμμαχήσειν, ἐπέσπερχον εἰς τὴν διάβασιν. ὁ δ' ἠρεθίζετο μάλα κουφόνως, καὶ, οὐδὲ τοῦ παιδὸς αὐτῷ προσαγγελθέντος ἐν Συρίᾳ τεθνάναι, τῆς ὁρμῆς τι ἐνδοὺς, διέπλει μετὰ μυρίων, ὧν τότε εἶχε μόνων, ἐς Εὔβοιαν. καὶ τήνδε μὲν αὐτὸς παρεστήσατο ἅπασαν, ἐνδοῦσαν ὑπὸ ἐκπλήξεως· Μικιθίων δὲ, αὐτοῦ στρατηγὸς, τοῖς περὶ Δήλιον Ῥωμαίοις ἐπιπεσὼν, (ἱερὸν δ' ἐστὶ τὸ

A. U. 562.

*Lin.* 45. ἐς *ante* οὐδὲν *caret Aug. male.* *L.* 46. ἐληλύθησαν *edit.* 1. ἐληλύθεισαν *edit.* 2. 3. *L.* 47. Θόας ἡγεῖτο *Pl.* *L.* 52. *vulg.* ὑπεραίροντες, *prætuli lect. Pleth. Leid.* *L.* 57. μυρίων τότε ὧν εἶχε *Edd.* *L.* 58. ὡς Εὔβοιαν *Aug. male.* *L.* 59. Μηκυθίων *Aug. Pl.* Μικυθίων *conj. Gronov.* *L.* 60. *correxi vulg.* Δῆλον.

legati, nulla re nec impetrata, nec conceſſa, (neque enim in hoc, ſed exploratum, venerant) Romam reverſi ſunt. Poſt hos, *Ætolorum legati* venerunt *ad Antiochum*, *Thoante* legationis principe; qui *offerebant ei* totius Ætoliæ *copiarum ſummum imperium*, hortabanturque, ut in Græciam ſine mora, tamquam rebus omnibus ibi paratis, trajiceret: nec ſinebant eum exſpectare exercitum e ſuperiori Aſia deſcendentem, ſed exaggerabant vires Ætolicas; ſocietatemque Lacedæmoniorum, atque Philippi Macedonis, irati Romano populo, promittebant; omnique modo ſtimulabant, ut trajectum maturaret. Et temere admodum concitari ſe paſſus *Rex*, nè nuncio quidem de filio in Syria mortuo impetum ejus tardante, *trajecit in Eubœam* cum ſolis, quæ tum ad manum erant, decem millibus. Et *Eubœam* quidem univerſam, præ metu cedentem, deditione *in fidem* ipſe *Antiochus recepit.* Unus autem ex ejus ducibus, *Micithio*, *Romanos apud Delium*, Apollini ſacratum lo-

A. U. 562. χωρίον Ἀπόλλωνος) τοὺς μὲν αὐτῶν ἔκτεινε, τοὺς δὲ ἐζώγρησεν.

XIII. Ἀμύνανδρός τε, ὁ Ἀθαμάνων βασιλεὺς, ἐς συμμαχίαν Ἀντιόχῳ συνῆλθε, διὰ τοιᾶσδε προφάσεως· τῶν τις Μακεδόνων Ἀλέξανδρος, ἐν Μεγάλῃ πόλει τραφεὶς, καὶ τῆς αὐτόθι πολιτείας ἀξιωθεὶς, ἐτερατεύετο γένος Ἀλεξάνδρῳ τῷ Φιλίππου προσήκειν· γενομένους τέ οἱ παῖδας ὠνόμασεν, ἐς πίστιν ὧν ἐλογοποίει, Φίλιππόν τε, καὶ Ἀλέξανδρον, καὶ Ἀπάμαν, ἣν Ἀμυνάνδρῳ πρὸς γάμον ἐνεγγύησεν. ἀγαγὼν δὲ αὐτὴν Φίλιππος ὁ ἀδελφὸς ἐς τὸν γάμον, ἐπεὶ τὸν Ἀμύνανδρον εἶδεν ἀσθενῆ καὶ πραγμάτων ἄπειρον, παρέμενε, τὴν ἀρχὴν διὰ τὸ κῆδος διοικῶν. τοῦτον οὖν τὸν Φίλιππον ὁ Ἀντίοχος τότε ἐπελπίζων ἐς τὴν Μακεδόνων ἀρχὴν, ὡς οἰκείαν οἱ, κατάξειν, προσέλαβε τοὺς Ἀθαμᾶνας ἐς τὴν συμμαχίαν. ἐπὶ δὲ αὐτοῖς, καὶ Θηβαίους· αὐτὸς ἐς Θήβας παρελθών τε, καὶ δημηγορήσας. ὁ μὲν δὴ Θηβαίοις τε καὶ Ἀμυνάνδρῳ καὶ Αἰ-

*Lin.* 63. Ἀμίνανδρος *edit.* 1. *& sic deinceps, male.* *Ibid.* Ἀμαθάνων *edit.* 1. *L.* 70. ἐνηγγύησεν *Aug.* *Ibid.* ἀγαγόμενος *Edd.* *L.* 73. ἐλπίζων *Aug. Ven.* *L.* 74. ὡς ἐς οἰκείαν *Aug. Ven. sed in Aug.* ἐς *duobus punctis infra notatum.*

cum, de improviso adgressus, partim *occidit*, partim vivos cepit

13. Tum vero *Amynander* quoque, *rex Athamanum*, ad societatem Antiochi accessit, ob causam hujusmodi: *Alexander* quidam Macedo, apud *Megalopolitanos* educatus & civitate ab eisdem donatus, prodigiosis mendaciis ab Alexandro, Philippi filio, genus suum derivabat: &, ut fidem fabulis suis faceret, duorum filiorum alterum *Philippum*, alterum *Alexandrum* nominaverat; filiamque, *Apamam*. Eam *filiam Amynandro locaverat* in matrimonium: quam *Philippus frater* quum deduxisset ad nuptias, ubi maritum puellæ vidit infirmum & rerum imperitum, manserat apud eum, atque regnum ei propter adfinitatem administrabat. Huic igitur Philippo *Antiochus* spem faciens, quasi reducturus eum in gentilitium regnum Macedoniæ, *Athamanas sibi socios paravit.* Sed *et Thebanos* insuper sibi adjunxit; Thebas ipse profectus, & pro concione populum adlocutus. Sic Amynandri & The-

A. U. 562.

τωλοῖς ἐπὶ τοσῷδε πολέμῳ μάλα ματαίως ἐθάῤῥει· καὶ ἐς Θετταλίαν, ἐσκόπει, πότερον εὐθὺς, ἢ μετὰ χειμῶνα, δέοι στρατεύειν. Αννίβαν δὴ ἐπὶ τῇ σκέψει τῇδε ἡσυχάζοντα, ἐκέλευε γνώμην πρῶτον ἐσενεγκεῖν.

XIV. Ὁ δὴ ἔφη· Θεσσαλοὺς μὲν οὐ δυσχερὲς, εἴτε νῦν, εἴτε μετὰ χειμῶνα ἐθέλοις, ὑπάγεσθαι. τὸ γὰρ ἔθνος ἐκ πολλοῦ πεπονηκὸς, ἔς τε σὲ νῦν, καὶ ἐς Ρωμαίους, εἴ τι γίγνοιτο νεώτερον, μεταβαλεῖται. ἤλθομεν δὴ ἄνευ τῆς οἰκείας δυνάμεως· Αἰτωλοῖς ἐπάγουσι πεισθέντες, ὅτι καὶ Λακεδαιμόνιοι καὶ Φίλιππος ἡμῖν συμμαχήσουσιν. ὧν Λακεδαιμονίους μὲν καὶ πολεμεῖν ἡμῖν ἀκούω μετὰ Αχαιῶν· Φίλιππον δὲ οὐχ ὁρῶ σοι παρόντα, δυνατὸν ἐν τῷδε τῷ πολέμῳ ῥοπὴν, ὁποτέρωσε προσθοῖτο, ποιῆσαι. Τῆς δὲ γνώμης ἔχομαι τῆς αὐτῆς, τὴν στρατιὰν ἀπὸ τῆς Ασίας καλεῖν ὅτι τάχιστα, καὶ μὴ ἐν Αμυνάνδρῳ καὶ Αἰτωλοῖς τὰς ἐλπίδας ἔχειν. ὅταν δὴ ἀφίκηται, τὴν Ιτα-

*Lin. 79.* Θεσσαλίαν *Aug. Utraque forma promiscue utuntur Edd. & MSS. L. 84. Post* Ρωμαίους *inserit* αὖ *Pleth. in Codd. Cæsareis. L. 90. post* ῥοπὴν *inserit* ἂν *Pl. Sic & mox, p. sq. l. 3. post* πλεῖστον.

banorum Ætolorumque fiducia, satis temerarie, tantum bellum adgressus *Antiochus*, *dispiciebat de Thessalia*, protinus-ne invadenda esset, an exacta hieme? Cui deliberationi quum *Annibal* interesset tacitus, rex primum eum rogavit sententiam.

14. Tum POENUS: „*Thessalos*, inquit, non est difficile vel nunc, vel post hiemem, si velis, subigere. Nam hæc gens, diutinis malis fessa, & ad te nunc, & iterum ad Romanos, si quid secus acciderit, deficiet. Venimus autem huc absque propriis copiarum „viribus; *Ætolis*, qui nos exciverunt, credentes, *Lacedæmonios nobis Philippumque fore socios.* At vero *Lacedæmonii*, ut ego audio, hostes nobis sunt non minus, quam Achæi. *Philippum* autem non video tibi se adjungentem; qui, utri parti faveat, magnum adferre valet in hoc bello momentum. Equidem in eadem, qua ab initio, persto sententia: *copias ex Asia vocandas* esse primo quoque tempore: nec collocandam spem in Ætolis aut Amynandro. Ubi advenerint copiæ, *bellum inferendum Italiæ*; ut

A. U. 562.

λίαν πορθεῖν· ἵνα τοῖς οἰκείοις κακοῖς περισπώμενοι, τὰ σὰ λυπῶσιν ἥκιστα, καὶ περὶ τῶν σφετέρων δεδιότες, μηδαμοῦ προΐωσιν. ὁ δὲ τρόπος οὐκέθ' ὅμοιος ᾧ προὔλεγον. ἀλλὰ χρὴ τὸ μὲν ἥμισυ τῶν νεῶν τὰ παράλια τῆς Ἰταλίας πορθεῖν, τὸ δὲ ἥμισυ ναυλοχεῖν, ἐφεδρεῦον ἐς τὰ συμφερόμενα· αὐτὸν δὲ σὲ τῷ πεζῷ παντὶ προκαθήμενον τῆς Ἑλλάδος, ἀγχοῦ τῆς Ἰταλίας, δόξαν ἐμποιεῖν ἐσβολῆς, καὶ, εἰ δύναιό ποτε, καὶ ἐσβαλεῖν. Φίλιππον δὲ πειρᾶσθαι μὲν προσάγεσθαι μηχανῇ πάσῃ, πλεῖστον ἐς ἑκατέρους ἐν τῷδε τῷ πολέμῳ δυνάμενον· ἢν δ' ἀπειθῇ, τὸν σὸν υἱὸν αὐτῷ Σέλευκον ἐπιπέμπειν διὰ Θρᾴκης, ἵνα καὶ ὅδε περισπώμενος οἰκείοις κακοῖς, μηδὲν ᾖ τοῖς πολεμίοις χρήσιμος. Τοσάδε μὲν ὁ Ἀννίβας εἶπε. καὶ ἦν ἄριστα πάντων· ὑπὸ δὲ φθόνου τῆς τε δόξης αὐτοῦ καὶ συνέσεως, οἵ τε ἄλλοι, καὶ αὐτὸς οὐχ ἧσσον ὁ βασιλεύς, ἵνα μὴ δοκοίη σφῶν ὁ Ἀννίβας τῇ στρατηγίᾳ προφέρειν, μηδὲ ἡ δόξα τῶν ἐσομένων ἐκείνου γένοιτο, μεθῆκαν ἀ-

*Lin.* 96. ὁμοῖος *Edd.* *L.* 5. υἱὸν αὐτὸν Σελ. *Edd.* *L.* 8. ἄριστος *Edd.* *L.* 9. ἧττον *Aug.* *L.* 10. σφᾶς ὁ Ἀννιβ. *Edd. Aug.* σφᾶς *in* σφῶν *mutavi.* σφῶν ὁ Ἀνν. τῇ στρ. προὔχειν *Pl.*

„Romani, diſtenti malis domeſticis, tuæ ditioni moleſti eſſe deſinant, & ſuis rebus metuentes, nuſquam exercitum promoveant. Ratio autem belli jam non amplius eadem eſt, quam antea dixeram. Oportet enim dimidia claſſis parte oras infeſtare Italiæ; alteram dimidiam in ſtatione tenere, occaſionibus rei bene gerendæ imminentem. Te vero cum univerſis terreſtribus copiis Græciæ præſidere oportet prope Italiam, & irruptionis ei metum incutere; atque adeo, ſi quando potueris, irrumpe„re. *Philippum* vero omnibus modis ſolicitare ad ſocietatem, futurum utriuſcumque partis acceſſionem minime exiguam. Quod ſi flecti nequeat, filius tuus *Seleucus* per Thraciam contra illum mittendus; ut diſtractus bello domeſtico, nihil proſit hoſtibus." Hæc erat *Annibalis ſententia.* Nec alia in eo concilio melior audita eſt. Sed, obſtante illuſtri prudentique viro *invidia*, ne videretur aut rex ipſe, aut alii conſiliarii, minus in artibus imperatoriis ſapere, neve rei bene geſtæ decus illi contin-

παντα· πλὴν ὅτι Πολυξενίδας ἐπὶ τὴν στρατιὰν ἐς τὴν Ἀσίαν ἐπέμφθη. *A. U.*

XV. Ῥωμαῖοι δ' ἐπεὶ τῆς ἐσβολῆς τῆς ἐς τὴν Ἑλλάδα 563. Ἀντιόχου, καὶ τῶν ἐπὶ Δηλίου Ῥωμαίων ἀναιρέσεώς τε καὶ αἰχμαλωσίας ἐπύθοντο, πολεμεῖν ἐψηφίσαντο. Οὕτω μὲν ὁ Ἀντιόχου τε καὶ Ῥωμαίων πόλεμος, ἐκ πολλοῦ δι' ὑπονοίας ἀλλήλοις γενόμενος, τότε πρῶτον ἀπερρήγνυτο ἐς ἔργον. Οἷα δ' Ἀντιόχου τῆς τε Ἀσίας τῆς ἄνω πολλῶν καὶ μεγάλων ἐθνῶν, καὶ τῆς ἐπὶ θαλάσσῃ, χωρὶς ὀλίγων, ὅλης ἐπικρατοῦντος, ἔς τε τὴν Εὐρώπην ἐπιβεβηκότος ἤδη, καὶ δόξαν ἐπίφοβον καὶ παρασκευὴν ἱκανὴν ἔχοντος, πολλά τε ἄλλα καθ' ἑτέρων ἐξειργασμένου λαμπρά, δι' ἃ καὶ Μέγας ἦν ἐπώνυμον αὐτῷ· τὸν πόλεμον οἱ Ῥωμαῖοι χρόνιον σφίσι καὶ μέγαν ἔσεσθαι προσεδόκων. Φίλιππόν τε τὸν Μακεδόνα δι' ὑποψίας εἶχον, ἄρτι ὑπὸ σφῶν καταπεπολεμημένον, καὶ Καρχηδονίους, μὴ οὐ πιστοὶ σφίσιν ὦσιν ἐπὶ ταῖς συνθήκαις, Ἀννίβου συνόντος

*Lin.* 14. ἐμβολῆς *Edd.* *L.* 15. *iterum correxi* Δήλου *Edd.* ἐπιδήλου *Aug.* *L.* 18. ἀνερρήγνυτο *maluit Musgr.* *L.* 19. τῆς ἄνω, πολλῶν τε καὶ *Edd.* *L.* 25. χρόνιόν τε σφίσι *Pl. bene.*

geret, *omissa sunt omnia:* nisi quod *Polyxenidas in Asiam ad exercitum adducendum missus* est.

15. Romæ *senatus*, postquam audivit de irruptione Antiochi in Græciam, & suis apud Delium cæsis captisque, *hostem judicavit Antiochum:* atque ita demum diuturnæ suspiciones mutuæ, tandem in *apertum bellum* jam eruperunt. Quoniam autem *Antiochus* in superiori Asia multis magnisque gentibus, inferiori autem Asiæ, quæ ad mare pertinet, universæ, paucis exceptis, imperabat; jamque & Europam invaserat; & ipsa nominis sui fama, & copioso adparatu, formidabilis, & aliarum rerum adversus alios gestarum gloria, quæ & *Magni* cognomen ei pepererant, erat illustris: his de causis *Romani id bellum et magnum et diuturnum sibi fore existimarunt.* Quo accedebat, quod & de Philippo Macedone suspicarentur, quem nuper debellaverant; & de Carthaginiensibus, ne a fœderibus discederent, propter Annibalis familiaritatem cum Antiocho; &

A. U. 563. Αντιόχῳ. τούς τε ἄλλους σφῶν ὑπηκόους ὑπονοοῦντες, μὴ καὶ παρὰ τούτων τι νεώτερον ἐς τὴν Αντιόχου δόξαν γένοιτο· στρατιὰν ἐς ἅπαντας, ἐφεδρεύειν εἰρηνικῶς αὐτοῖς, καὶ στρατηγοὺς ἐπὶ τῇ στρατιᾷ, περιέπεμπον, οὓς αὐτοὶ καλοῦσιν ἑξαπελέκεας, ὅτι, τῶν ὑπάτων δυώδεκα πελέκεσι καὶ δυώδεκα ῥάβδοις, ὥσπερ οἱ πάλαι βασιλεῖς, χρωμένων, τὸ ἥμισυ τῆς ἀξιώσεώς ἐστι τοῖσδε τοῖς στρατηγοῖς, καὶ τὰ ἡμίσεα παράσημα. ὡς δ᾽ ἐν μεγάλῳ φόβῳ, καὶ περὶ τῆς Ιταλίας ἐδείμαινον, μὴ οὐδ᾽ αὐτὴ σφίσιν ᾖ πιστὴ ἢ βέβαιος ἐπ᾽ Αντιόχῳ. πεζὸν δὴ πολὺν ἐς Τάραντα διέπεμπον, ἐφεδρεύειν τοῖς ἐπιοῦσι· καὶ νεῶν στόλος τὴν παράλιον περιέπλει. Τοσόσδε φόβος ἦν Αντιόχου τὰ πρῶτα. Ὡς δὲ αὐτοῖς τὰ ἐς τὴν ἀρχὴν συνετετάχατο πάντα, ἐπ᾽ αὐτὸν Αντίοχον ἤδη κατέλεγον· ἀπὸ μὲν σφῶν αὐτῶν, ἐς δισμυρίους ἄνδρας, ἀπὸ δὲ τῶν συμμάχων τὸ διπλάσιον, ὡς ἅμα τῷ ἦρι τὸν Ιόνιον διαβα-

*Lin.* 31. ἐφ᾽ ἅπαντας *Edd.* *L.* 33 *ſq.* δυόδεκα *Edd. utrimque.* *L.* 37 *ſq.* οὐδ᾽ αὐτοῦ σφίσιν ᾖ πιστὸς *Edd.* αὐτὴ *ex Aug. & Pl.* πιστὴ *invitis MSS. repoſui.* *L.* 40. παραλ. ἔπλει *Edd.* ἐπέχει *Reg. A. forte ex* ἐπέπλει. *L.* 44. ἦρει *edit.* 1. *conſueto errore, ex Regiis Codd. ducto.*

alios quoque ditionis ſuæ populos ſuſpectos haberent, ne & ipſi, exſpectatione rerum ab *Antiocho* gerendarum, novi aliquid molirentur. Itaque *in omnes provincias miſerunt exercitus*, qui pacate eas obſervarent; & cum exercitibus *imperatores cum ſenis ſecuribus*, quos *Prætores* vocant, qui, ut inſignia conſulum dimidiata, ita dignitatis quoque ac poteſtatis habent dimidium. Conſules enim, ut olim reges, duodecim ſecuribus & duodecim faſcibus utuntur. Ac, tamquam in magno periculo, de *Italia* quoque fuere ſoliciti, ne vel ipſa parum ſibi fida atque firma contra Antiochum eſſet. Itaque Tarentum magnus exercitus miſſus eſt, qui obſervaret aditum: ſimulque claſſis oram circumvectabatur maritimam. Tantus *terror Antiochi* Romanis ab initio fuit. Ubi vero domi ſatis ordinatæ viſæ ſunt res imperii; *delectus* habebantur *contra Antiochum.* Ex urbanis conſcripta ſunt viginti millia, duplum e ſociis; ut primo vere Jonium

λοῦντες. καὶ οἱ μὲν τὸν χειμῶνα ὅλον ἐν τούτῳ παρασκευῆς ἦσαν. A. U. 563.

XVI. Ὁ δ᾽ Ἀντίοχος ἤλαυνεν ἐπὶ Θετταλοὺς, καὶ γενόμενος ἐν Κυνὸς κεφαλαῖς, ἔνθα τὸ πταῖσμα τοῖς Μακεδόσιν ὑπὸ Ῥωμαίων γεγένητο, τὰ λείψανα τῶν τότε πεσόντων, ἄταφα ἔτι ὄντα, μεγαλοπρεπῶς ἔθαπτε· δημοκοπῶν ἐς Μακεδόνας, καὶ Φίλιππον αὐτοῖς διαβάλλων, οὐ θάψαντα τοὺς ὑπὲρ αὐτοῦ πεσόντας. ὧν πυθόμενος ὁ Φίλιππος, ἐνδοιάζων ἔτι καὶ περισκοπῶν ὁποτέρωσε προσθοῖτο, αὐτίκα εἵλετο τὰ Ῥωμαίων· Βαίβιόν τε, στρατηγὸν αὐτῶν, ἄρχοντά τινος πλησίον στρατοῦ, καλέσας ἐλθεῖν ἔς τι χωρίον, πίστεις αὖθις ἐδίδου, Ῥωμαίοις ἀδόλως συμμαχήσειν κατ᾽ Ἀντιόχου. ἐφ᾽ οἷς αὐτὸν ὁ Βαίβιος ἐπῄνει, καὶ θαῤῥήσας, αὐτίκα ἔπεμπε διὰ τῆς Μακεδονίας Ἄππιον Κλαύδιον μετὰ δισχιλίων πεζῶν ἐς Θεσσαλίαν. καὶ ὁ Ἄππιος, ἀπὸ τῶν Τεμπῶν τὸν Ἀντίοχον Λαρίσσῃ παρακαθήμενον ἰδὼν, πῦρ πολὺ ἤγειρεν, ἐπι-

*Lin.* 50. ὄντα ἔτι *Aug.* *Ibid.* ἔθαψε *Aug.* *L.* 51. αὐτοῖς *ante* διαβάλλων *carent Edd.* *L.* 54. *vulgo* Βέβιον, *& sic deinceps; quod correxi.* *L.* 56. πίστεις αὐτοῖς ἐδίδου *Edd. ex Reg. A.* *L.* 60. τὸν *ante* Ἀντιοχ. *caret Aug.* *Ibid. sq.* Ἀντίοχον καὶ παρακαθ. *Edd. & carent* Λαρίσσῃ. *L.* 61. πυρὰ πολλὰ *Pl. Cæs.* ignes ingentes *Cand.*

mare trajicerent. Atque ſic hiems tota apud Romanos in adparando bello cōnſumta eſt.

16. *Antiochus* autem movit in *Theſſaliam.* Et poſtquam pervenit *ad Cynoſcephalas*, ubi cladem Macedones a Romanis acceperant; *reliquias cæſorum*, inſepultas etiam tum, *ſepeliit* magnifice: captans favorem Macedonum, & Philippo invidiam facturus, quod ſui cauſa cæſos ſepeliri non curaverit. Quod ut *Philippus* audivit, quum adhuc ambiguus fuiſſet, utri parti ſe adjungeret, ſtatim *partes Romanas prætulit*: vocatoque ad certum locum *Bæbio*, qui proximo præerat exercitui, fidem denuo ei dedit ſinceræ ſocietatis contra Antiochum. Quam ob rem collaudavit eum Bæbius, neque dubitavit per Macedoniam *Appium Claudium* cum duobus millibus peditum in Theſſaliam mittere. Qui ubi *ad Tempe* pervenit, conſpectis in propinquo caſtris *Antiochi*, *Lariſſam obſidentis*, multos ignes excitavit, ut ſuorum paucitatem celaret.

A. U. 563. κρύπτων τὴν ὀλιγότητα. καὶ ὁ Αντίοχος, ὡς Βαιβίου καὶ Φιλίππου παρόντων, διαταραχθεὶς, ἐξέλιπε τὴν πολιορκίαν, πρόφασιν τὸν χειμῶνα ποιούμενος, καὶ ἐς Χαλκίδα παρῆλθεν. ἔνθα κόρης εὐπρεποῦς ἔρωτι ἁλοὺς, ὑπὲρ ἔτη πεντήκοντα γεγονὼς, καὶ τοσόνδε πόλεμον διαφέρων, ἔθυε γάμους, καὶ πανηγύρεις ἦγε· καὶ τὴν δύναμιν ἐς πᾶσαν ἀργίαν καὶ τρυφὴν ἐπὶ τὸν χειμῶνα ὅλον ἀνῆκεν. Αρχομένου δ᾽ ἔαρος, ἐμβαλὼν ἐς Ακαρνανίαν, ᾔσθετο μὲν τῆς ἀργίας τοῦ στρατοῦ, δυσέργου πρὸς ἅπαντα ὄντος· καὶ τότε τῶν γάμων αὐτῷ καὶ τῆς πανηγύρεως μετέμελεν. ὑπαγαγόμενος δ᾽ ὅμως τινὰ τῆς Ακαρνανίας, καὶ τὰ λοιπὰ πολιορκῶν· ἐπεὶ τάχιστα Ρωμαίους ἐπύθετο περᾷν τὸν Ιόνιον, ἐς Χαλκίδα ἀνεζεύγνυ.

XVII. Ρωμαῖοι δ᾽ ὑπὸ σπουδῆς, τοῖς τότε ἑτοίμοις ἱππεῦσι δισχιλίοις, καὶ πεζοῖς δισμυρίοις, καὶ ἐλέφασί τισιν, ἡγουμένου σφῶν Ακιλίου Μανίου Γλαβρίωνος, ἐς Απολλωνίαν ἐκ Βρεντεσίου διαβαλόντες, ἐπὶ Θετταλίας

*Lin.* 68. τροφὴν *edit.* I. *L.* 71. καὶ τὸ τῶν γάμων *edit.* I. *L.* 75. σπουδῆς τῆς τότε, ἑτοίμοις *Edd.* *L.* 77. Ακινίου *edit.* I. *cum omn. nostr. MSS.*

Et rex, Bæbium cum Philippo adesse ratus, metuque perculsus, *solvit obsidionem*, hiemis causatus intemperiem, & *Chalcidem petiit.* Ibi captus amore formosæ virginis, cum quinquagenario major esset, tantique belli premeretur mole, *celebravit nuptias*, & festos dies egit; simulque exercitum per totam hiemem solvi in otium ac delicias passus est. Ineunte autem vere, *invadens Acarnaniam Antiochus*, sensit, militem haud facile ab otio redire ad officium; pœnituitque, indulsisse nuptiis & conviviorum ludorumque celebrationi. Receptis nihilominus in fidem nonnullis ejus regionis oppidis, & oppugnatis reliquis; quamprimum cognovit, Romanos mare Jonium trajicere, *Chalcidem rediit.*

17. *Romani*, nullam moram facientes, cum duobus equitum, peditum viginti millibus, quæ tunc maxime parata erant, nonnullisque elephantis, *imperatore Manio Acilio Glabrione*, Brundusio Apolloniam *transvecti* erant. Unde *Thessaliam petentes*,

A. U. 563.

ἐβάδιζον, καὶ τὰς πόλεις ἐξέλυον τῶν πολιορκιῶν. ἐν ὅσαις δ' ἦσαν ἤδη Ἀθαμάνων φρουραὶ, τὰς φρουρὰς ἐξέβαλλον· καὶ τὸν Μεγαλοπολίτην Φίλιππον αἰχμάλωτον ἔλαβον, ἐλπίζοντα ἔτι τὴν Μακεδόνων ἀρχήν. εἷλον δὲ καὶ τῶν Ἀντιοχείων ἐς τρισχιλίους. ἅμα δὲ ταῦτα ὁ Μάνιος εἰργάζετο, καὶ ὁ Φίλιππος, ἐς Ἀθαμανίαν ἐμβαλὼν, πᾶσαν αὐτὴν ὑπήκοον ἔλαβεν, Ἀμυνάνδρου φυγόντος εἰς Ἀμβρακίαν. Ὧν ὁ Ἀντίοχος αἰσθανόμενός τε, καὶ τὴν ὀξύτητα τῶν γιγνομένων καταπλαγεὶς, ἔδεισεν, ὡς ἐπὶ αἰφνιδίῳ καὶ ταχείᾳ μεταβολῇ, καὶ τῆς εὐβουλίας Ἀννίβου τότε ᾔσθετο· ἔς τε τὴν Ἀσίαν ἄλλους ἐπ' ἄλλοις ἔπεμπεν, ἐπισπέρχειν Πολυξενίδαν ἐς τὴν διάβασιν· αὐτὸς δ', ὅσους εἶχε, πανταχόθεν συνεκάλει. γενομένων δ' αὐτῷ, τῶν μὲν οἰκείων, πεζῶν μυρίων, καὶ ἱππέων πεντακοσίων, ἐπὶ δὲ τούτοις καί τινων συμμάχων, Θερμοπύλας κατέλαβεν, ὡς τὴν δυσχωρίαν προβαλούμενος τοῖς πο-

*Lin.* 80. ἤδη Μακεδόνων φρουραὶ *Edd. & MSSti nostri; quibus vel invitis,* Ἀθαμάνων *reponendum censui. Mendosum esse vulg. lectionem, jam perspecte viderat Gelenius. Ibid. sq.* ἐξέβαλεν *Aug. L.* 85. φεύγοντος *Edd. ex Reg. A. L.* 86. *Artic.* ὁ *ad* Ἀντιοχ. *recepi ex Aug. & Pl. L.* 90. ἐπισπέρχων *Edd. L.* 91. μενομένων *edit.* 3. *oper. vit. Ibid.* δ' αὐτῶν *Edd. L.* 93. *pro* καί τινων *dant* διὰ τινῶν *Edd.*

sociorum oppida obsidione eximebant; & ex his, quæ jam ab Athamanibus occupata erant, ejiciebant præsidia. Philippus quoque Megalopolitanus in potestatem redactus est, adhuc sperans regnum Macedonum: & ex Antiochi copiis capta sunt circiter tria millia. Quæ dum a *Manio* geruntur, interim Philippus, in Athamaniam irrumpens, totam subegit, Amynandro fugiente Ambraciam. Quo cognito, *Antiochus*, territus celeritate hostium, pertimuit in tam repentina rerum mutatione; ac tum demum sensit, quam sapienter consuluisset Annibal. Missisque aliis post alios in Asiam nunciis, urgebat Polyxenidam, ut maturaret trajectum. Ipse vero, quotquot habuit milites, undique ad se contraxit. Qui ubi convenere, peditum ex suis decem millia, quingenti equites, & quædam sociorum auxilia; cum his *Thermopylas occupavit:* locorum angustias hostibus ob-

A. U. 563. λεμίοις, καὶ τὸν στρατὸν ἐκ τῆς Ἀσίας ἀναμενῶν. δίοδος δ' ἐστὶν αἱ Θερμοπύλαι στενὴ καὶ ἐπιμήκης· καὶ αὐτὴν περιέχει, τῇ μὲν θάλασσα τραχεῖα καὶ ἀλίμενος, τῇ δὲ ἕλος ἄβατόν τε καὶ βαραθρῶδες. κορυφαί τε εἰσὶν ἐν αὐτῇ δύο ὀρῶν ἀπόκρημνοι· καὶ τούτων τὴν μὲν, Τειχιοῦντα καλοῦσι, τὴν δὲ, Καλλίδρομον. ἔχει δὲ ὁ τόπος θερμῶν ὑδάτων πηγὰς, καὶ Θερμοπύλαι ἀπὸ τοῦδ' ἐπικλήζονται.

XVIII. Τεῖχος οὖν ἐνταῦθα διπλοῦν ὁ Ἀντίοχος ᾠκοδομήσατο, καὶ τὰς μηχανὰς ἐπὶ τὸ τεῖχος ἐπέθηκεν· ἔς τε τὰς κορυφὰς τῶν ὀρῶν Αἰτωλοὺς ἀνέπεμψε, μή τις λάθοι κατὰ τὴν λεγομένην Ἀτραπὸν περιελθών· ᾗ δὴ καὶ Λακεδαιμονίοις τοῖς ἀμφὶ Λεωνίδαν Ξέρξης ἐπέθετο, ἀφυλάκτων τότε τῶν ὀρῶν ὄντων. Αἰτωλοὶ δὲ χιλίους μὲν ἑκατέρῳ τῶνδε τῶν ἄκρων ἐπέστησαν· τοῖς δὲ λοιποῖς ἐστρατοπέδευον ἐφ' ἑαυτῶν, περὶ πόλιν Ἡράκλειαν. Ὁ δὲ Μάνιος, ἐπεὶ κατεῖδε τὴν τῶν πολεμίων παρασκευὴν, σημεῖον ἔδωκεν ἐς ἕω μάχης· καὶ δύο τῶν χιλιάρχων, Μάρκον

Κάτωνα

jecturus, ibique adventum exercitus ex Asia exspectaturus. Sunt autem THERMOPYLÆ, angustus & oblongus transitus, qui partim mari aspero & importuoso adluitur, partim palude invia & plena voraginibus: imminentque duo prærupta montium cacumina, quorum alterum *Tichiuntem*, alterum *Callidromum* nominant. Et sunt in eisdem locis aquarum calidarum fontes, unde nomen loco a Græcis inditum.

18. Ibi *Antiochus* duplicem murum exstruxit, & muro machinas imposuit; Ætolosque jussit montium insidere cacumina, ne quis per callem, quem *Atrapon* vocant, viam inveniret ad sese circumeundum: qua via etiam *Leonidam* & *Lacedæmonios* olim *Xerxes* adgressus erat, nemine tunc montes custodiente. Et *Ætoli* singula *cacumina* millenis *occuparunt* militibus; reliqui eorum seorsum castra muniverunt ad *Heracleam*. *Manius*, postquam adparatum hostium perspexit, signum pugnæ in crastinum proposuit; præmissis noctu duobus

A. U. 563.

Κάτωνα καὶ Λεύκιον Οὐαλέριον, ἐκέλευσε, νυκτὸς, ἐπιλεξαμένους ἑκάτερον ὁπόσους ἐθέλοι, τὰ ὄρη περιελθεῖν, καὶ τοὺς Αἰτωλοὺς ἀπὸ τῶν ἄκρων, ὅπη δύναιντο, βιάσασθαι. τούτων ὁ μὲν Λεύκιος ἀπεκρούσθη τοῦ Τειχιοῦντος, ἀγαθῶν ἐνταῦθα τῶν Αἰτωλῶν γενομένων· ὁ δὲ Κάτων, τῷ Καλλιδρόμῳ παραστρατοπεδεύσας, κοιμωμένοις ἔτι τοῖς ἐχθροῖς ἐπέπεσε περὶ ἐσχάτην φυλακήν· καὶ πολὺς ἀμφ' αὐτὸν ἐγίγνετο ἀγὼν, βιαζόμενον ἐς ὑψηλὰ καὶ ἀπόκρημνα, κωλυόντων τῶν πολεμίων. ἤδη δὲ καὶ Μάνιος ἐπῆγε τὴν στρατιὰν Ἀντιόχῳ κατὰ μέτωπον, ἐς λόχους ὀρθίους διῃρημένην· ὧδε γὰρ μόνως ἐν στενοῖς ἐδύνατο. καὶ ὁ βασιλεὺς τοὺς μὲν ψιλοὺς καὶ πελταστὰς προμάχεσθαι τῆς φάλαγγος ἐκέλευσε. αὐτὴν δ' ἔστησε πρὸ τοῦ στρατοπέδου· ἐπὶ δεξιὰ δ' αὐτῆς τοὺς σφενδονήτας καὶ τοξότας, ἐπὶ τῶν ὑπωρειῶν· τοὺς δ' ἐλέφαντας, ἐν ἀριστερᾷ, καὶ τὸ στῖφος ὃ μετ' αὐτῶν αἰεὶ συνετάσσετο, παρὰ τῇ θαλάσσῃ.

*Lin.* 19. *Suspectum h. l. verbum* παραστρατοπεδεύσας. *An* παρεστοπεδήσας*?* a Callidromo insultans *Cand.* *L.* 27. ἐπὶ δεξιᾷ *Edd.* ἐπὶ δεξιὰ *dedit Aug.* *Sed inducenda procul dubio verba; in quorum locum reponenda illa*, ἐν ἀριστερᾷ, *quæ iniquo loco l.* 28 *sq. inserta sunt.* *Ibid.* σφενδονίτας *edit.* 1. *Aug.* *L.* 28. ὑπορειῶν *Aug.*

bus tribunis, *M. Catone* & *L. Valerio*, qui cum quotquot vellent selectis montes circumirent, & statione *Ætolos* quocumque modo possent dejicerent. Horum alter Lucius a Tichiunte repulsus est, Ætolis hoc loco fortiter pugnantibus. Cato vero, adversus Callidromum missus, in dormientes adhuc hostes irruit circa ultimam vigiliam: multum tamen certatum est, evadentibus per ardua præruptaque contra prohibentem hostem militibus. Jamque *Manius* etiam *Antiochum* a fronte petebat, rectis ordinibus ducens exercitum; nec enim aliter angustiæ loci patiebantur. Et rex velites & cetratos ante phalangem statuit; ipsam phalangem instruxit pro castris, & ad dextrum (*potius*, sinistrum) ejus latus funditores ac sagittarios sub ipsis radicibus montis; elephantos vero, cum præsidio quod illis semper addi solet, [a sinistro latere] juxta mare locavit.

A. U. 563.

XIX. Γενομένης δ' ἐν χερσὶ τῆς μάχης, τὰ μὲν πρῶτα τὸν Μάνιον οἱ ψιλοὶ, πανταχόθεν ἐπιτρέχοντες, ἐλύπουν. ἐπεὶ δὲ αὐτοὺς φιλοπόνως δεχόμενός τε καὶ ἀναχωρῶν, καὶ αὖθις ἐπιὼν, ἐτρέψατο· τοὺς μὲν ψιλοὺς ἡ φάλαγξ ἡ τῶν Μακεδόνων διαστᾶσα, ἐς αὐτὴν ἐδέξατο, καὶ συνελθοῦσα ἐκάλυψε, καὶ τὰς σαρίσσας ἐν τάξει πυκνὰς προὐβάλοντο· ᾧ δὴ μάλιστα οἱ Μακεδόνες ἐξ Ἀλεξάνδρου καὶ Φιλίππου κατεπλήσσοντο τοὺς πολεμίους, ἀντίοις δόρασι πολλοῖς καὶ μακροῖς οὐ τολμῶντας πελάζειν. αἰφνίδιον δ' ὤφθη τῶν Αἰτωλῶν ἐκ τοῦ Καλλιδρόμου φυγὴ καὶ βοὴ, καθαλλομένων ἐς τὸ Ἀντιόχου στρατόπεδον. τὸ μὲν δὴ πρῶτον ἑκατέροις ἄγνοιά τε τοῦ γιγνομένου, καὶ θόρυβος ἦν, ὡς ἐν ἀγνοίᾳ. ὡς δὲ ὁ Κάτων ἐπεφαίνετο, διώκων αὐτοὺς μετὰ πολλῆς βοῆς, καὶ ὑπὲρ τὸ στρατόπεδον ἐγίγνετο ἤδη τὸ Ἀντιόχου· ἔδεισαν οἱ τοῦ βασιλέως, περί τε τῆς Ῥωμαίων μάχης ἐπιφόβως ἐκ πολλοῦ πυνθανόμενοι, καὶ σφᾶς εἰδότες ὑπὸ ἀργίας καὶ τρυφῆς δι' ὅλου τοῦ χειμῶνος ἐς δυσεργίαν διεφθαρμένους. τούς

*Lin.* 32. περιτρέχοντες *Aug. Ven.* discurrentes *Cand.* *L.* 35. ἐς αὑτὴν *edit.* 2. 3. *L.* 37. προὐβάλλοντο *Edd.* *L.* 41. καθαλομένων *Edd.* *L.* 42. τε *post* ἄγνοια *carent Edd.*

19. Conserto prælio, primum Manius a leviter armatis infestabatur, undique ei se ingerentibus. Quos ubi fortiter sustinendo, & nunc cedendo, nunc rursum impressionem faciendo, ad cedendum tandem coëgit; phalanx, illis per medium transmissis, rursus coivit, & sarissas condensas objecit: quo maxime instituto Alexandri Philippique Macedones hostibus erant terribiles, non audentibus in infestas longas confertasque hastas incurrere. Tum vero repente conspecti sunt *Ætoli* cum clamore *e Callidromo fugientes*, & in castra Antiochi desilientes. Quæ res primum utrosque conturbavit, nondum satis cognita, qualis esset. Ut vero *Cato* conspectus est, magno clamore fugientes persequens, & castris jam imminens *Antiochi*; territi sunt regii, qui jam ante multa de Romanorum pugnandi ratione timide sciscitati erant, conscii suæ segnitiæ, in quam hibernis voluptatibus & cessationibus inciderant. Quumque non

τε σὺν τῷ Κάτωνι σαφῶς μὲν οὐ καθορῶντες ὁπόσοι τινὲς εἶεν, ὑπὸ δὲ τοῦ φόβου πλείους νομίζοντες εἶναι, καὶ περὶ τῷ στρατοπέδῳ δείσαντες, ἀκόσμως ἐς αὐτὸ κατέφευγον, ὡς ἀπ' αὐτοῦ τοὺς πολεμίους ἀμυνούμενοι. Ρωμαῖοι δ' αὐτοῖς παραθέοντες, συνέπεσον ἐς τὸ στρατόπεδον· καὶ ἦν ἄλλη φυγὴ τῶν Αντιοχείων ἐκεῖθεν ἀκόσμος. ὁ δὲ Μάνιος μέχρι μὲν ἐπὶ Σκάρφειαν ἐδίωκεν αὐτοὺς, κτείνων τε καὶ ζωγρῶν. ἀπὸ δὲ τῆς Σκαρφείας ἐπανιὼν, διήρπαζε τὸ στρατόπεδον τοῦ βασιλέως· καὶ τοὺς Αἰτωλοὺς, ἐπιδραμόντας τῷ Ρωμαίων χάρακι παρὰ τὴν ἀπουσίαν αὐτῶν, ἐξήλασεν ἐπιφανείς. *A. U. 563.*

XX. Απέθανον δ' ἐν τῇ μάχῃ καὶ τῇ διώξει, Ρωμαίων μὲν, ἀμφὶ τοὺς διακοσίους· Αντιόχου δὲ, σὺν τοῖς ληφθεῖσιν, ἀμφὶ τοὺς μυρίους. αὐτὸς δ' ὁ βασιλεὺς ἀπὸ μὲν τῆς πρώτης τροπῆς μετὰ πεντακοσίων ἱππέων εἰς Ελάτειαν ἀμεταστρεπτὶ διέδραμεν. ἀπὸ δ' Ελατείας, ἐς Χαλκίδα, καὶ ἐς Ἔφεσον, μετ' Εὐβίας τῆς νεογάμου, (τοῦτο γὰρ αὐτὴν ὠνόμαζεν) ἐπὶ τῶν νεῶν ἔφευγεν, οὐδὲ τούτων ἁπασῶν. ἀγορὰν γάρ τινας αὐτῶν διαφερούσας

*Lin.* 52. ὡς *carent Edd.* *L.* 53. συνεσέπεσον *puto legendum.* *L.* 54. ἐκεῖθεν *carent Edd.* *L.* 58. ἐπιδραμ. τῶν Ρωμ. χάρ. *Edd.* *L.* 65. Εὐβοίας *Aug. Pl.*

cernerent, quantam manum Cato secum traheret; præ metu rati plures esse, & castris timentes, turbatis ordinibus in ea refugerunt, ex vallo hostem propulsaturi. Sed Romani terga eorum prementes, simul introruperunt. Ibi nova *fuga regiorum* e castris exorta. Et *Manius* eos Scarphiam usque persecutus est, cædendo, capiendoque. Inde reversus, *Antiochi castra diripuit*; & Ætolos, qui in vacua Romanorum castra irruperant, suo adventu expulit.

20. Ceciderunt eo die ex Romanis circiter ducenti. *Antiochus* in pugna fugaque, una cum captis, ad decem millia amisit. Rex ipse, ubi primum inclinatam suorum viderat aciem, cum quingentis equitibus continuato cursu Elateam petierat. Inde porro Chalcidem, & Ephesum, cum nova nupta Eubia, (sic enim eam vocabat) navibus profugit, ne his quidem omnibus conservatis; nonnullas enim, con-

A. U. 563. ὁ Ῥωμαίων ναύαρχος ἐπαναχθεὶς διεφθάρκει. Οἱ δ' ἐν ἄστει Ῥωμαῖοι τῆς νίκης πυθόμενοι, ταχείας τε οὕτω καὶ εὐχεροῦς σφίσι φανείσης, ἔθυον, ἐκ φοβερᾶς τῆς Ἀντιόχου δόξης τὴν πρώτην πεῖραν ἀσπασάμενοι. Φίλιππόν τε τῆς συμμαχίας ἀμειβόμενοι, τὸν υἱὸν αὐτῷ Δημήτριον, ὁμηρεύοντα ἔτι παρὰ σφίσιν, ἔπεμψαν.

XXI. Καὶ τάδε μὲν ἦν ἐν ἄστει. Μάνιος δὲ Φωκέας μὲν, καὶ Χαλκιδέας, καὶ ὅσοι ἄλλοι τῷ Ἀντιόχῳ συνεπεπράχεσαν, δεομένους, ἀπέλυσε τοῦ δέους. τὴν δ' Αἰτωλίαν αὐτός τε καὶ Φίλιππος ἐδῄουν, καὶ τὰς πόλεις ἐπολιόρκουν. Δαμόκριτόν τε, τὸν στρατηγὸν τῶν Αἰτωλῶν, ἐνταῦθα ὁ Μάνιος ἔλαβε κρυπτόμενον, ὃς Φλαμινίῳ παρὰ τὸν Τίβεριν ἠπείλει στρατοπεδεύειν. ὁ μὲν δὴ Μάνιος ἐπὶ Καλλιπόλεως διώδευε τὸ ὄρος, ὃ καλοῦσι Κόρακα, ὑψηλότατόν τε ὀρῶν, καὶ δυσόδευτον, καὶ ἀπόκρημνον, μετὰ στρατοῦ βαρυτάτου τε καὶ λαφύρων καταγόμου. πολλοὶ

*Lin. 68. διεφθάρη Edd. διεφθάρθη Reg. A. & Aug. ex importuna correct. L. 69. πειθόμενοι edit. 1. Ibid. sq. οὕτω σφίσι καὶ εὐχεροῦς Aug. ταχ. τε καὶ εὐχερ. σφίσι οὕτω φαν. Ven. L. 72. ἅμα υἱὸν Edd. & carent τὸν. Ibid. vulg. αὐτοῦ post υἱὸν in αὐτῷ mutavi. L. 75 sq. συνεπετράχεσαν Edd. quum συνεπεπράχεσαν dedissent Regii. L. 80. στρατοπεδεύσειν edit. 2. 3. L. 83 sq. mallem πολλοί τ' ἐξεπ.*

meatum ferentes, classis Romanæ præfectus depresserat. Romæ, post nunciatam victoriam tam celeriter tamque facile reportatam, supplicationes fuerunt: lætis omnibus, periculosi (ut videbatur) belli primam experientiam cessisse tam feliciter. *Philippo* etiam, in fidei socialis gratiam, *Demetrius filius*, qui ad id tempus obses Romæ fuerat, *remissus* est.

21. Dum hac publica gratulatione urbs fruitur; *Manius* Phocenses, & Chalcidendenses, aliosque qui Antiochum juverant, veniam petentes, metu liberavit. Ætoliam vero cum Philippo vastavit, & urbes ejus oppugnavit. *Damocritus* quoque, prætor Ætolorum, a Manio latebris extractus captusque est; qui Flaminio *minatus* fuerat, *se ad Tiberim metaturum castra*. Tum versus Callipolim iter fecit *Manius* per montem *Coracem*, omnium altissimum, & propter rupes transitu perdifficilem, præsertim impedito sarcinis & spoliis exercitui. Itaque multi in via tam incom-

δ' ἐξέπιπτον ὑπὸ τῆς δυσοδίας ἐς τὰ ἀπόκρημνα, καὶ σκεύεσιν αὐτοῖς καὶ ὅπλοις κατεφέροντο. καὶ αὐτοὺς δυνηθέντες ἂν οἱ Αἰτωλοὶ συνταράξαι, οὐδὲ ὤφθησαν, ἀλλ' ἐς Ῥώμην περὶ εἰρήνης ἐπρέσβευον. Ἀντίοχος δὲ τὴν στρατιὰν ἀπὸ τῶν ἄνω σατραπειῶν κατὰ σπουδὴν ἐπὶ θάλασσαν ἐκάλει, καὶ τὰς ναῦς ἐπεσκεύαζε, ναυαρχοῦντος αὐτῷ Πολυξενίδου Ῥοδίου φυγάδος. ἔς τε Χεῤῥόνησον διαπλεύσας, πάλιν αὐτὴν ὠχύρου, καὶ Σηστὸν καὶ Ἄβυδον ἐκρατύνετο, δι' ὧν ἔδει τὴν φάλαγγα τὴν Ῥωμαίων ἐς τὴν Ἀσίαν ὁδεῦσαί τε καὶ περάσαι. Λυσιμάχειαν δὲ ταμιεῖον τῷδε τῷ πολέμῳ ποιούμενος, ὅπλα καὶ σῖτον πολὺν ἐς αὐτὴν συνέφερεν· ἡγούμενος αὐτίκα οἱ Ῥωμαίους πεζῷ τε πολλῷ καὶ ναυσὶν ἐπιθήσεσθαι. Οἱ δὲ Μανίῳ μὲν αἱροῦνται διάδοχον ἐπὶ τὴν στρατηγίαν Λεύκιον Σκιπίωνα, ὃς τότε αὐτοῖς ὕπατος ἦν· ἀπράκτῳ δ' ὄντι καὶ ἀπειροπολέμῳ σύμβουλον αἱροῦνται τὸν ἀδελφὸν Πούπλιον Σκιπίωνα, τὸν Καρχηδονίους ἀφελόμενον τὴν ἡγεμονίαν, καὶ πρῶτον ὀνομασθέντα Ἀφρικανόν.

A. U. 563.

*Lin.* 93. ταμεῖον *Edd.*

moda prolapſi, per prærupta cum armis & impedimentis devolvebantur. Ibi quum multum vexare agmen potuiſſent *Ætoli*, nuſquam conſpecti ſunt, ſed Romam *de pace* legationem miſerunt. *Antiochus* interim e ſuperioris Aſiæ ſatrapiis propere *copias convocabat* ad mare; claſſemque adparabat, cui *Polyxenidas*, *exul Rhodius*, erat præfectus. Moxque Cherſoneſum trajiciens, denuo eam muniit, & Seſtum Abydumque præſidiis firmavit; per quas trajectus erat Romanis legionibus, ſi in Aſiam vellent tranſire. Et quum horreum huic bello Lyſimachiam deſtinaſſet, magnam armorum frumentique vim eo comportabat; ratus, Romanos brevi cum magnis terreſtribus navalibuſque copiis ipſum adgreſſuros. Interim Romæ *M'. Acilio ſucceſſor* electus eſt L. SCIPIO, conſul: & quia inexercitatus erat, nec ſatis callens rerum militarium, *legatus* ei additus *Publius* frater, qui e Carthagine devicta primus cognomen *Africani* retulerat.

A. U. 563. XXII. Καὶ οἱ μὲν Σκιπίωνες ἔτι ἦσαν ἐν παρασκευῇ· Λίβιος δ', ὁ φύλαξ τῆς Ἰταλίας, ἐπὶ τὴν ναυαρχίαν αἱρεθεὶς Ἀτιλίῳ διάδοχος, αὐτίκα ταῖς τε ἰδίαις ναυσὶν, αἷς τὴν Ἰταλίαν περιέπλει, καὶ παρὰ Καρχηδονίων αὐτῷ τισι δοθείσαις, καὶ συμμαχίσιν ἄλλαις, ἐς Πειραιᾶ κατήχθη. καὶ τὸν ὑπ' Ἀτιλίῳ στόλον παραλαβὼν, ἔπλει καταφράκτοις ὀγδοήκοντα καὶ μιᾷ, ἑπομένου καὶ Εὐμενοῦς πεντήκοντα ἰδίαις· καὶ ἦν κατάφρακτον καὶ τῶνδε τὸ ἥμισυ. ἔς τε Φώκαιαν, ὑπήκοον μὲν Ἀντιόχου, ὑπὸ δ' ἐκπλήξεως αὐτοὺς δεχομένην, κατήγοντο· καὶ τῆς ἐπιούσης ἐς ναυμαχίαν ἀπέπλεον. ἀντανήγετο δ' αὐτοῖς ὁ ναύαρχος ὁ Ἀντιόχου Πολυξενίδας διακοσίαις ναυσὶ, κουφοτέραις τῶν πολεμίων παρὰ πολύ· ᾧ δὴ καὶ μάλιστα προὔλαβε, τοῦ πελάγους ἔτι Ῥωμαίων ἀναπειρωμένων. καὶ δύο τῶν Καρχηδονίων ναῦς ἰδὼν προπλεούσας, τρεῖς τῶν ἰδίων ἐπιπέμψας, εἷλε τὰς δύο κενὰς, ἐξαλομένων τῶν Λιβύων ἐς τὸ πέλαγος. Λίβιος δ' ἐπὶ τὰς τρεῖς ἐφε-

*Lin.* 5. Ἀτιλιλίῳ *Pl. Leid.* *L.* 11. ἔς τε Φωκίδα *Edd.* *L.* 13. ἐπίπλεον *Aug. Pl.* *Ibid.* ἀντενήγετο *Edd.* *L.* 14. τοῦ Ἀντιόχου, & *carent artic.* ὁ, *Edd.*

22. Dum fratres *Scipiones* in comparando adhuc occupati erant; LIVIUS, qui curam habuerat defendendæ Italiæ, *ad classem* missus *successor Atilio*, statim cum suis navibus, quibus Italiæ oras lustraverat, & quibusdam a Carthaginiensibus missis, auxiliaribusque aliis, in Piræeum adpulit. Ibi accepta ab Atilio classe, navigavit una & octoginta navibus stratis; quas sequebatur & *Eumenes* cum quinquaginta suis, quarum & ipsarum dimidius numerus tectus erat. Adpulerunt autem *Phocææ*, quæ, Antiocho licet tunc subjecta, tamen metu perculsa eos admittebat. Inde postero die proficiscuntur, ad *navale certamen* se instruentes. Et contra egreditur *præfectus classis Antiochi*, *Polyxenidas*, cum ducentis navibus, levioribus multo quam hostiles erant: quod ei maxime profuit, quod Romani nondum satis essent rei nauticæ periti. Ille, ubi vidit ante alias ferri duas naves Punicas, immissis in eas tribus ex suis, ambas cepit, sed vacuas, Afris in mare prosilientibus. Tum *Livius* iratus,

A. U. 563.

ρετο πρῶτος ὑπὸ ὀργῆς τῇ στρατηγίδι νηῒ, πολὺ προὔχων τοῦ στόλου. αἱ δ᾽, ὡς μιᾷ, σὺν καταφρονήσει, χεῖράς τε σιδηρᾶς ἐπέβαλλον· καὶ συνεστηκότων τῶν σκαφῶν, ὁ ἀγὼν ἦν ὥσπερ ἐν γῇ. πολὺ δὲ κρείσσους ὄντες οἱ Ῥωμαῖοι ταῖς εὐτολμίαις, ἐπιβάντες ἐς τὰς ἀλλοτρίας ἐκράτουν, καὶ μιᾷ νηῒ δύο ὁμοῦ φέροντες ἐπανήεσαν. καὶ τόδε μὲν τῆς ναυμαχίας προαγώνισμα ἦν. ἐπεὶ δὲ οἱ στόλοι συνέπεσον ἀλλήλοις, ἰσχύϊ μὲν καὶ προθυμίᾳ τὰ τῶν Ῥωμαίων ἐπεκράτει· διὰ δὲ βαρύτητα τῶν σκαφῶν τοὺς ἐχθροὺς οὐκ ἐδύναντο καταλαμβάνειν, κούφαις ναυσὶν ὑποφεύγοντας. ἕως οἱ μὲν ἐς τὴν Ἔφεσον ὀξέως κατέφυγον, οἱ δ᾽ ἐς Χίον ἀπῆραν· ἔνθα αὐτοῖς Ῥοδίων νῆες συμμαχίδες ἦλθον ἑπτὰ καὶ εἴκοσιν. Ἀντίοχος δέ, περὶ τῆσδε τῆς ναυμαχίας πυθόμενος, Ἀννίβαν ἔστελλεν ἐπὶ Συρίας εἰς νεῶν ἄλλων ἔκ τε Φοινίκης καὶ Κιλικίας παρασκευήν. καὶ τόνδε μὲν ἐπανιόντα Ῥόδιοι κατέκλεισαν ἐς Παμφυ-

*Lin.* 20. προὔχων *Edd.* *L.* 21. αἱ δ᾽ ὡς μιᾶς συγκαταφρονήσει *Edd. ex Reg. A.* *Ibid. sq. aut abundare videtur* τε *post* χεῖρας, *aut ante* χεῖρας *excidisse verbum* ἐπέπλευσαν *vel aliud simile.* *L.* 22. συνεσταλκότων τῶν σκαφ. *Edd.* *L.* 27 *sq.* τὰ Ῥωμαίων, *omisso* τῶν, *Aug. & Pl.*

primus in eas impetum fecit navi prætoria, multum ante reliquam classem provectus. Et illæ, ut tres contra unum, contemtim huic ferreas manus injecerunt. Quo facto, quum jam cohærentibus navibus certamen esset terrestri simile, Romani, fortitudine superiores, in alienas naves transsiliunt, eisque potiuntur: sicque una navis duas simul captivas ducens, ad suos rediit. Post hoc pugnæ præludium, confligentibus classibus, *Romani* robore quidem *superabant* ac *virtute*: sed quia gravioribus utebantur navibus, non poterant adversariorum naves adsequi, agilitate sua facile elabentes. Ac tandem *celeri fuga hostes* Ephesum *se receperunt:* Romani vero Chium petierunt, ubi auxiliares Rhodiæ naves se cum eis conjunxerunt viginti septem. *Antiochus*, postquam hujus navalis prælii nuncium accepit, *Annibalem* in Syriam misit, ut alias naves e Phœnice & Cilicia compararet. Quem redeuntem *Rhodii compulerunt*

A. U. λίαν, καί τινας αὐτοῦ τῶν νεῶν εἷλον, καὶ τὰς λοιπὰς ἐφεδρεύοντες ἐφύλασσον.

564. XXIII. Πούπλιος δὲ Σκιπίων, ἀφικόμενος ἐς Αἰτωλίαν μετὰ τοῦ ὑπάτου, καὶ τὸν Μανίου στρατὸν παραλαβὼν, τὰς μὲν ἐν Αἰτωλίᾳ πολιορκίας ὑπερεῖδεν, ὡς μικρὸν ἔργον, καὶ τοῖς Αἰτωλοῖς δεομένοις ἐπέτρεψεν αὖθις ἐς Ῥώμην πρεσβεῦσαι περὶ σφῶν· ἐπὶ δὲ τὸν Ἀντίοχον ἠπείγετο, πρὶν ἐκβῆναι τῷ ἀδελφῷ τὴν στρατηγίαν. διὰ δὲ Μακεδόνων ὥδευε καὶ Θρᾳκῶν ἐπὶ τὸν Ἑλλήσποντον, δυσχερῆ καὶ χαλεπὴν ὁδὸν αὐτῷ γενομένην ἂν, εἰ μὴ Φίλιππος ὁ Μακεδὼν ὡδοποίει καὶ ὑπεδέχετο καὶ παρέπεμπεν, ἐζευγμένοις τε ποταμοῖς ἐκ πολλοῦ, καὶ ἀγοραῖς ἑτοίμοις. ἐφ' οἷς αὐτὸν οἱ Σκιπίωνες αὐτίκα τῶν ὑπολοίπων χρημάτων ἀπέλυσαν, ἐπιτετραμμένοι τοῦθ' ὑπὸ τῆς βουλῆς, εἰ πρόθυμον εὕροιεν. ἐπέστελλον δὲ καὶ ἐς Προυσίαν, τὸν Βιθυνῶν βασιλέα· καταλέγοντες, ὅσοις βασιλεῦσι Ῥωμαῖοι συμμαχήσασι τὰς ἀρχὰς ἐπηύξησαν.

*Lin.* 41. δεομένοις *carent Edd.* *L.* 43 *sq.* διὰ Μακεδόνων; *absque conjunct. Aug.* καὶ διὰ Μακεδ. *Pl. Cæs. quod magis placet.* *L.* 51. τῶν Βιθυνῶν, *&* *carent* τὸν, *Edd.*

*in Pamphyliam*, captiſque aliquot ex ea claſſe navibus, reliquis ibi concluſis inſidiabantur.

23. Interea *P. Scipio* in Ætoliam venit cum conſule, acceptoque exercitu a Manio, bellum oppidatim per Ætoliam circumferre contemſit, ut rem exiguam; Ætoliſque deprecantibus permiſit, ut rurſus Romam legatos mitterent. Maluit enim *adverſus Antiochum properare*, priuſquam conſulatus fratris elaberetur. Duxit autem per Macedoniam Thraciamque ad Helleſpontum; itinere quod difficillimum ei moleſtiſſimumque fuerat futurum, niſi *viam muniviſſet Philippus Macedo*, & excepiſſet venientes, proſecutuſque eſſet, longe ante exſtructis pontibus, & annona præparata. Quamobrem ſtatim Scipiones ei reliquum pecuniæ debitæ remiſerunt; quemadmodum mandarat ſenatus, ſi obſequentem inveniſſent. *Pruſiæ* quoque, *Bithynorum* regi, ſcripſerunt; commemorantes, quam multis regibus amicis ac ſociis populus Romanus regna auxerit; „ Philippo quoque

Φίλιππον δὲ (φασὶ) τὸν Μακεδόνα καὶ πολέμῳ κρατήσαντες ἄρχειν ἐῶσι· καὶ τὸν παῖδα αὐτῷ τῆς ὁμηρείας ἀπελύσαμεν, καὶ τὸ ἔτι ὄφλημα τῶν χρημάτων. Οἷς ὁ Προυσίας ἡσθεὶς, συνέθετο συμμαχήσειν ἐπ᾽ Ἀντίοχον. Λίβιος δ᾽ ὁ ναύαρχος, ἐπεὶ τῆς ὁδοιπορίας τῶν Σκιπιώνων ἐπύθετο, Παυσίμαχον μὲν τὸν Ῥόδιον μετὰ τῶν Ῥοδίων νεῶν ἐν τῇ Αἰολίδι κατέλιπε, καὶ μέρος τι τοῦ ἰδίου στόλου· ταῖς δὲ πλείοσιν ἐς τὸν Ἑλλήσποντον ἔπλει, τὸν στρατὸν ὑποδεξόμενος. καὶ Σηστὸς μὲν αὐτῷ καὶ Ῥοίτειον, καὶ ὁ Ἀχαιῶν λιμὴν, καί τινα ἄλλα προσέθετο· Ἄβυδον δὲ ἀπειθοῦσαν ἐπολιόρκει. A. U. 564.

XXIV. Παυσίμαχος δ᾽, οἰχομένου Λιβίου, πείρας τε πυκνὰς καὶ μελέτας τῶν ἰδίων ἐποιεῖτο, καὶ μηχανὰς ποικίλας συνεπήγνυτο, πυρφόρα τε ἀγγεῖα σιδήρεα ἐξῆπτε κοντῶν μακρῶν, αἰωρεῖσθαι τὸ πῦρ ἐς τὸ πέλαγος· ἵνα τῶν μὲν ἰδίων σκαφῶν πολὺ προὔχῃ, τοῖς δὲ πολεμίοις προσιοῦσιν ἐμπίπτῃ. καὶ αὐτὸν τάδε φιλοπονούμενον Πολυξενίδας, ὁ Ἀντιόχου ναύαρχος, Ῥόδιός τε ὢν καὶ

L. 53. Φίλιππόν τε *Edd.* L. 59. τι *post* μέρος *carent Edd.* L. 60. τὸν στρατηγὸν ὑποδ. *Edd. & MSS. mendose, ut puto. Reposui* στρατὸν, *quod vocab. sæpe cum illo a librariis permutatum est.* L. 62. *Artic.* ὁ *ante* Ἀχαιῶν *caret Aug.* L. 67. τὸ πῦρ ἐς τὸ πέλαγος αἰωρούντων *Pl.*

Macedoni victo regnum relictum, filium obsidem redditum, remissam pecuniam debitam." Quibus intellectis, *Prusias* libenter societatem *contra Antiochum cum Romanis* iniit. *Livius* autem, præfectus classis, postquam cognovit Scipiones esse in itinere, Pausimacho Rhodio cum navibus Rhodiis & parte suarum in Æolide relicto, cum majore parte *in Hellespontum* navigavit, ut exercitum exciperet: moxque *Sestus*, *Rhæteum*, *Achæorum portus*, & alia quædam oppida, ei se dediderunt: *Abydum* vero, imperata detrectantem, oppugnavit.

24. *Pausimachus*, post discessum Livii, multis modis suos exercebat classiarios, machinasque varii generis compingebat: & ferreas trullas igniferas longis contis suspendebat, ut ignis multum in mare e navibus suis emineret, & in hostiles adpropinquantes incideret. His studiis occupatum *Polyxenidas*, Antiochi classis

A. U. 564. ὅδε, καί τισιν αἰτίαις ἐκπεσὼν τῆς πατρίδος, ἐνήδρευεν· ὑπισχνούμενος, τὸν Αντιόχου στόλον ἐγχειριεῖν, εἰ συνθοῖτο συμπράξειν ἐς κάθοδον αὐτῷ. ὁ δὲ ὑπώπτευε μὲν ἐπίκλοπον ἄνδρα καὶ πανοῦργον, καὶ ἐς πολὺ καλῶς ἐφυλάσσετο. γράψαντος δ' αὐτῷ τοῦ Πολυξενίδου περὶ τῆς προδοσίας ἐπιστολὴν αὐτόγραφον, καὶ ἐπ' αὐτῇ καὶ ἀναζεύξαντος ἀπὸ τῆς Εφέσου, καὶ τὴν στρατιὰν ὑποκριθέντος ἐς χορτολογίαν περιπέμπειν· ὁ Παυσίμαχος, τήν τε ἀνάζευξιν ὁρῶν, καὶ οὐκ ἐλπίσας ἄν τινα περὶ προδοσίας ἐπιστολὴν αὐτόγραφον οὐκ ἀληθεύοντα πέμψαι, πάγχυ πιστεύσας, ἐξέλυσε τὰς φυλακὰς, καὶ ἐς σιτολογίαν καὶ αὐτὸς περιέπεμπεν. ὁ δὲ Πολυξενίδας, ἐπεὶ κατεῖδεν αὐτὸν ἐνηδρευμένον, αὐτίκα τὴν παρασκευὴν συνῆγε, καὶ Νίκανδρον τὸν πειρατὴν σὺν ὀλίγοις ἐς τὴν Σάμον περιέπεμπε, κατὰ τὴν γῆν ὄπισθεν τοῦ Παυσιμάχου θορυβοποιεῖν. ἐκ δὲ μέσων νυκτῶν αὐτὸς ἐπέπλει,

*Lin.* 72. σύνθειτο *Pl. h. l. & alibi.* *L.* 73. συμπράξειν τὰ ἐς καθ. *Pl.* *L.* 78. *pro* χορτολογίαν *reponendum* σιτολογίαν *censeo; quod procul dubio exhibuerat exemplar Cand. qui nomen propr. esse putavit, &* Sitologiam *dedit.* *L.* 85. ὄπιθεν *Reg. B. & sic lin.* 90. *p. sq. Reg. uterque.* *L.* 86. θυροποιεῖν *Edd.* *Ibid.* μέσων νυκτὸς *Edd. Ferri potuerat* μέσῳ νυκτός.

præfectus, & ipse *Rhodius*, sed tum ob crimina quædam, quorum accusatus fuerat, patria exul, *insidioso commento* adgressus est; pollicens, traditurum se Antiochi classem, si ille sibi reciperet reditum in patriam adjuturum. Suspecta fuit hominis vafrities, & aliquamdiu pulchre dolos cavit *Pausimachus*. Sed postquam ad eum *Polyxenidas* literas misit de proditione, sua manu scriptas; moxque etiam Epheso discessit, sociis navalibus per simulationem frumentatum dimissis: tunc Pausimachus, discessisse eum videns, ratusque neminem commissurum, ut adversus semetipsum indicia manu sua testata daret, plenam ei fidem adhibere cœpit; neglexitque excubias, & suos ipse quoque frumentatum dimisit. *Polyxenidas*, ubi animadvertit succedere dolum, mox suos accersivit, & *Nicandrum* archipiratam cum paucis *Samum* transmisit, ut per terram a tergo infestaret Pausimachum: & ipse, media nocte solvens, adversus eum-

καὶ περὶ τὴν ἑωθινὴν φυλακὴν ἐπέπλει ἔτι κοιμωμένῳ. A. U.
ὁ δὲ, ἐν αἰφνιδίῳ κακῷ καὶ ἀδοκήτῳ, τοὺς στρατιώτας 564.
ἐκέλευε, τὰς ναῦς ἐκλιπόντας, ἀπὸ τῆς γῆς ἀμύνεσθαι τοὺς πολεμίους. προσπεσόντος δὴ ὄπισθεν αὐτῷ τοῦ Νικάνδρου, νομίσας καὶ τὴν γῆν προειλῆφθαι οὐχ ὑπὸ τῶν ἑωραμένων μόνων, ἀλλ', ὡς νυκτὶ, πολὺ πλειόνων, πάλιν ἐς τὰς ναῦς ἐνέβαινε θορυβούμενος· πρῶτός τε ἐς μάχην ἀνήγετο, καὶ πρῶτος ἔπεσε, λαμπρῶς ἀγωνιζόμενος. τῶν δὴ ἄλλων οἱ μὲν ἐλήφθησαν, οἱ δὴ ἀπώλοντο. καὶ τῶν νεῶν ἑπτὰ μὲν, αἳ τὸ πῦρ ἔφερον, οὐδενὸς αὐταῖς διὰ τὴν φλόγα προσιόντος, ἔφυγον· τὰς δὲ λοιπὰς εἴκοσιν ὁ Πολυξενίδας ἀναδησάμενος, ἐς τὴν Ἔφεσον κατήχθη.

XXV. Καὶ ἐπὶ τῇδε τῇ νίκῃ Φώκαια αὖθις καὶ Σάμος καὶ Κύμη πρὸς Ἀντίοχον μετετίθετο. δείσας δὴ ὁ Λίβιος περὶ τῶν σφετέρων νεῶν, ἃς ἐν τῇ Αἰολίδι καταλελοίπει, κατὰ σπουδὴν ἐς αὐτὰς ἐπανῄει. καὶ Εὐμενὴς πρὸς αὐτὸν ἠπείγετο· Ῥόδιοί τε Ῥωμαίοις ναῦς ἑτέρας εἴκοσιν ἔπεμπον.

*Lin.* 97. *pro* αὐταῖς *dant* αὐτῶν *Edd.* *L.* 98. ἀναδυσάμενος *edit.* 1.
*L.* 1. Φωκέα *Reg. A.* Φώκεα *Reg. B.* *L.* 2. *mallem* μετετίθεντο.
*L.* 4 *sq.* πρὸς αὐτὸ ὑπήγετο *edit.* 1. πρὸς αὐτὸν ὑπήγετο *edit.* 2. 3.

dem direxit cursum, & ante diluculum in dormientem adhuc irruit. *Pausimachus*, repentino inopinatoque malo territus, jussit milites relictis navibus e terra repugnare. Sed quum a tergo Nicander impetum in eum faceret; per nocturnum errorem putans terram occupatam a pluribus, rursum naves raptim conscendit: &, primus in hostes excurrens, primus quoque, fortiter pugnans, *Pausimachus* interfectus est. Reliqui aut capti aut cæsi sunt. Naves septem tantum effugerunt; quæ, cum ignem ferrent, micantibus flammis deterruerant hostem, ne accederet propius: reliquas viginti captas Ephesum secum reduxit *Polyxenidas*.

25. Post eam victoriam Phocæa rursum, & Samus, & Cuma defecerunt ad *Antiochum*. Tum *Livius*, veritus, ne quid suis navibus in Æolide relictis accideret, propere ad eas rediit: quo etiam *Eumenes* properavit; & *Rhodii* viginti alias naves Romanis miserunt. Ita-

A. U. 564. μικρὸν δὲ διαλιπόντες, ἅπαντες ἀνεθάῤῥησαν, καὶ ἐπὶ τὴν Ἔφεσον ἔπλεον, ἐς ναυμαχίαν ἐσκευασμένοι. οὐδενὸς δ' αὐτοῖς ἀντεπιπλέοντος, τὸ μὲν ἥμισυ τῶν νεῶν ἐς ἐπίδειξιν ἔστησαν ἐν μέσῃ τῇ θαλάσσῃ μέχρι πολλοῦ· ταῖς δ' ὑπολοίποις ἐς τὴν πολεμίαν καταχθέντες, ἐπόρθουν. μέχρι Νίκανδρος αὐτοῖς ἐκ τῆς μεσογαίας ἐπιπεσὼν, τήν τε λείαν ἀφείλετο, καὶ ἐς τὰς ναῦς κατεδίωξεν. οἱ μὲν δὴ πάλιν ἐς Σάμον ἀνήγοντο, καὶ ὁ χρόνος ἔληγε Λιβίῳ τῆς ναυαρχίας.

XXVI. Τοῦ δ' αὐτοῦ χρόνου Σέλευκος, ὁ Ἀντιόχου, τὴν Εὐμενοῦς γῆν ἐδῄου, καὶ Περγάμῳ παρεκάθητο, τοὺς ἄνδρας ἐς τὴν πόλιν κατακλείσας. ὅθεν ὁ Εὐμενὴς ἐς Ἐλαίαν, τὸ τῆς ἀρχῆς ἐπίνειον, διέπλει κατὰ σπουδὴν, καὶ σὺν αὐτῷ Λεύκιος Αἰμίλιος Ῥηγίλλος, ὁ Λιβίου τὴν ναυαρχίαν παραδεδεγμένος. ἧκον δὲ καὶ παρὰ τῶν Ἀχαιῶν Εὐμενεῖ σύμμαχοι χίλιοι πεζοὶ, καὶ ἱππεῖς ἑκατὸν ἐπίλεκτοι. ὧν Διοφάνης ὁ στρατηγὸς, ἀπὸ τοῦ τείχους ἰδὼν

*Lin.* 6. ἀνεθάῤῥησάν τε καὶ *Pl. Cæs.* *L.* 10. ἐς γῆν πολεμίαν *Edd. Ibid.* ἐπολιόρκουν, *quod mendose dabant Edd. & MSSti, in* ἐπόρθουν *mutavi.* *L.* 11. *Corruptum nomen videtur h. l.* Νίκανδρος. Andronicum *Livius vocat. Ibid.* αὐτοὺς, ἐκ τῆς μεσ. *Edd. quod ferri poterat. Secutus sum Aug. & Pl.* *L.* 19. *correxi mendosum* Ῥηγοῦλος *Edd.* Ῥηγούλος *Aug.*

que brevi mora interposita, omnes, receptis animis, navigarunt *Ephesum*, navibus ad prælium instructis. Postquam nemo adversus prodiit; dimidium classis in alto diu ostentaverunt: reliquis navibus ad terram adpulsi, deprædabantur hostium littora; quos *Nicander* a continenti subito adortus, recepta præda, in naves compulit. Tunc *Samum* rursus illi adpulerunt, elapso jam præfecturæ Livii tempore.

26. Per eosdem dies *Seleucus*, *Antiochi filius*, Eumenis regionem populabatur, & *Pergamum obsidebat*, conclusis in eam hostibus. Quamobrem *Eumenes Elæam*, quæ ejus *regni navale* est, sine mora trajecit, & cum eo L. ÆMILIUS REGILLUS, *successor Livii.* Advenerant autem Eumeni ab *Achæis* quoque auxiliares, mille pedites, & centum selecti equites. Quorum dux *Diophanes*, quum e mœ-

τοὺς Σελευκείους παίζοντάς τε καὶ μεθύοντας ἐκ κατα- *A. U.*
φρονήσεως, ἔπειθε τοὺς Περγαμηνοὺς ἑαυτῷ συνεκδραμεῖν 564.
ἐπὶ τοὺς πολεμίους. οὐχ ὑφισταμένων δ' ἐκείνων, ὥπλισε τοὺς ἰδίους χιλίους, καὶ τοὺς ἑκατὸν ἱππέας, καὶ προαγαγὼν ὑπὸ τὸ τεῖχος ἔστησεν ἀτρεμεῖν· ὑπερορώντων αὐτοὺς ἐς πολὺ τῶν πολεμίων, ὡς ὀλίγους τε καὶ οὐ τολμῶντας ἐς χεῖρας ἐλθεῖν. ὁ δ' ἀριστοποιουμένοις ἐπιδραμὼν, ἐθορύβησέ τε καὶ ἐτρέψατο τοὺς προφύλακας. τῶν δ' ἄλλων ἐπὶ τὰ ὅπλα ἀναπηδώντων, καὶ τοὺς ἵππους περιχαλινούντων, ἢ φεύγοντας διωκόντων, ἢ δυσχερῶς ἀναβαινόντων οὐκ εὐσταθοῦντας, ἐκράτει πάνυ λαμπρῶς· ἐπιβοώντων ἄνωθεν ἀπὸ τοῦ τείχους τῶν Περγαμηνῶν, καὶ οὐδὲ τότε προελθεῖν ὑφισταμένων. κτείνας δ' ὅσους ἐδύνατο, ὡς ἐν ἐπιδείξει ταχείᾳ, καί τινας αἰχμαλώτους ἑλὼν ἄνδρας τε καὶ ἵππους, ἐπανῄει κατὰ σπουδήν. καὶ τῆς ἐπιούσης αὖθις ἔστη τοὺς Ἀχαιοὺς ὑπὸ τὸ τεῖχος, οὐδὲ τότε τῶν Περγαμηνῶν αὐτῷ συνεξιόντων. ὁ Σέλευκος δ' ἱππεῦσι πολλοῖς αὐτῷ προσεπέλαζε, προ-

*Lin.* 23. Σελευκίους *edit.* 1. *ex Reg. A.* *L.* 27. & *iterum l.* 38. ἐπὶ τὸ τεῖχος *Edd.*

nibus urbis profpexiffet Seleucianos ludentes contemtim & potantes, hortatus eft *Pergamenos*, ut fecum in hoftem erumperent. Quod quum illi non auderent facere; fuos pedites equitefque arma capere juffit, urbeque eductos ante mœnia quietos continuit. Et ibi quidem diu ab hoftibus contemnebantur, ob paucitatem, & quod in pugnam prodire non auderent. At ille circa prandium occupatos fubito invafit; territifque qui in ftatione erant, & terga vertere coactis, reliquos etiam, dum ad arma profiliunt, & equos vel infrenant, vel diffugientes infequuntur, aut ftare nolentes non poffunt adfcendere, fuperavit egregie; *Pergamenis* e muro adclamantibus, ac ne tum quidem prodire audentibus. Cæfis igitur quotquot in tam celeri virtutis oftentatione poterat, captifque etiam viris nonnullis equifque, in præfidium urbis rediit *Diophanes.* Poftero die rurfus *Achæos* fuo pro muro locavit, ne tum quidem Pergamenis fequentibus. Et *Seleucus* cum multis equitum turmis accef-

A. U. 564. καλούμενος· ὁ δὲ τότε μὲν οὐκ ἐπεξῄει, παρ' αὐτὸ τὸ τεῖχος ἑστὼς, ἀλλ' ἐφυλάσσετο. ἐπεὶ δ' ὁ Σέλευκος, παραμείνας ἐς μεσημβρίαν, καμνόντων οἱ ἤδη τῶν ἱππέων, ἐπέστρεφε καὶ ἐπανῄει, τοῖς τελευταίοις αὐτοῦ ὁ Διοφάνης ἐπιθέμενος καὶ θορυβοποιήσας, καὶ βλάψας ὅσα καὶ τότε δυνατὸς ἦν, εὐθὺς ἐπανῄει πάλιν ὑπὸ τὸ τεῖχος. καὶ τόνδε τὸν τρόπον συνεχῶς ἔν τε χορτολογίαις καὶ ξυλείαις ἐνεδρεύων αἰεί τι καὶ ἐνοχλῶν, ἀπό τε Περγάμου τὸν Σέλευκον ἀνέστησε, καὶ ἀπὸ τῆς ἄλλης Εὐμενοῦς χώρας ἐξήλασε.

XXVII. Πολυξενίδᾳ δὲ καὶ Ῥωμαίοις μετ' οὐ πολὺ γίγνεται ναυμαχία περὶ Μυόννησον· ἐς ἣν συνῄεσαν, Πολυξενίδας μὲν ναυσὶν ἐννενήκοντα καταφράκτοις, Λεύκιος δ' ὁ Ῥωμαίων ναύαρχος ὀγδοήκοντα καὶ τρισί· καὶ τούτων ἦσαν ἐκ Ῥόδου πέντε καὶ εἴκοσιν. ὧν ὁ στρατηγὸς Εὔδωρος ἐτέτακτο μὲν ἐπὶ τοῦ λαιοῦ κέρως· ἰδὼν δὲ ἐπὶ θάτερα Πολυξενίδαν πολὺ προὔχοντα Ῥωμαίων, ἔδεισέ τε

*Lin. 43.* οἱ, *post* καμνόντων, *ex Pl. recepi.* *L. 46. rursus* ἐπὶ, *pro* ὑπὸ, *Edd.* *L. 48.* καὶ ἀεί τι ἐνοχλ. *Pl. Cæs. commodiori verborum serie. Lubens reponerem* καὶ αἰεί τι καὶ ἐνοχλ. *L. 53.* ἐνενήκοντα *Edd. Ibid.* Σελεύκιος δὲ *edit.* 1. *L. 54.* καὶ *ante* τούτων *caret Aug.* καὶ *ante* τρισὶ *caret Ven. Rectius.*

sit propius, potestatem pugnæ faciens. Sed quievit tunc Achæus, non discedens a mœnibus, & occasionem opperiens. Ubi vero post meridiem fessos equites vidit reverti in castra; magno impetu in postremum agmen incurrit; rursusque tumultu pavoreque incusso, & damno, quantum potuit, illato, sub mœnia se recepit. Ad eumdem modum pabulantes lignantesque hostes sæpius adortus ex insidiis, & numquam sine damno elabi passus *Diophanes*, ex agro *Pergameno Seleucum* movere castra coëgit, & omnino e regno *Eumenis expulit.*

27. Paulo post Romani cum Polyxenida NAVALE PRÆLIUM commiserunt AD MYONNESUM; in quo *Polyxenidas* navibus stratis XC. pugnavit; quibus *Regillus*, Romanæ classis præfectus, opposuit octoginta tres. In his erant XXV. *Rhodiæ*, quibus *Eudorus* in sinistro cornu præfuit. Qui quum videret, in altero cornu Polyxenidæ aciem evectam multum ultra Roma-

μὴ κυκλωθεῖεν, καὶ περιπλεύσας ὀξέως, ἅτε κούφαις ναυσὶ καὶ ἐρέταις ἐμπείροις θαλάσσης, τὰς ναῦς τὰς πυρφόρους τῷ Πολυξενίδᾳ πρώτας ἐπῆγε, λαμπομένας τῷ πυρὶ πάντοθεν. οἱ δ' ἐμβαλεῖν μὲν αὐταῖς οὐκ ἐτόλμων, διὰ τὸ πῦρ· κύκλῳ δ' αὐτὰς περιπλέοντες ἐνέκλινόν τε καὶ θαλάσσης ἐπίμπλαντο, καὶ ἐς τὰς ἐπωτίδας ἐτύπτοντο. μέχρι Ῥοδίας νεὼς ἐς Σιδονίαν ἐμβαλούσης, καὶ τῆς πληγῆς εὐτόνου γενομένης, ἄγκυρα ἐκπίπτουσα τῆς Σιδονίας ἐς τὴν Ῥοδίαν ἐπάγη τε, καὶ συνέδησεν ἄμφω πρὸς ἀλλήλας. ὅθεν ἦν ὁ ἀγὼν ἀτρεμούντων τῶν σκαφῶν τοῖς ἐπιβάταις, ὥσπερ ἐν γῇ. καὶ προσιουσῶν ἄλλων ἐς ἐπικουρίαν ἑκατέρᾳ πολλῶν, φιλονεικία τε παρ' ἀμφοῖν ἐγίγνετο λαμπρὰ, καὶ τὸ μέσον τῶν Ἀντιόχου νεῶν, ἔρημον ἐκ τούτου γενόμενον, αἱ Ῥωμαίων νῆες διέπλεον, καὶ τοὺς πολεμίους ἀγνοοῦντας ἔτι ἐκύκλουν. ὡς δ' ἔμαθόν ποτε, ἐγίγνετο φυγὴ καὶ τροπή· καὶ διεφθάρησαν Ἀντιόχου νῆες μιᾶς δέουσαι τριάκοντα, A. U. 564.

*Lin.* 63. ἐμπίπλαντο *Edd.* *L.* 64. νεῶν *Edd.* *Ibid.* ἐμβαλούσας *Edd.* *L.* 65 *sq.* ἐμπίπλουσα *Edd.* *L.* 72. ἔτι ἀγνοοῦντας *Aug.*

nam; veritus, ne dextrum cornu ab hoste circumveniretur; citatissimo cursu, quum & navibus uteretur levibus & remigibus exercitatissimis, in alteram partem circumvectus, igniferas primum naves in *Polyxenidam* immisit, late coruscantes flammis. Et regiæ naves, metu adversi ignis non ausæ concurrere, dum circumvehuntur illas & declinant, fluctibus complebantur, simulque aliis obliquas se ipsæ ad ictus juxta proras inferendos præbebant. Accidit dein, ut, dum Rhodia navis rostro percutit Sidoniam, *ancora*, valido ictu *excussa ex Sidonia navi, defigeretur in Rhodiam*, & ambas naves inter se colligaret. Unde, immotis navibus, pugna exorta est inter vectores pedestri similis. Quo dum multæ aliæ naves in utriusque auxilium confluunt, & utrimque fortiter pugnatur; interim *Romani* mediam *Antiochi aciem*, ea occasione denudatam perrumpunt, hostesque, priusquam ipsi sentirent, *circumveniunt.* Quod ubi illi senserunt; fit fuga & persecutio: & ex regiis perie-

A. U. 564. ὧν τρισκαίδεκα αὐτοῖς ἀνδράσιν ἐλήφθησαν· Ῥωμαίων δ' ἀπώλοντο μόναι δύο. καὶ ὁ Πολυξενίδας, τὴν Ῥοδίαν ναῦν ἐπαγόμενος, ἐς τὴν Ἔφεσον κατήχθη.

XXVIII. Τοῦτο μὲν δὴ τῇ ναυμαχίᾳ τῇ περὶ τὴν Μυόννησον ἦν τέλος. οὔπω δ' αὐτῆς ὁ Ἀντίοχος αἰσθόμενος, Χερρόνησόν τε καὶ Λυσιμάχειαν ἐπιμελῶς ὠχύρου, μέγα (ὥσπερ ἦν) τὸ ἔργον ἡγούμενος ἐπὶ Ῥωμαίοις· ὅπου γε καὶ τὴν ἄλλην Θρᾴκην διελθεῖν στρατοπέδῳ δυσόδευτον αὐτοῖς ἂν ἐγένετο καὶ δύσβατον, εἰ μὴ Φίλιππος διέφερεν. ἀλλ' ὁ Ἀντίοχος, ὢν καὶ τὰ ἄλλα κουφόνους αἰεὶ, καὶ ταχὺς ἐς μεταβολὴν, ἐπεὶ τῆς ἥσσης ἐπύθετο τῆς περὶ Μυόννησον, πάμπαν ἐξεπλάγη. καὶ νομίσας, αὐτῷ τὸ δαιμόνιον ἐπιβουλεύειν· (παρὰ γὰρ λόγον ἕκαστα χωρεῖν· Ῥωμαίων μὲν ἐν τῇ θαλάσσῃ κρατούντων, ἐν ᾗ πολὺ προὔχειν αὐτὸς ἐνόμιζε· Ῥοδίων δ' Ἀννίβαν ἐς Παμφυλίαν κατακεκλεικότων· Φιλίππου δὲ Ῥωμαίους παραπέμποντος

*Lin. 75. Pro* ὧν τρισκαίδεκα, *forte legendum* καὶ τρισκαιδ. *L. 81.* ἐπὶ Ῥωμαίους *Edd. L. 85.* ἐπεὶ τῆς ἥσσης ᾔσθετο *Edd. L. 86.* καὶ, *ante* νομίσας, *deletum maluit Musgr. ut particip. connecteretur cum præcedd. cum quibus & conjungunt Edd. Ib.* αὐτῷ *edit. 2. 3. Ibid. sq.* τὶ δαιμόνιον *Edd. L. 87.* ἕκαστον *Edd. Aug. Prætuli lect. Pl. Leid. L. 89.* αὐτὸν ἐνόμιζε *edit. 1.* αὐτὸν *edit. 2. 3. Ib.* τὸν Ἀννίβαν *Edd. & curent verbis* Ῥοδίων δ'.

re naves undetriginta, ex quibus tredecim cum vectoribus captæ sunt. Romani duas tantum amiserunt; e quibus Rhodiam illam captam *Polyxenidas* Ephesum secum abduxit.

28. Hic *exitus* fuit *navalis pugnæ ad Myonnesum.* Cujus priusquam nuncium accepisset *Antiochus*, sedulus erat in permunienda Chersoneso & Lysimachia: ratus, id quod erat, eam rem magni momenti fore contra Romanos; quibus utique & per reliquam Thraciam cum exercitu transire fuisset perdifficile, ni Philippus eos transduxisset. Verum ubi illam apud Myonnesum acceptam cladem cognovit, vir & ceteroquin inconstantis ingenii & levibus de' causis mutabilis, supra modum est terrore perculsus. Et *cuncta præter opinionem* cadere videns: Romanos mari superiores esse, in quo se ipse multum putaverat præcellere; Annibalem a Rhodiis in Pamphylia clausum; Philippum hostes

τος ἀβάτους ὁδοὺς, ὃν μάλιστα μνησικακήσειν αὐτοῖς, ὧν ἔπαθεν, ὑπελάμβανεν·) ὑπὸ δὴ τῶνδε πάντων ἐκταρασσόμενός τε, καὶ θεοῦ βλάπτοντος ἤδη τοὺς λογισμοὺς, (ὅπερ ἅπασι, προσιόντων ἀτυχημάτων, ἐπιγίγνεται,) Χεῤῥόνησον ἐξέλιπεν ἀλογίστως, πρὶν καὶ ἐς ὄψιν ἐλθεῖν τοῖς πολεμίοις· οὔτε μετενεγκὼν, ὅσος ἦν ἐν αὐτῇ σῖτος σεσωρευμένος πολὺς, ἢ ὅπλα, ἢ χρήματα, ἢ μηχαναί· οὔτε ἐμπρήσας· ἀλλ' ὑγιεῖς ἀφορμὰς τοσάσδε τοῖς πολεμίοις καταλιπών. Λυσιμαχέας τε, αὐτῷ καθάπερ ἐκ πολιορκίας συμφεύγοντας μετ' οἰμωγῆς, ἅμα γυναιξὶ καὶ παιδίοις, ὑπερεώρα· μόνου τοῦ διάπλου τοῦ περὶ Ἄβυδον εἶρξαι τοὺς πολεμίους ἐπινοῶν, καὶ τὴν λοιπὴν ἔτι ἐλπίδα τοῦ πολέμου πᾶσαν ἐν τούτῳ τιθέμενος. οὐ μὴν οὔτε τὸν διάπλουν ἐφύλαξεν, ὑπὸ θεοβλαβείας· ἀλλ' ἐς τὸ μεσόγαιον ἠπείχθη ἐπανελθεῖν, φθάσων τοὺς πολεμίους· οὐδέ τινα φυλακὴν ἐν τῷ διάπλῳ κατέλιπεν.

A. U. 564.

*Lin.* 91. μνησικακ. αὐτοὺς *Edd.* *L.* 96 *sq.* σῖτος πεπορευμένος *Aug. in context. sed vera lectio in marg. ab ead. man.* *L.* 97. μηχανή· *Edd. Aug. quod ex* μηχανήματα *decurtatum videri potest.* μηχαναὶ *dedit Pl. Leid.* *L.* 6. ὑπήχθη *Aug. e prim. scriptura.* ὑπέχθη *Ven.* *L.* 7. *In verbis* οὐδέ τινα φυλακὴν *subito* desinit EXCERPTUM PLETHONIS.

hostes deducere per invia, quem maxime crediderat fore acceptarum ab eisdem injuriarum memorem: jam *Fortunam sibi insidiari* existimavit. Atque his rebus omnibus conturbatus *Antiochus*, deo jam mentem adimente, (ut fieri solet, imminentibus calamitatibus,) *Chersonesum deseruit* pessimo consilio, antequam hostis in conspectum venisset; ac ne adparatu quidem frumenti, armorum, machinarum, pecuniæ, inde translato, aut incenso, quem magna copia ibi cumulaverat; sed his omnibus integris in usum hostium relictis. Et Lysimachienses, qui, tamquam urbe obsessa, cum uxoribus & liberis, flentes prosequebantur fugientem, insuper habuit; in unicam curam intentus, quomodo Romanos Abydo arceret, & in eo spem belli reliquam collocans. Attamen ne hunc quidem trajectum (adeo Dii mentem perverterant) custodivit: sed, in mediterranea, ut hostem præveniret, properans, *ne præsidium quidem* ullum *ad* illum *Hellesponti trajectum reliquit.*

A. U. 564.

XXIX. Οἱ δὲ Σκιπίωνες, ἐπεὶ τῆς ἀναχωρήσεως αὐτοῦ ἐπύθοντο, Λυσιμάχειάν τε δρόμῳ κατέλαβον, καὶ τῶν ἐν Χεῤῥονήσῳ θησαυρῶν τε καὶ ὅπλων κρατήσαντες, τὸν Ἑλλήσποντον, ἔρημον ὄντα φυλακῆς, εὐθὺς ἐπέρων μετὰ σπουδῆς, ἔφθασάν τε Ἀντίοχον ἔτι ἀγνοοῦντα ἐν Σάρδεσι γενόμενοι. Ὁ δ' ἐκπλαγεὶς ἐβαρυθύμει, καὶ τὰ ἴδια αὐτοῦ ἁμαρτήματα ἐς τὸ δαιμόνιον ἀνατιθεὶς, Ἡρακλείδην τὸν Βυζάντιον ἔπεμπεν ἐς τοὺς Σκιπίωνας, ἐπὶ διαλύσει τοῦ πολέμου· Σμύρναν τε καὶ Ἀλεξάνδρειαν αὐτοῖς διδοὺς τὴν ἐπὶ Γρανίκῳ, καὶ Λάμψακον, δι' ἃς ἦρξεν αὐτοῖς ὁ πόλεμος, καὶ τὸ ἥμισυ τῆς δαπάνης τοῦδε τοῦ πολέμου. ἐνετέλλετο δὲ, εἰ δέοι, καὶ τῶν Ἰάδων πόλεων δοῦναι καὶ τῶν Αἰολίδων, ὅσαι τὰ Ῥωμαίων ἐν τῷδε τῷ ἀγῶνι εἵλοντο, καὶ εἴ τι ἄλλο αἰτοῖεν οἱ Σκιπίωνες. Ταῦτα μὲν εἶχεν ἐς τὸ φανερὸν λέγειν ὁ Ἡρακλείδης· ἰδίᾳ δὲ πρὸς Πούπλιον Σκιπίωνα ἔφερε παρ' Ἀντιόχου χρημάτων τε πολλῶν ὑποσχέσεις, καὶ τοῦ παιδὸς ἀφέσεις. ᾑρήκει

*Lin.* 10. Χεῤῥοννήσῳ *Aug. conſtanter, ut alibi, per duplex* ν. *L.* 13. *An* γενόμενον? *an aliud quid h. l. erratum.* *L.* 14. αὐτοῦ *edit.* 2. 3. *L.* 15. ἔπεμπεν ἐπὶ Σκιπ. *Edd.* *Ibid. ſq.* διαλύσεσι *Aug. Ven.*

29. Tum *Scipiones*, diſceſſu ejus cognito, curſim occuparunt *Lyſimachiam*: & potiti in Cherſoneſo theſauris armamentariiſque regiis, *Helleſpontum* incuſtoditum *trajecerunt* propere: jamque Aſiam tenuerant, quum *Antiochus* ignarus adhuc omnium *Sardibus* verſaretur. Tum vero perterritus rex, graviſſimeque commotus, & propria errata in Fortunam referens, *Heraclidem* Byzantium miſit *ad Scipiones*, qui de pacis compoſitione ageret. Offerebat autem is *Antiochi nomine* Romanis Smyrnam, Alexandriam ad Granicum, Lampſacumque, quæ belli cauſa fuerant, & impenſæ in bellum factæ partem dimidiam. Mandatumque præterea habebat, ut Ionicas etiam ac Æolicas civitates, quotquot Romanorum partes in illo bello erant ſecutæ, &, ſi quid aliud Scipiones peterent, concederet. Hæc *Heraclidi* commiſſa ſunt, publice proferenda: privatim autem *P. Scipioni* juſſus eſt polliceri ingens auri pondus, & *filii reſtitutionem* ſine pretio: ceperat enim eum rex in

γὰρ αὐτὸν ἐν τῇ Ἑλλάδι ὁ Ἀντίοχος, ἐς Δημητριάδα ἐκ Χαλκίδος διαπλέοντα· καὶ ἦν ὁ παῖς Σκιπίων, ὁ Καρχηδόνα ὕστερον ἑλών τε καὶ κατασκάψας, καὶ δεύτερος ἐπὶ τῷδε τῷ Σκιπίωνι Ἀφρικανὸς ὀνομασθείς· Παύλου μὲν υἱὸς ὤν, τοῦ Περσέα τὸν Μακεδόνα ἑλόντος, Σκιπίωνος δὲ τῷ γένει θυγατριδοῦς, καὶ θέσει παῖς. Κοινῇ μὲν οὖν οἱ Σκιπίωνες τῷ Ἡρακλείδῃ τήνδε ἔδοσαν τὴν ἀπόκρισιν· Ἐὰν ὁ Ἀντίοχος εἰρήνης δέηται, μὴ τῶν Ἰάδων, μηδὲ τῶν Αἰολίδων αὐτὸν ἐκστῆναι πόλεων, ἀλλὰ πάσης τῆς ἐπὶ τάδε Ταύρου, καὶ τὴν δαπάνην τοῦ πολέμου πᾶσαν ἐσενεγκεῖν, δι' αὐτὸν γενομένου. Ἰδία δὲ ὁ Πούπλιος ἔφη τῷ Ἡρακλείδῃ· Ῥωμαίους, εἰ μὲν ἔτι Χεῤῥονήσου καὶ Λυσιμαχείας κρατῶν ὁ Ἀντίοχος ταῦτα προὔτεινεν, ἀσμένως ἂν λαβεῖν· τάχα δ' εἰ καὶ μόνον ἔτι τοῦ Ἑλλησπόντου τὸν διάπλουν ἐφύλασσε. νῦν δ' αὐτοὺς ἤδη περάσαντάς τε καὶ ἐν ἀσφαλεῖ γενομένους, καὶ τὸν χαλινὸν (φασὶν) ἐνθέντας, καὶ ἐπὶ τῷ χαλινῷ τὸν ἵππον ἀνα- *A. U.* 564.

*Lin. 26 ſqq. Conſentiunt cum Edd. MSSti noſtri in his, quæ parum accurate h. l. de* Scipionis filio *traduntur. L. 28.* τῷ *ante* Σκιπίωνι *carent Edd. L. 29.* ὢν *poſt* υἱὸς *carent Edd. Ibid.* Περσέως *edit.* 1. *L. 31.* τῷ *ante* Ἡρακλ. *carent Edd. L. 37 ſq.* ἀσμένους *Edd.* ἀσμένων *Regii. L. 38.* ἔτι τὸν Ἑλλησπόντου διάπλουν *Edd.*

Græcia, a Chalcide petentem Demetriadem. Is erat Scipio, qui poſtea, ex Carthagine capta atque diruta, *alter* poſt hunc *Africanus* cognominatus eſt; Pauli filius, ejus qui Perſeum Macedonem cepit, Scipionis nepos ex filia, & adoptione filius. *Scipiones* igitur in concilio reſponderunt Heraclidi: „*Si Antiochus pacem velit;* oportere eum non ſolis Ionicis Æolicisque civitatibus *decedere*, ſed *omni citra Taurum Aſia:* & impenſam ejus belli omnem præſtare, quod bellum ipſius culpa excitatum eſſet". Privatim autem PUBLIUS dixit *Heraclidi*: „Si rex, dum Lyſimachiam & Cherſoneſum tenebat, has conditiones Romanis obtuliſſet; libenter accepturos fuiſſe: fortaſſe quoque, ſi ſaltem prohibiti fuiſſent Helleſpontum trajicere. Nunc vero, poſtquam transmiſiſſent, & non ſolum frenum, quod ajunt, injeciſſent, ſed & equum inſcendiſſent, tam le-

A. U. 564. βάντας, οὐκ ἀνέξεσθαι διαλύσεων ἐπ' ὀλίγοις. αὐτὸς δὲ χάριν εἰδέναι τῷ βασιλεῖ τῆς προαιρέσεως, καὶ μᾶλλον εἴσεσθαι, λαβὼν τὸν υἱόν· ἀμείβεσθαι δ' αὐτὸν ἤδη, καὶ συμβουλεύειν, δέχεσθαι τὰ προτεινόμενα, πρὶν ἐς πεῖραν ἐλθεῖν μειζόνων ἐπιταγμάτων.

XXX. Ὁ μὲν δὴ Πούπλιος, ταῦτα εἰπὼν, ἐς Ἐλαίαν νοσηλευόμενος ὑπεχώρει, σύμβουλον τῷ ἀδελφῷ Γναῖον Δομίτιον καταλιπών. ὁ δ' Ἀντίοχος, οἷόν τι καὶ Φίλιππος ὁ Μακεδὼν, οἰηθεὶς τῶνδε τῶν ἐπιταγμάτων πλέον οὐδὲν αὐτοῦ τὸν πόλεμον ἀφαιρήσεσθαι, συνέτασσε τὴν στρατιὰν περὶ τὸ πεδίον τὸ Θυατείρων, οὐ μακρὰν ἀπὸ τῶν πολεμίων· καὶ Σκιπίωνι τὸν υἱὸν ἀπέπεμπεν ἐς Ἐλαίαν. ὁ δὲ τοῖς ἄγουσι συνεβούλευε, μὴ μάχεσθαι τὸν Ἀντίοχον, ἕως αὐτὸς ἐπανέλθοι. καὶ τῷδε πεισθεὶς ὁ Ἀντίοχος, μετεστρατοπέδευσεν ἀμφὶ τὸ ὄρος τὸ Σίπυλον· τεῖχός τε καρτερὸν τῷ στρατοπέδῳ περιετείχιζε, καὶ τὸν Φρύγιον ποταμὸν ἐν προβολῇ τοῖς πολεμίοις ἐτίθετο, ἵνα μηδ' ἄκων ἀναγκάζοιτο πολεμεῖν. Δομίτιος δὲ, φιλο-

*Lin.* 42. διαλυσ. ἐπὶ λόγοις *Edd.* *L.* 47. *Æliam Cand. unde* ἐς Αἰλίαν *pro varia lect. adtulit Car. Steph.* *L.* 51. αὐτοῦ *carent Edd.* *L.* 57. κρατερὸν *Edd.*

„ves conditiones audire non posse. Pro benigna voluntate habere se regi gratiam; majoremque habiturum, ubi filium receperit. In præsentia beneficium ejus remunerari, fidele consilium dando, ut conditiones latas accipiat, priusquam duriora experiatur."

30. Post hæc *Elæam æger delatus* est *P. Scipio*; relictusque apud fratrem legatus *Cn. Domitius. Antiochus* vero, sicut antea Philippus Macedo, ratus, etiam victo sibi nihil amplius, quam quod Scipiones juberent, auferri posse, circa Thyatirenos campos contraxit copias, non longe ab hostibus, & *Scipioni filium remisit* Elæam. Ille adducentibus filium suasit, ne rex ante in aciem descenderet, quam ipse in castra rediisset. Et *Antiochus*, auctoritate viri motus, transtulit sua *castra ad Sipylum* montem, validoque muro ea communiit; *Phrygio* quoque *amne* objecto hostibus, ne invitus pugnare cogeretur. *Domitius* autem, qui, laudis avidus, per se decerne-

τιμούμενος τὸν πόλεμον ἐφ᾽ ἑαυτοῦ κριθῆναι, τὸν ποταμὸν ἐπέρα μάλα θρασέως, καὶ σταδίους εἴκοσιν ἀπ᾽ Ἀντιόχου διασχὼν ἐστρατοπέδευσε. τέτταρσί τε ἡμέραις ἐφεξῆς ἐξέτασσον ἑκάτεροι παρὰ τὸν χάρακα τὸν ἑαυτῶν, καὶ μάχης οὐ κατῆρχον. τῇ πέμπτῃ δὲ ὁ Δομίτιος ἐξέτασσεν αὖθις, καὶ ἐπέβαινε σοβαρῶς. οὐκ ἀντεπιόντος δὲ τοῦ Ἀντιόχου, τότε μὲν ἐγγυτέρω μετεστρατοπέδευε. μίαν δὲ ἄλλην διαλιπὼν, ἐκήρυσσεν ἐς ἐπήκοον τῶν πολεμίων, ἐς αὔριον Ἀντιόχῳ καὶ ἄκοντι πολεμήσειν. Ὁ δὲ, συνταραχθεὶς, αὖθις μεθίει τὰ δόξαντα· καὶ, δυνηθεὶς ἂν ἑστάναι μόνον ὑπὸ τὸ τεῖχος, ἢ καλῶς αὐτὸν ἀπὸ τοῦ τείχους ἀπομάχεσθαι, μέχρι ῥαΐσειεν ὁ Πούπλιος, αἰσχρὸν ἡγεῖτο, μετὰ πλειόνων φυγομαχεῖν· ὅθεν εἰς μάχην παρέτασσε.

A. U. 564.

XXXI. Καὶ ἐξῆγον ἔτι νυκτὸς ἄμφω περὶ ἐσχάτην φυλακήν. διεκόσμει δ᾽ αὐτῶν ἑκάτερος ὧδε· Τὸ μὲν λαιὸν εἶχον ὁπλῖται Ῥωμαίων μύριοι, παρὰ τὸν ποταμὸν αὐτόν·

*Lin.* 60. ἐφ᾽ ἑαυτῷ *Edd.* *L.* 63. ἐξέτασαν *edit.* 1. ἐξέταξαν *edit.* 2. 3. ἐξέτασσον *Regii.* *L.* 64. ἐξέτασεν *edit.* 1. *L.* 66. μετεστρατοπέδευσε *Edd.* *L.* 68. ἐσαύριον *Edd.* *L.* 69. *post* αὖθις, *non ante*, *distinguunt Edd.*

re cupiebat, audenter admodum amnem transgressus, duo millia & quingentos passus ab hoste castra metatus est. Per continuum quatriduum abhinc instructæ utrimque acies pro vallo stetere, neutris pugnam incipientibus. Quinto die *Domitius*, instructa rursus acie, superbe adversus hostem processit. Quumque *Antiochus* non moveret obviam, ipse admovit ad eum castra propius: intermissoque uno die, per præconem proclamari jussit, audientibus hostibus, cras se pugnaturum vel invito Antiocho. Et ille conturbatus, mutato rursus consilio, quum posset pro vallo tantum subsistere, aut e muro propulsare hostem, donec convaluisset Publius; turpe putans, si certamen detrectaret superior numero, parabat se prælio.

31. Utrique castris progressi sunt ante diluculum, circa ultimam vigiliam. *Acies* utrimque hoc maxime modo *instructæ* sunt. *Romanorum* lævum cornu, juxta ipsum fluvium, tenebant legiones Romanæ,

A. U. 564. καὶ μετ' ἐκείνους ἦσαν Ἰταλῶν ἕτεροι μύριοι· τρεῖς ἑκατέρων τάξεις ἐπὶ βάθος. ἐπὶ δὲ τοῖς Ἰταλοῖς ὁ Εὐμενοῦς στρατὸς ἐτάσσετο, καὶ Ἀχαιῶν πελτασταὶ περὶ τρισχιλίους. ὧδε μὲν εἶχε τὸ λαιόν. τὸ δεξιὸν δ' ἦν ἱππεῖς, οἵ τε Ῥωμαίων καὶ Ἰταλῶν καὶ Εὐμενοῦς, οὐ πλείους οὐδ' οὗτοι τρισχιλίων. ἀναμεμίχατο δ' ἅπασι ψιλοί τε καὶ τοξόται πολλοί. καὶ ἀμφὶ τὸν Δομίτιον αὐτὸν ἦσαν ἱππέων ἶλαι τέσσαρες. οὕτω μὲν ἐγίγνοντο πάντες ἐς τρισμυρίους. ἐπεστάτει δὲ τοῦ μὲν δεξιοῦ Δομίτιος αὐτὸς, καὶ ἐς τὸ μέσον αὐτῶν ἵστη τὸν ὕπατον· τὸ δὲ λαιὸν ἔδωκεν Εὐμενεῖ. τῶν δ' ἐλεφάντων, οὓς εἶχεν ἐκ Λιβύης, οὐδένα νομίζων ἔσεσθαι χρήσιμον, ὀλιγωτέρων τε ὄντων, καὶ βραχυτέρων, οἷα Λιβύων· (δεδίασι δ' οἱ σμικρότεροι τοὺς μείζονας·) ἔστησεν ὀπίσω πάντας. ὧδε μὲν δὴ διατετάχατο Ῥωμαῖοι.

XXXII. Ἀντιόχῳ δ' ἦν μὲν ὁ στρατὸς ἅπας ἑπτακισ-

*Lin.* 78. in tres diviſi turmas *Cand. Adjeci vocem* τάξεις, *qua carent Edd. & MSS. noſtri. Vellem, æque facili certaque medicina ſuccurrere aliis partibus poſſem, ex quibus laborare videtur iſta aciei Romanæ deſcriptio. L.* 84. οὕτως μὲν *Edd. L.* 86. μετ' αὐτὸν ἵστη *Reg. B. Aug. Ibid. Iniquo loco poſitum eſſe nomen* τὸ λαιὸν, *adparere videtur ex ſeqq. Forte pro* λαιὸν *leg.* δεξιὸν: *& paulo ante pro* δεξιοῦ *leg.* μέσου: *pro* μέσον *autem* λαιόν. *L.* 90. ἅπαντας *Edd. Ibid.* ὧδε μὲν διατετάχατο οἱ Ῥωμ. *Edd. ex Reg. A. L.* 91. μὲν *ante* ὁ στρατ. *carent Edd.*

decem millia peditum: his juncta erant alia decem millia ſociorum nominiſque Latini. Utrique pariter in triplicem aciem, quarum altera poſt alteram locata erat, diſtincti. Ultra Latinos ſtabat *Eumenis* exercitus, & Achæorum cetratorum tria millia. In dextro vero cornu erant equites Romani, & Latini, Eumeniſque, non plures cuncti tribus millibus: omnibus autem frequentes intermixti erant leviter armati & ſagittarii. *Domitium* ſtipabant equitum turmæ quatuor. Sic in univerſum fuerunt *in Romana acie* ad triginta hominum millia. Præerat autem dextro cornu ipſe *Domitius*, & in medio collocavit *Conſulem*. Lævum *Eumeni* dedit. Sed elephantorum, quos habebat ex Africa, nullum fore uſum ratus, quod & pauciores eſſent, & minores, utpote Africi, qui metuere majores ſolent; poſt reliquum omne agmen illos locavit.

32. In *Antiochi* exercitu

μύριοι, καὶ τούτων τὸ κράτιστον ἦν ἡ Φάλαγξ ἡ Μακεδόνων, ἄνδρες ἑξακισχίλιοι καὶ μύριοι, ἐς τὸν Ἀλεξάνδρου καὶ Φιλίππου τρόπον ἐπικοσμούμενοι. ἵστη δ᾽ αὐτοὺς ἐν μέσῳ, διελὼν, ἀνὰ χιλίους καὶ ἑξακοσίους, ἐς δέκα μέρη· καὶ τούτων ἑκάστου μέρους ἦσαν ἐπὶ μὲν τοῦ μετώπου πεντήκοντα ἄνδρες, ἐς δὲ τὸ βάθος δύο καὶ τριάκοντα, ἐς δὲ τὰ πλευρὰ ἑκάστου μέρους ἐλέφαντες δύο καὶ εἴκοσιν. ἡ δ᾽ ὄψις ἦν τῆς μὲν Φάλαγγος, οἷα τείχους· τῶν δ᾽ ἐλεφάντων, οἷον πύργων. τοιοῦτον μὲν ἦν τὸ πεζὸν Ἀντιόχῳ. ἱππεῖς δ᾽ ἑκατέρωθεν αὐτοῦ παρατετάχατο, Γαλάται τε κατάφρακτοι, καὶ τὸ λεγόμενον Ἄγημα τῶν Μακεδόνων. εἰσὶ δὲ καὶ οἵδε ἱππεῖς ἐπίλεκτοι, καὶ παρ᾽ αὐτὸ ἄγημα λέγεται. τάδε μὲν ἐξ ἴσου τῆς Φάλαγγος ἦν ἑκατέρωθεν. ἐπὶ δ᾽ αὐτοῖς τὰ κέρατα κατεῖχον. ἐν μὲν δεξιᾷ, ψιλοί τε τινὲς, καὶ ἕτεροι ἱππεῖς ἀργυράσπιδες, καὶ ἱπποτοξόται διακόσιοι. τὸ δὲ λαιὸν, Γα- A. U. 564.

*Lin.* 94. *pro* τρόπον *dant* πρότερον *Edd.* *Ibid.* ἔτι κοσμουμ. *maluerat Musgrav.* *L.* 96. ἑκάστου μέρος *edit.* 2. *operar. puto errore.* *L.* 98. ἐλέφαντες, *quo carent Editi, dedit Aug. Sed nec sic satis integer locus. Forte:* ἐς δὲ τ. πλ. ἑκαστ. μέρους, ἀνὰ δύο, διῃρέθησαν ἐλέφαντες δύο καὶ εἴκοσιν. *L.* 5. ἐξίσου *Regii, Aug.* *L.* 8. *ad* διακόσιοι *excidisse utique videtur numerus millenarius.*

LXX. millia numerabantur. Robur erat *phalanx Macedonica*, XVI. hominum millia, ex Alexandri Philippique instituto ornatorum. Hæc media acies fuit, in decem partes divisa; quarum singulæ mille sexcentos, & in fronte quidem quinquaginta, a fronte autem introrsus duos & triginta, armatos continebant. Ad latera cujusque partis duo *elephanti* stabant, ut in fronte totius phalangis elephanti essent XXII. Ita phalanx quasi muri speciem præ se ferebat, ex quo elephanti, tamquam turres, eminebant. Sic *peditatus Antiochi* instructus erat. Ejus autem utrumque latus equites tegebant; cum Gallogræci *loricati*, tum qui *Agema* vocantur *Macedonicum*, suntque lectissimi equites, ex quo & nomen *Agema* habent. Hi pari numero utrimque circumdabant phalangem. Præter hos, in cornibus erant, a dextro, leviter nonnulli armati, & alii equites, qui *Argyraspides* vocabantur, & sagittarii equites (mille &) ducenti. Ab lævo

A. U. 564. λατῶν τ᾽ ἔθνη, Τεκτοσάγαι τε καὶ Τρόκμοι καὶ Τολιστόβοιοι, καὶ Καππαδόκαι τινες, οὓς ἔπεμψεν Ἀριαράθης, καὶ μιγάδες ἄλλοι ξένοι. κατάφρακτός τε ἵππος ἐπὶ τοῖσδε ἑτέρα, καὶ ἣν ἐκάλουν ἵππον ἑταιρικὴν, ὡπλισμένη κούφως. Ὧδε μὲν καὶ ὁ Ἀντίοχος ἐξέτασσε. καὶ δοκεῖ τὴν ἐλπίδα λαβεῖν ἐν τοῖς ἱππεῦσιν, οὓς πολλοὺς ἔστησεν ἐπὶ τοῦ μετώπου· τὴν δὲ φάλαγγα πυκνὴν ἐς ὀλίγον συναγαγεῖν ἀπειροπολέμως, ᾗ δὴ καὶ μάλιστα ἔδει θαῤῥεῖν, πάνυ ἠσκημένῃ. πολὺ δὲ καὶ ἄλλο πλῆθος ἦν λιθοβόλων τε καὶ τοξοτῶν, καὶ ἀκοντιστῶν καὶ πελταστῶν, Φρυγῶν τε καὶ Λυκίων, καὶ Παμφύλων, καὶ Πισιδῶν, Κρητῶν τε καὶ Τραλλιανῶν, καὶ Κιλίκων ἐς τὸν Κρητῶν τρόπον ἐσκευασμένων. ἱπποτοξόται τε ἐπὶ τούτοις ἕτεροι, Δάαι, καὶ Μυσοὶ, καὶ Ἐλυμαῖοι, καὶ Ἄραβες, οἳ καμήλους ὀξυτάτας ἐπικαθήμενοι, τοξεύουσί τε εὐμαρῶς ἀφ᾽ ὑψηλοῦ, καὶ μαχαίραις, ὅτε πλησιάζοιεν,

*Lin.* 9 *sq.* Τολιστόβιοι *Edd. Aug. Prætuli lect. quam alibi præstat Reg. A. L.* 12. ἵππον *ante* ἑταιρ. *carent Edd. L.* 19. *pro* Λυκίων *dant* Λιβύων *Edd. L.* 20. Τράλλων *legendum putavit Sigonius; nec fortasse immerito. L.* 21 *sq.* ἐπὶ τοῖσδε ἕτεροι *Aug. Ven. L.* 22. Δάκαι *Edd.* Δάκες *Aug. Ven. quod in* Δάαι *mutavi. Ibid.* Ἄῤῥαβες *edit.* 1. *Aug.*

cornu erant Gallogræcæ nationes, Tectosagi, Trocmi, Tolistoboji, & ab Ariarathe missi Cappadoces, aliaque conductitiorum militum multitudo promiscua. Tum loricatus alius equitatus, & quæ *amicorum ala* ab illis vocabatur, levius armata. Atque ita *Antiochus* suos instruxit; *fretus*, ut videtur, maxime *equestribus copiis*; quas in fronte plurimas posuit: phalangem autem imperite in arctum coëgit, qua maxime, ut præ cæteris exercitata, fidere debuerat. Aderat autem præterea & alia magna multitudo, funditorum, sagittariorum, jaculatorum cetratorumque, Phrygum, Lyciorum, Pamphyliorum, Pisidarum, Cretensium, Trallianorum, Cilicumque more Cretensium armatorum: tum alii equites sagittarii, Dahæ, Mysi, Elymæi, *Arabes*que, qui *camelis velocissimis insidentes*, facile hostem e sublimi sagittis impetunt, & quoties cominus pugnandum est,

ἐπιμήκεσι καὶ στεναῖς χρῶνται. δρεπανηφόρα τε ἅρματα A. U.
ἐν τῷ μεταιχμίῳ, προπολεμεῖν τοῦ μετώπου, τετάχατο· 564.
καὶ εἴρητο αὐτοῖς, μετὰ τὴν πρώτην πεῖραν ὑποχωρεῖν.

XXXIII. Ὄψις τε ἦν ὥσπερ δύο στρατῶν, τοῦ μὲν, ἀρχομένου πολεμεῖν, τοῦ δ᾽ ἐφεδρεύοντος. ἑκάτερος δ᾽ αὐτῶν ἐς κατάπληξιν ἐσκεύαστο δεινῶς, πλήθει τε καὶ κόσμῳ. ἐφειστήκει δὲ τοῖς μὲν δεξιοῖς ἱππεῦσιν Ἀντίοχος αὐτὸς, τοῖς δ᾽ ἐπὶ θάτερα Σέλευκος ὁ υἱὸς Ἀντιόχου· τῇ δὲ φάλαγγι, Φίλιππος ὁ ἐλεφαντάρχης· καὶ τοῖς προμάχοις Μένδις τε καὶ Ζεῦξις. ἀχλυώδους δὲ καὶ ζοφερᾶς τῆς ἡμέρας γενομένης, ἥ τε ὄψις ἔσβεστο τῆς ἐπιδείξεως, καὶ τὰ τοξεύματα πάντα ἀμβλύτερα ἦν, ὡς ἐν ἀέρι ὑγρῷ καὶ σκοτεινῷ. ὅπερ ἐπεὶ κατεῖδεν Εὐμενὴς, τῶν μὲν ἄλλων κατεφρόνησε· τὴν δὲ ῥύμην τῶν ἁρμάτων, τεταγμένων ἐφ᾽ ἑαυτὸν μάλιστα, δείσας· ὅσοι ἦσαν αὐτῷ σφενδονῆται καὶ ἀκοντισταὶ καὶ ἕτεροι κοῦφοι, συναγα-

*Lin.* 26. τετάχαται *Edd.* *L.* 29. ἑκάτερον *Edd.* *L.* 33. *Artic.* ὁ *post* Φιλ. *ex Aug. adjeci.* *L.* 38 *sq.* τεταγμένην *Edd.* τεταμένων *Aug. Ven. Placeret* τεταμένην. *Secutus sum Cand.* *L.* 39. ἐφ᾽ ἑαυτῶν *Edd.*

gladiis utuntur prælongis ac tenuibus. In prima autem fronte, ante reliquam aciem, locatæ erant *falcatæ quadrigæ*, quæ pugnæ initium facerent: quibus mandatum erat, ut post primum certaminis periculum retrocederent.

33. Sic tota *acies Antiochi* veluti duorum exercituum speciem referebat; quorum alter initium prælii esset facturus, alter in subsidiis esset collocatus. Et erat uterque ad terrorem incutiendum mire compositus, quum adparatu reliquo, tum armatorum multitudine. Rex ipse in dextro cornu erat; *Seleucum* filium lævo præposuit. Phalangi Philippus præerat, magister elephantorum; antesignanis Mendis & Zeuxis. Nebulosus is dies & caliginosus fuit: quo fiebat, ut & conspectus adimeretur ostentationis, & humore aëris emollirentur arcus amentaque jaculorum. Quod ubi *Eumenes* vidit; contemtis reliquis, quadrigarum modo impetum, quæ adversus ipsum potissimum directæ erant, timens; funditores & jaculatores, quotquot habebat, ceterosque le-

A. U. 564. γῶν, προσέταξε, τὰ ἅρματα περιθέοντας, ἐς τοὺς ἵππους ἀκοντίζειν ἀντὶ τῶν ἐπιβατῶν. ἵππου γὰρ ἐν ἅρματι ζυγομαχοῦντος, ἀχρεῖον τὸ λοιπὸν ἅρμα γίγνεται, καὶ πολλὰ καὶ τῆς ἄλλης εὐταξίας παραλύεται, τὰ δρέπανα τῶν Φιλίων δεδιότων. ὃ καὶ τότε συνηνέχθη γενέσθαι. πληγέντων γὰρ τῶν ἵππων ἀθρόως, καὶ τὰ ἅρματα ἐς τοὺς Φίλους περιφερόντων, αἵ τε κάμηλοι πρῶται τῆς ἀταξίας ᾐσθάνοντο, πλησίον τοῖς ἅρμασι παρατεταγμέναι· καὶ μετ' αὐτὰς ἡ κατάφρακτος ἵππος, οὐ ῥᾳδίως ὑπὸ τοῦ βάρους τὰ δρέπανα ἐκφεύγειν δυναμένη. θόρυβός τε ἦν ἤδη πολὺς, καὶ τάραχος ποικίλος· ἀρξάμενος μὲν ἀπὸ τῶνδε μάλιστα, χωρῶν δὲ ἐπὶ ὅλον τὸ μεταίχμιον· καὶ μείζων ὑπόνοια τοῦ ἀκριβοῦς. ὡς γὰρ ἐν διαστήματι μακρῷ, καὶ πλήθει πυκνῷ, καὶ βοῇ ποικίλῃ, καὶ φόβῳ πολλῷ, τὸ μὲν ἀκριβὲς οὐδὲ τοῖς ἀγχοῦ τῶν πασχόντων καταληπτὸν ἦν, τὴν δὲ ὑπόνοιαν μειζόνως ἐς τοὺς ἑξῆς ἕκαστοι μετέφερον.

*Lin.* 47. *pro* ἐς τοὺς φίλους, *dant* ἐς τοὺς ἵππους *Edd.* *L.* 49. καὶ μετὰ ταύτας *Aug.* *L.* 57. ἕκαστον. *Edd.*

viter armatos, juſſit circa quadrigas diſcurrere, & in ſolos equos, non in vectores, undique ingerere miſſilia. Equis enim in curru conſternatis & frena mordentibus, currus inutilis redditur; & non tam hoſtium, quam ſuorum, turbat ordines, metu falcium. Quod etiam tunc accidit. Vulneratis enim crebris ictibus *equis*, & *currus in ſuos vertentibus*, primi cameli turbati ſunt, qui proxime poſt currus conſtiterant; deinde loricati equites, qui præ armorum pondere non facile declinare falces poterant. Unde magnus tumultus exſtitit, variaque *perturbatio*, *a quadrigis* primum *orta*, moxque per omnem antesignanorum turbam, quæ medium inter duas acies campum occupaverant, continuata, & major quam pro re trepidatio. Nam quum tam late pateret acies, in tanta hominum multitudine, tam diſſonis clamoribus, ſemel occupatis terrore animis, ne hi quidem, qui periculo proximi erant, exploratum ſatis, quidnam rei eſſet, habebant; & quique ad remotiores majorem mali opinionem propagabant.

A. U. 564.

XXXIV. Ὁ δ' Εὐμένης, ἐπεὶ τὰ πρῶτα καλῶς ἐπέπρακτο αὐτῷ, καὶ τὸ μεταίχμιον, ὅσον αἵ τε κάμηλοι καὶ τὰ ἅρματα ἐπεῖχεν, ἐγεγύμνωτο, τοὺς ἰδίους ἱππέας, καὶ ὅσοι Ῥωμαίων αὐτῷ καὶ Ἰταλῶν παρατετάχατο, ἐπῆγεν ἐπὶ τοὺς ἀντικρὺ Γαλάτας τε καὶ Καππαδόκας, καὶ τὴν ἄλλην σύνοδον τῶν ξένων, μέγα κεκραγώς, καὶ παρακαλῶν ἐπὶ ἄνδρας ἀπείρους τε μάχης καὶ γεγυμνωμένους τῶν προπολεμούντων. οἱ δ' ἐπείθοντο· καὶ βαρείας σφῶν τῆς ἐμβολῆς γενομένης, τρέπονται τούτους τε, καὶ τοὺς παρεζευγμένους αὐτοῖς ἱππέας τε καὶ καταφράκτους, ἐκ πολλοῦ ταρασσομένους διὰ τὰ ἅρματα· οὓς δὴ καὶ μάλιστα, διὰ τὸ βάρος ὑποφεύγειν ἢ ἀναστρέφειν εὐμαρῶς οὐ δυναμένους, κατελάμβανόν τε καὶ συνέκοπτον. καὶ τάδε μὲν ἦν περὶ τὸ λαιὸν τῆς φάλαγγος τῶν Μακεδόνων. Ἐν δεξιᾷ δὲ, ἧπερ αὐτὸς ὁ Ἀντίοχος ἐτέτακτο, διακόψας τὸ σύνταγμα τῆς Ῥωμαίων φάλαγγος, ἀπέσπασεν, ἐπὶ πολὺ διώκων.

XXXV. Καὶ ἡ φάλαγξ ἡ τῶν Μακεδόνων, τεταγμένη μὲν, ὡς μεθ' ἱππέων, ἐπὶ στενοῦ τε καὶ τετραγώνου,

*Lin.* 61. Ῥωμ. αὐτῶν καὶ Ἰτ. *Aug.* *Ib.* παρετετάχατο *Edd.* *L.* 63. μάλα κεκραγὼς *Aug.*

34. Tum *Eumenes*, ubi primus conatus ſucceſſit feliciter, campo nudato, quem cameli & currus occupaverant, ſuos pariter ac Romanos Italicoſque equites in oppoſitos Gallogræcos & Cappadocas, ceteramque mercenariorum turbam, magno clamore concitavit; hortatus, ut in homines inexercitatos & a propugnatoribus deſertos fortiter impetum facerent. Et paruerunt illi: tamque validam impreſſionem fecerunt, ut & hos, & contiguos equites, ipſoſque loricatos, in fugam verterent, jam ante turbatos conſternatione quadrigarum. Atque hi quidem ipſi maxime, tardante gravitate armorum, magna ex parte deprehenſi cæſique ſunt. Dum autem ſic *in lævo cornu profligantur hoſtes*; interea *in dextro Antiochus*, qui ibi præerat, *legiones Romanas perrupit*; *et partem* earum, a reliquis abſtractam, diu eſt *perſecutus*.

35. *Phalanx* autem *Macedonica*, quæ forma quadrata ſatis anguſte inter equites con-

A. U. 564. γεγυμνωμένη δὲ τῶν ἱππέων ἑκατέρωθεν, τοὺς μὲν ψιλοὺς τοὺς ἐπὶ τοῦ μετώπου σφῶν ἔτι προπολεμοῦντας, διαστᾶσα, ἐς αὐτὴν ἐσεδέξατο, καὶ πάλιν συνῄει. Δομιτίου δ' αὐτὴν ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς εὐμαρῶς, οἷα πλινθίον πυκνὸν, κυκλώσαντος, οὔτ' ἐκδραμεῖν ἔτι ἔχουσα, οὔτε ἐξελίξαι βάθος οὕτω πολὺ, μάλα καρτερῶς ἐκακοπάθει. καὶ ἠγανάκτουν, αὐτοὶ μὲν ταῖς ἐμπειρίαις οὐδὲν ἔχοντες ἔτι χρῆσθαι, τοῖς δὲ πολεμίοις εὔβλητοι καὶ ἐπιτυχεῖς πανταχόθεν ὄντες. ὅμως δὲ τὰς σαρίσσας ἐκ τετραγώνου προβαλλόμενοι πυκνὰς, προὐκαλοῦντο Ῥωμαίους ἐς χεῖρας ἐλθεῖν, καὶ δόξαν ἐπιβαινόντων αἰεὶ παρεῖχον. οὐ μήν τι προεπήδων, πεζοί τε καὶ βαρεῖς ὄντες ὑπὸ τῶν ὅπλων, καὶ τοὺς πολεμίους ἐπὶ ἵππων ὁρῶντες· μάλιστα δὲ, ἵνα μὴ τὸ τῆς τάξεως πυκνὸν ἐκλύσειαν. μετατάξασθαι γὰρ ἑτέρως οὐκ ἔφθανον. Ῥωμαῖοι δ' αὐτοῖς οὐ προσεπέλαζον μὲν, οὐδ' ἐς χεῖρας ᾔεσαν, δεδιότες ἀνδρῶν ἠσκημένων ἐμπειρίαν τε καὶ πυκνότητα, καὶ ἀπόγνωσιν. περιθέοντες δὲ ἐσηκόντιζόν τε καὶ ἐσετό-

*Lin. 79.* ἐς αὐτὴν *edit. 2. 3. & Aug. ex corr. Ibid.* ἐδέξατο *Edd. Ibid.* Δομετίου *edit. 1. & sic deinceps. L. 89.* ὑπὸ ὅπλων *Aug. Ven. L. 94 sq. verba* καὶ ἐσετόξευον *omisit edit. 3. operarum vitio.*

ſtiterat, diſcedentibus illis nudata utroque latere, levem armaturam a fronte adhuc propugnantem, modicis apertis interſtitiis, receperat in medium, ac rurſus coiverat. Sic *conſtipatos Domitius* facile *circumdedit equitibus ſuis ac velitibus.* Et illi, quum jam nec impreſſionem amplius facere, nec explicare tam denſos ordines valerent, valde laborabant; indignabanturque, quod nihil jam juvaret rei militaris peritia, telis hoſtium expoſitos undique. Objecerunt tamen ab omnibus quatuor lateribus condenſas fariſſas, provocantes Romanos ad congrediendum cominus; & ſpeciem ſemper præferebant, quaſi mox ipſi in eos impetum eſſent facturi: neque tamen uſquam procurrere auſi ſunt; pedites quippe, & graviter armati, adverſus hoſtem ex equis pugnantem; ac veriti maxime, ne phalangem ſolverent, quam aliter jam inſtruere non amplius poterant. Romani vero non accedebant propius, neque manus audebant conſerere cum veterano & conglobato deſperatoque milite: ſed circum-

ξευον. καὶ οὐδὲν ἦν ἀχρεῖον, ὡς ἐν ὀλίγῳ πολλῶν συνεστώτων· οὐ γὰρ εἶχον οὔτε ἐκκλῖναι τὰ βαλλόμενα, οὔτε A. U. 564. φερομένοις διαστῆναι. ὅθεν ἤδη πολλὰ κάμνοντες, ἐνεδίδοσαν ὑπὸ τῆς ἀπορίας, καὶ βάδην ὑπεχώρουν σὺν ἀπειλῇ, πάνυ εὐσταθῶς, καὶ Ρωμαίοις ἐπιφόβως. οὔτε γὰρ τότε προσπελάζειν αὐτοῖς ἐτόλμων, ἀλλὰ περιθέοντες ἔβλαπτον. μέχρι, τῶν ἐλεφάντων ἐν τῇ Μακεδόνων φάλαγγι συνταραχθέντων τε καὶ οὐχ ὑπακουόντων ἔτι τοῖς ἐπιβάταις, ὁ κόσμος ὁ τῆς φυγῆς συνεχεῖτο.

XXXVI. Καὶ ταύτῃ μὲν ὁ Δομίτιος ἐκράτει, καὶ ἐπὶ τὸ στρατόπεδον τοῦ Αντιόχου φθάσας, ἐβιάζετο τοὺς ἐν αὐτῷ φυλάσσοντας. ὁ δὲ Αντίοχος, ἐς πολὺ διώκων παρ' οὓς ἐκ τῆς Ρωμαϊκῆς φάλαγγος ἐτέτακτο, οὐδενὸς οὐδ' ἐκείνοις ἱππέων, ἢ ψιλοῦ, παρόντος ἐς ἐπικουρίαν, (οὐ γὰρ παρετετάχει Δομίτιος, ἡγούμενος οὐ δεήσεσθαι διὰ τὸν ποταμὸν) μέχρι τοῦ Ρωμαίων χάρακος ἦλθεν. Επεὶ δὲ αὐτὸν ὅ τε χιλίαρχος ὁ τοῦ χάρακος φύλαξ, ἀκμῆσι τοῖς φύλαξιν ὑπαντιάσας, ἐπέσχε τῆς ὁρμῆς, καὶ οἱ

cursando sagittas immittebant & jacula; quorum nullum irritum cadebat in confertos, qui nec declinare jacula, nec laxando ordines eludere sagittarum ictus, poterant. Itaque multum perpessi *phalangitæ*, & inopes consilii, *pedem referebant* minaciter, servatis adcurate ordinibus; adeo ut ne tum quidem instare cominus auderent Romani, & circumcursando tantum infestarent. Ad extremum vero, tumultuantibus elephantis, qui phalangi intermixti erant, neque parentibus amplius rectorum imperio, inconditæ fugæ sese mandarunt.

36. *Domitius* igitur, hac parte *victor*, ad *castra* usque *Antiochi* pervenit; & ipsa castra quoque, valide quidem resistentibus custodibus, *vi expugnavit*. Atque interim *Antiochus* eam *partem legionum Romanarum*, quam ipse in acie oppositam habuerat, nimirum & ipsam equitatus levisque armaturæ præsidio destitutam, (neque enim ibi locaverat Domitius, flumine satis munitam eam partem ratus,) *ad vallum usque Romanorum* erat *persecutus*. Postquam vero tribunus castris præfectus, cum recenti militum manu occurrens, impetum ejus re-

A. U. 564. φεύγοντες τοῖς ἀναμιχθεῖσι θαῤῥοῦντες ἐπεστρέφοντο· ἐπανῄει σοβαρὸς ὁ Ἀντίοχος, ὡς ἐπὶ νίκῃ, οὐδενὸς τῶν ἐπὶ θάτερα πεπυσμένος. Ἄτταλος δ' αὐτὸν, ὁ Εὐμενοῦς ἀδελφὸς, ἱππεῦσι πολλοῖς ὑπαντιάζει. καὶ τούσδε μὲν εὐμαρῶς ὁ Ἀντίοχος διακόψας διέδραμε, καὶ παρατρεχόντων ἔτι καὶ μικρὰ λυπούντων οὐκ ἐφρόντιζεν. ὡς δὲ κατεῖδε τὴν ἧτταν, καὶ τὸ πεδίον ἅπαν νεκρῶν ἰδίων πλῆρες, ἀνδρῶν τε καὶ ἵππων καὶ ἐλεφάντων, τό τε στρατόπεδον εἰλημμένον ἤδη κατὰ κράτος· τότε δὴ καὶ ὁ Ἀντίοχος ἔφευγεν ἀμεταστρεπτὶ, καὶ μέχρι μέσων νυκτῶν ἐς Σάρδεις παρῆλθε. παρῆλθε δὲ καὶ ἀπὸ Σάρδεων ἐς Κελαινὰς, ἣν Ἀπάμειαν καλοῦσιν· οἷ τὸν υἱὸν ἐπυνθάνετο συμφεύγειν. τῆς δ' ἐπιούσης ἐς Συρίαν ἐκ Κελαινῶν ἀνεζεύγνυ, τοὺς στρατηγοὺς ἐν Κελαιναῖς καταλιπὼν, ὑποδέχεσθαί τε καὶ ἀθροίζειν τοὺς διαφυγόντας. περί τε καταλύσεως τοῦ πολέμου πρέσβεις ἔπεμπε πρὸς τὸν ὕπατον. Ὁ δὲ τὰ οἰκεῖα ἔθαπτε, καὶ ἐσκύλευε τοὺς πολε-

*Lin.* 15. σοβαρῶς *Edd. ex Reg. A.* *L.* 16. πεποισμένος *edit.* 1. πεπεισμ. *Reg. A.* πεπισμ. *Reg. B.* *L.* 18. κατακόψας *Edd.* *L.* 26. *verbis* ἐς Συρίαν *caret Aug.* *L.* 29. τοῦ *ante* πολέμου *carent Edd.*

pressit, & qui modo terga verterant, ex adcursu suorum concepta audacia, in pugnam revertebantur; *redibat rex*, superbus, velut parta victoria, ignarusque eorum quæ ab altera parte acciderant. Et occurrente ei tunc Attalo, fratre Eumenis, cum satis magna equitum manu; facile quidem per hos medios perrupit, ac tunc etiam insequentes & nonnihil carpentes contemsit. Sed *ubi stragem conspexit suorum*, cadaveribusque virorum, equorum, elephantorum, totum campum repletum, & castra vi expugnata; tum vero *in effusam fugam sese proripuit Antiochus*, & continuato cursu media nocte *Sardes* pervenit. Statimque & Sardibus relictis, *Celænas*, quam *Apameam* vocant, petiit; quo filium fugisse audiverat. Insequenti vero die *in Syriam* porro profectus est; relictis Apameæ ducibus, qui regios e fuga exciperent recolligerentque. Simulque *legatos de pace misit ad consulem*, occupatum adhuc in sepeliendis corporibus suorum, hostium vero spoliandis, & contrahendis captivis.

μίους, καὶ τὰ αἰχμάλωτα συνῆγεν. ἐφάνησαν δὲ νεκροὶ A. U.
Ῥωμαίων μὲν τῶν ἐξ ἄστεος ἱππεῖς εἴκοσι καὶ τέσσαρες, 564.
καὶ πεζοὶ τριακόσιοι μάλιστα, οὓς ὁ Ἀντίοχος ἔκτεινεν· Εὐμενοῦς δὲ ἱππεῖς πεντεκαίδεκα μόνοι. Ἀντιόχου δὲ, σὺν τοῖς αἰχμαλώτοις, εἰκάζοντο ἀπολέσθαι περὶ πεντακισμυρίους. οὐ γὰρ εὐμαρὲς ἦν ἀριθμῆσαι διὰ τὸ πλῆθος. καὶ τῶν ἐλεφάντων οἱ μὲν ἀνῄρηντο, πεντεκαίδεκα δ' αἰχμάλωτοι γεγένηντο.

XXXVII. Ὡς δ' ἐπὶ νίκῃ λαμπροτάτῃ, καὶ παραλόγως τισὶ δοκούσῃ γενέσθαι, (οὐ γὰρ εἰκὸς ἐνόμιζον, ὀλιγωτέρους πολὺ πλειόνων ἐν ἀλλοτρίᾳ γῇ παρὰ τοσόνδε κρατῆσαι, καὶ μάλιστα φάλαγγος Μακεδόνων, εὖ γεγυμνασμένης καὶ εὐανδρούσης τότε μάλιστα, καὶ δόξαν ἄμαχόν τε καὶ φοβερὰν ἐχούσης·) οἱ μὲν Ἀντιόχου φίλοι τὴν προπέτειαν αὐτοῦ τῆς ἐς Ῥωμαίους διαφορᾶς, καὶ τὴν ἐξ ἀρχῆς ἀπειρίαν τε καὶ ἀβουλίαν ἐπεμέμφοντο· Χεῤῥόνησόν τε καὶ Λυσιμάχειαν αὐτοῖς ὅπλοις καὶ τοσῇδε παρασκευῇ μεθέντος ἐκ χειρῶν, πρὶν καὶ ἐς πεῖραν ἐλθεῖν

*Lin.* 34. πεντεκ. ἱππ. μόνοι *Aug.* μον. ἱππ. πεντ. *Ven.* *L.* 40. δοκοῦσι *Edd. ex Reg. A.* & *post* γενέσθαι *majorem ponunt distinctionem.* *L.* 41. παρὰ τοσῶνδε *edit.* 1.

Reperti sunt autem inter cæsos, ex *Romanis*, equites viginti quatuor, & trecenti pedites, quos Antiochus oppresserat: ex *Eumenis* vero equitibus, non amplius quindecim. *Antiochum* amisisse creditum est, cum captivis, circiter quinquaginta millia: ægre enim iniri *numerus cæsorum* poterat præ multitudine. Elephantorum alii interfecti sunt; quindecim capti.

37. Post tam illustrem *Romanorum victoriam*, quæ multis vix credibilis visa est; (non enim putarant fieri posse, ut a tanto paucioribus, in alieno solo pugnantibus, tantam cladem acciperent regii, ac phalanx præsertim Macedonica, quæ eo maxime tempore bene exercitata fortisque erat, & velut invicta terrori fuerat omnibus;) *amici Antiochi temeritatem regis* in inferendo Romanis bello, tum *et imperitiam accusabant*, quod mox ab initio tam inconsulte Chersonesum Lysimachiamque, una cum armis tantoque adparatu, dimisisset e manibus, ne

A. U. 564. τοῖς πολεμίοις, καὶ τὴν τοῦ Ἑλλησπόντου φυλακὴν ἐκλιπόντος, Ῥωμαίων οὐκ ἂν εὐμαρῶς ἐλπισθέντων βιάσασθαι τὴν διάβασιν. κατεμέμφοντο δ᾽ αὐτοῦ καὶ τὴν τελευταίαν ἀφροσύνην, ἀχρεῖον ἐν στενῷ τὸ κράτιστον τοῦ στρατοῦ πεποιηκότος, καὶ τὴν ἐλπίδα θεμένου ἐν πλήθει συγκλύδων ἀνδρῶν ἀρτιπολέμων, μᾶλλον, ἢ ἐν ἀνδράσι διὰ μελέτην καὶ χρόνον ἐργάταις τε οὖσι πολέμου, καὶ ἐκ τοσῶνδε πολέμων τὸ φρόνημα ἐς εὐτολμίαν καὶ θάρσος ηὐξημένοις. Τοιαῦτα μὲν ἦν τὰ περὶ Ἀντιόχου λογοποιούμενα. Ῥωμαίοις δ᾽ ἐπῆρτο τὰ φρονήματα, καὶ οὐδὲν ἔτι σφίσιν ἡγοῦντο εἶναι δυσεργὲς, ὑπό τε ἀρετῆς καὶ θεῶν ἐπικουρίας. καὶ γὰρ δὴ καὶ ἐς δόξαν εὐτυχίας ἔφερεν, ὅτι οὕτω γε ὀλίγοι τε πολλῶν, καὶ ἐξ ἐφόδου, καὶ ἐν πρώτῃ μάχῃ, καὶ ἐν ἀλλοτρίᾳ γῇ, τοσῶνδε ἐθνῶν, καὶ παρασκευῆς βασιλικῆς, καὶ μισθοφόρων ἀρετῆς, καὶ δόξης Μακεδόνων, καὶ βασιλέως αὐτοῦ, μεγίστην τε ἀρχὴν

*Lin.* 54. *ἐν, ad ἀνδράσι, carent Edd. invitis MSS.* *L.* 56. *pro πολέμων, dant πολλῶν Edd. Cand.* *L.* 59. *δυσχερὲς Aug. Ven.* *L.* 61. *particula ὅτι, & lin.* 66. *p. ſq. verbo ἦσαν, carent Edd.* *Ibid.* adeo numero inferiores, *Cand. & omiſit importunum πολλῶν.*

adventu quidem hoſtium exſpectato; quodque Helleſponto abduxiſſet præſidia, quæ Romanos a tranſitu in Aſiam facile arcere potuerant. Denique poſtremam illam vituperabant imprudentiam, quod robur exercitus, coarctando, feciſſet inutile; & ſpem collocaſſet in miſcellanea multitudine novellorum militum potius, quam in viris longa exercitatione adſuetis militiæ labori, atque ex tot bellorum uſu ad ſummam cum animorum tum corporum fortitudinem obduratis. Dum hæc ſermonibus agitantur de Antiocho; *Romani tollebant ſpiritus*, nihilque jam amplius arduum ſibi putabant, freti cum virtute propria, tum deorum favore. Nam & ſingularis *felicitatis opinionem* eis adtulit, quod tam pauci, ex ipſo itinere hoſtem adgreſſi, primo certamine, in aliena terra, tanto majorem hoſtium numerum, totque gentes, & adparatus regios, & fortiſſimos mercenarios, & Macedonicæ phalangis gloriam, ipſumque regem,

ἥς τε ἀρχὴν κεκ]ημένου, καὶ ἐπίκλησιν Μεγάλου, κεκρατηκότες ἦσαν ἡμέρᾳ μιᾷ. πολύ τε σφίσιν ἦν τὸ ἔπος ἐν τοῖς λόγοις· Ἦν βασιλεὺς Ἀντίοχος ὁ Μέγας. A. U. 564.

XXXVIII. Τοιάδε μὲν δὴ καὶ Ῥωμαῖοι περὶ σφῶν ἐμεγαλαύχουν. Ὁ δὲ ὕπατος, ἐπεὶ αὐτῷ ῥαΐσας ὁ ἀδελφὸς Πούπλιος ἦλθεν ἀπὸ τῆς Ἐλαίας, ἐχρημάτιζε τοῖς Ἀντιόχου πρέσβεσιν. οἱ μὲν δὴ μαθεῖν ἠξίουν, ὅ τι ποιῶν ὁ βασιλεὺς Ἀντίοχος ἔσ]αι Ῥωμαίοις φίλος. ὁ δὲ Πούπλιος αὐτοῖς ὧδε ἀπεκρίνατο· Αἴτιος μὲν αὐτῷ, διὰ πλεονεξίαν, Ἀντίοχος καὶ τῶν νῦν καὶ τῶν πρότερον γεγονότων· ὃς ἀρχὴν μεγίσ]ην ἔχων τε, καὶ Ῥωμαίων αὐτὸν ἐώντων ἔχειν, Πτολεμαίου, συγ[ενοῦς ἰδίου, καὶ Ῥωμαίοις φίλου, Συρίαν τὴν Κοίλην ἀφείλετο· καὶ ἐς τὴν Εὐρώπην οὐδὲν αὐτῷ προσήκουσαν ἐμβαλὼν, Θρᾴκην κατεσ]ρέφετο, καὶ Χεῤῥόνησον ὤχυρου, καὶ Λυσιμάχειαν ἤγειρεν· ἔς τε τὴν Ἑλλάδα διελθὼν, ἐδουλοῦτο τοὺς Ἕλληνας, ὑπὸ Ῥωμαίων ἄρτι αὐτονόμους ἀφειμένους, μέχρι περὶ Θερμοπύλας

*Lin.* 67. *carent* Ἦν *ante* βασιλεὺς *Aug. & Cand. Quod fere & Musgravio placuit, qui ſuperius illud* ἦν, *ante* τὸ ἔπος, *delendum cenſuit. L.* 73. μὲν αὐτῷ *edit.* 2. 3. *Ibid. ſq.* πλεονεξίας *Edd.*

regem, latiſſime regnantem, & cognomine quoque *Magnum*, uno die debellaviſſent. Atque vulgo omnium ſermone ferebatur verbum hoc: *FUIT rex Antiochus MAGNUS.*

38. Dum ita Romani ſibi placent, Elæa ad Conſulem venit *Publius* frater, ex morbo reſtitutus: & mox *legati Antiochi admiſſi* ſunt; qui, quæſitum ſe veniſſe, dixerunt, *quibus legibus Antiocho in amicitiam S. P. Q. R. admitti liceret?* Quibus ſic reſpondit P. SCIPIO: „ *Antiocho* „ſua *cupiditas* & præſentis cladis & ſuperiorum *calamitatum cauſa eſt:* qui quum haberet, non invitis Romanis, ampliſſimum imperium, eo non contentus, Ptolemæum, cognatum ſuum, amicumque Populi Romani, Cœleſyriæ poſſeſſione dejecit; & Europam nil ad ſe pertinentem invaſit, & Thraciam ſubjugavit, Cherſoneſoque munita Lyſimachiam condidit. Tum in Græciam traductis copiis, Græcos, nuper a Populo Romano libertate donatos in ſervitutem vindicavit; donec ad Thermopylas prælio

A. U. 564. ἡττήθη μάχῃ. καὶ φυγὼν, οὐδ' ὡς ἔληξε τῆς πλεονεξίας, ἀλλὰ κἀν τῇ θαλάττῃ πολλάκις ἐλαττωθεὶς, σπονδῶν μὲν, ἄρτι τὸν Ἑλλήσποντον ἡμῶν πεπερακότων, ἐδεήθη· διὰ δὲ ὑπεροψίαν τὰ προτεινόμενα ὑπερεῖδε, καὶ στράτευμα αὖθις πολὺ καὶ παρασκευὴν ἄπειρον ἐφ' ἡμᾶς συναγαγὼν ἐπολέμει, βιαζόμενος ἐς πεῖραν ἐλθεῖν τοῖς ἀμείνοσι· μέχρι συνηνέχθη μεγάλῳ κακῷ. Ἡμᾶς δὲ, εἰκὸς μὲν ἦν, αὐτῷ μείζονα τὴν ζημίαν ἐπιθεῖναι, βιασαμένῳ πολλάκις Ῥωμαίοις ἐς χεῖρας ἐλθεῖν· ἀλλ' οὐχ ὑβρίζομεν ταῖς εὐπραξίαις, οὐδ' ἐπιβαροῦμεν τοῖς ἑτέρων ἀτυχήμασι. Δίδομεν δὲ, ὅσα καὶ πρότερον αὐτῷ προὐτείνομεν· μικρὰ ἄττα προσθέντες, ὅσα καὶ ἡμῖν ἔσται χρήσιμα, καὶ αὐτῷ λυσιτελῆ πρὸς τὸ μέλλον ἐς ἀσφάλειαν· Ἀπέχεσθαι μὲν αὐτὸν τῆς Εὐρώπης ὅλης, καὶ Ἀσίας τῶν ἐπὶ τάδε τοῦ Ταύρου· (καὶ τούτοις ὅροι τεθήσονται·) παραδοῦναι δ' ἐλέφαντας ὅσους ἔχει, καὶ ναῦς ὅσας ἂν ἐπιτάξωμεν· ἔς τε λοιπὸν ἐλέφαντας μὲν οὐκ

*Lin.* 83. καὶ τῇ θαλ. *Reg. A.* *L.* 90. Ῥωμαίους *malebat H. Steph. quod probare nequeo.* *L.* 91. ὑβρίζομεν ἐν ταῖς εὐπρ. *legendum censuit idem Steph.* *L.* 93. ἄττα *Aug.* *L.* 98. ἐς δὲ λοιπὸν *Edd.*

„victus fugatusque est. Ac ne tunc quidem modum imposuit cupiditati: sed, navalibus etiam præliis aliquot superatus, non prius pacem petiit, quam traductis in Asiam Romanis copiis. Et tunc quoque, conditionibus superbe rejectis, rursusque ingenti exercitu infinitoque adparatu adversus nos contracto, bellum continuavit; obstinatus ad decertandum cum præstantioribus, donec tandem in magnam istam incidit calamitatem. Sed nos, quamvis merito possemus graviorem ei mulctam indice„re, postquam toties nobiscum obstinato consilio in aciem progressus est; tamen felicitate insolenter abuti nolumus, nec alienas calamitates adgravabimus. Easdem, quas prius, conditiones *Antiocho* offerimus; paucis adjectis, quæ non minus ad ipsius, quam ad nostram, utilitatem futuramque securitatem pertinent. *Europa abstineat rex; Asiaque omni cis Taurum decedat, juxta definiendos terminos: elephantos, quotquot habet, tradat; navesque, quotquot imperabimus: et in posterum neque ele-*

A. U. 564.

ἔχειν, ναῦς δὲ ὅσας ἂν ὁρίσωμεν· δοῦναι δὲ καὶ εἴκοσι ὅμηρα, ἃ ἂν ὁ στρατηγὸς ἐπιγράψῃ, καὶ χρήματα ἐς τὴν τοῦδε τοῦ πολέμου δαπάνην, δι᾽ αὐτὸν γενομένου, τάλαντα Εὐβοεικὰ, αὐτίκα μὲν ἤδη, πεντακόσια· καὶ, ὅταν τάσδε τὰς σπονδὰς ἡ σύγκλητος ἐπιψηφίσῃ, δισχίλια καὶ πεντακόσια· δώδεκα δ᾽ ἔτεσιν ἄλλοις ἕτερα μύρια καὶ δισχίλια, τὸ μέρος ἑκάστου ἔτους ἀναφέροντα ἐς Ῥώμην· ἀποδοῦναι δ᾽ ἡμῖν αἰχμάλωτα καὶ αὐτόμολα πάντα, καὶ Εὐμενεῖ ὅσα λοιπὰ τῆς πρὸς Ἄτταλον τὸν Εὐμενοῦς πατέρα συνθήκης ἔχει. Ταῦτα Ἀντιόχῳ πράττοντι ἀδόλως δίδομεν εἰρήνην τε καὶ φιλίαν, ὅταν ἡ σύγκλητος ἐπιψηφίσῃ.

XXXIX. Τοσάδε προύτεινεν ὁ Σκιπίων, καὶ πάντα ἐδέχοντο οἱ πρέσβεις. τό τε μέρος αὐτίκα τῶν χρημάτων, καὶ τὰ εἴκοσιν ὅμηρα ἐκομίζετο· καὶ ἦν αὐτῶν Ἀντίοχος, ὁ νεώτερος υἱὸς Ἀντιόχου. ἐς δὲ τὴν Ῥώμην οἵ τε Σκιπίωνες καὶ ὁ Ἀντίοχος πρέσβεις ἔπεμπον. καὶ ἡ βουλὴ τοῖς ἐγνωσμένοις συνετίθεντο. καὶ ἐγράφοντο συνθῆκαι, τοὺς Σκι-

*Lin.* 99. εἴκοσιν *Aug. ut paulo post* (*lin.* 14.) *etiam Edd. dederunt.* *L.* 3. Εὐβοϊκὰ *Edd.* *L.* 17. *mallem* συνετίθετο. *Ibid.* ἔγραφον τὸ σύνθημα *Aug. Ven. male.*

„*phantos alios paraturum se polliceatur, neque naves ultra statutum numerum: obsides viginti arbitratu consulis tradat: et pro impensis in hoc bellum factis,* D. *talenta Euboica præsentis pecuniæ solvat; et* MMD. *alia, quum Senatus pacem comprobaverit; deinde* M. *talenta per annos* XII. *æquis in singulos portionibus: captivos quoque et transfugas omnes reddat; et Eumeni persolvat reliquum ex eo, quod patri ejus Attalo ex fædere debitum erat.*

„Hæc si *Antiochus* sine fraude fecerit; pacem ei damus & amicitiam, quum senatus comprobaverit."

39. Omnes has *conditiones*, a Scipione dictas, *acceperunt Antiochi legati.* Moxque pars imperata pecuniæ advecta est, & adducti viginti *obsides*, inter quos erat junior *filius regis Antiochus.* Et cum a Scipionibus, tum a rege Antiocho, legati Romam missi sunt. Et senatus acta comprobavit; *scriptum*que est FOEDUS ex sententia Scipionis,

A. U. 564. πίωνος λόγους βεβαιοῦσαί τε, καὶ περὶ τῶν ἀορίστων ἐπιλέγουσαι, καὶ βραχέα ἄττα προσεπιλαμβάνουσαι· Ὅρον μὲν Ἀντιόχῳ τῆς ἀρχῆς εἶναι δύο ἄκρας, Καλύκαδνόν τε καὶ Σαρπηδόνιον, καὶ τάσδε μὴ παραπλεῖν Ἀντίοχον ἐπὶ πολέμῳ· ναῦς δὲ καταφράκτους ἔχειν δυώδεκα μόνας, αἷς ἐς τοὺς ὑπηκόους πολέμου κατάρχειν· πολεμούμενον δέ, καὶ πλέοσι χρῆσθαι· μηδένα δ᾽ ἐκ τῆς Ρωμαίων ξενολογεῖν, μηδὲ φυγάδας ἐξ αὐτῆς ὑποδέχεσθαι· καὶ τὰ ὅμηρα διὰ τριετίας ἐναλλάσσειν, χωρίς
565. γε τοῦ παιδὸς Ἀντιόχου. Ταῦτα συγγραψάμενοί τε, καὶ ἐς τὸ Καπιτώλιον ἐς δέλτους χαλκᾶς ἀναθέντες, (οὗ καὶ τὰς ἄλλας συνθήκας ἀνατιθέασιν,) ἔπεμπον ἀντίγραφα Μαλλίῳ Βούλσωνι, τῷ διαδεδεγμένῳ τὴν Σκιπίωνος στρατηγίαν. ὁ δ᾽ ὤμνυ τοῖς Ἀντιόχου πρέσβεσι περὶ Ἀπάμειαν τῆς Φρυγίας, καὶ ὁ Ἀντίοχος ἐπὶ τοῦτο πεμφθέντι Θέρμῳ χιλιάρχῳ. Τοῦτο μὲν δὴ Ἀντιόχῳ τῷ Μεγάλῳ

*Lin.* 19. ἄττα *Aug. ut ſupra. Ibid.* προσεπιβάλλουσα *maluit Muſgr. L.* 20. ὅρῳ μὲν *edit.* 1. *& exemplaria quædam editionis* 2. *cum MS. Reg. B.* ὁρῶμεν *Reg. A. Cand.* ὅρων μὲν *alia exempl. edit.* 2. *& editio* 3. *Secutus ſum Aug. L.* 21. Σαρπιδόνιον *Edd. invitis Codd. Regiis, quos ſecutus ſum.* σαρπειδόνειον *Aug. L.* 22. δυόδεκα ἔχειν *Edd. L.* 30. *vulgatum* Μανίῳ *in* Μαλλίῳ *mutavi. Pronus ex* ΛΛ *in* Ν *tranſitus.*

paucis adjectis aut determinatis, quæ nondum definita fuerant: „ut *Antiocho terminus regni* duo promontoria eſſent *Calycadnus* & *Sarpedonium*, quæ quidem belli cauſa ei præternavigare non liceret: ut naves armatas duodecim tantum haberet ad continendos in fide ſubditos; ad repellendum vero bellum poſſet uti pluribus: ne in Romanorum ditione conduceret milites mercenarios; neve fugitivos inde reciperet: & ut tertio quoque anno mutaret obſides, excepto Antiocho filio." Hoc FOEDUS *in æs inciſum, dedicatum* eſt *in Capitolio*, ubi ſolent & alia dedicari fœdera. Exemplar ejus MANLIO VULSONI, *ſucceſſori Scipionis* in imperio, tranſmiſſum eſt. Is Antiochi legatis apud Apameam Phrygiæ jusjurandum in leges fœderis præſtitit; ſicut Antiochus Thermo tribuno, qui hac de cauſa ad illum miſſus eſt. Hic fuit FINIS BELLI *inter Antiochum Magnum et*

τοῦ πρὸς Ῥωμαίους πολέμου τέλος ἦν. καὶ ἐδόκει μέχρι τοῦδε προελθεῖν μόνου, διὰ χάριν τὴν ἐς τὸν παῖδα τοῦ Σκιπίωνος Ἀντιόχῳ γενομένην.

A. U. 567.

XL. Καί τινες τὸν Σκιπίωνα ἐπανελθόντα διέβαλλον ἐπὶ τῷδε· καὶ δήμαρχοι δύο δωροδοκίας αὐτὸν ἐγράψαντο καὶ προδοσίας. Ὁ δὲ ἀδοξῶν, καὶ ὑπερορῶν τοῦ ἐγκλήματος, ἐπεὶ συνῆλθε τὸ δικαστήριον ἧς ἡμέρας ποτὲ Καρχηδόνα παρεστήσατο, θυσίαν προύπεμψεν ἐς τὸ Καπιτώλιον, καὶ ἐς τὸ δικαστήριον αὐτὸς παρῆλθεν ἐπὶ λαμπροῦ σχήματος, ἀντὶ οἰκτροῦ καὶ ταπεινοῦ τῶν ὑπευθύνων· ὡς εὐθὺς ἐπὶ τῷδε πάντας ἐκπλῆξαί τε, καὶ ἐς εὔνοιαν, ὡς ἐπὶ χρηστῷ δὴ συνειδότι μεγαλοφρονούμενον, προσάγεσθαι. λέγειν δὲ ἀρξάμενος, τῆς μὲν κατηγορίας οὐδ᾽ ἐπεμνήσθη· τὸν δὲ βίον ἑαυτοῦ, καὶ ἐπιτηδεύματα καὶ ἔργα πάντα ἐπεξῄει, καὶ πολέμους ὅσους ἐπολέμησεν ὑπὲρ τῆς πατρίδος· καὶ ἕκαστον αὐτῶν ὡς ἐπολέμησεν, ὁσάκις τε ἐνίκησεν. ὡς ἐγγενέσθαι τοῖς ἀκροωμένοις

*Lin.* 35. τὸν παῖδα τὸν Σκιπ, *Aug.* *L.* 40. συνῆλθε (*vel* συνῆλθεν) ἐς τὸ δικαστ. *Edd. invitis MSS.* *L.* 44. ὃν εὐθὺς *Edd.* ἂν εὐθὺς *Reg. B.* *L.* 46. προσαγαγέσθαι *Aug. a pr. m. bene.*

*Romanum populum*: quod quidam putant non processisse ulterius, propter beneficium quod in Scipionis filium contulerat Antiochus.

40. Nec defuerunt, qui reverso SCIPIONI ea de causa negotium facesserent. Et ei *dies dicta* est a duobus tribunis plebis, quod largitionibus corruptus prodidisset utilitatem publicam. Quam ille accusationem indignam putans, contemnensque; quum judicium incidisset in ipsam diem, quæ victoriæ de Carthaginiensibus reportatæ erat anniversaria; præmissis in Capitolium ad solenne sacrificium victimis, *in judicium ivit festo habitu*, non reorum more sordidatus ad miserationem captandam: quo ipso statim perculit omnium animos, propensosque sibi fecit, præclare factorum conscientia erectum videntes. Orsus autem dicere, nulla omnino criminis facta mentione, anteactæ vitæ studia, resque gestas omnes, & bella quotquot pro patria gesserat, quaque ratione illa administrasset, & quot victorias reportasset, edisseruit. Quo fiebat, ut vo-

A. U. 567. τι καὶ ἡδονῆς, διὰ τὴν ἱστορίαν τῆς σεμνολογίας. ἐπεὶ δέ ποτε προῆλθεν ἐπὶ Καρχηδόνα, ἐξάρας ἐς Φαντασίαν τάδε μάλιστα, καὶ ὁρμῆς αὐτός τε ἐμπλησθεὶς, καὶ τὸ πλῆθος ἐμπλήσας, εἶπεν· ὅτι, Τῆσδε τῆς ἡμέρας ἐγὼ τάδε ἐνίκων, καὶ Καρχηδόνα ὑμῖν, ὦ πολῖται, περιεποίουν, τὴν τέως ὑμῖν ἐπιφοβωτάτην. ἄπειμι δὴ θύσων τῆς ἡμέρας ἐς τὸ Καπιτώλιον. καὶ ὑμῶν ὅσοι φιλοπόλιδες, τῆς θυσίας μοι, γιγνομένης ὑπὲρ ὑμῶν, συνάψασθε. Ταῦτα ἔφη, καὶ ἐς τὸ Καπιτώλιον ἔβη, μηδὲν τῆς δίκης φροντίσας. εἵπετο δ᾽ αὐτῷ τὸ πλῆθος καὶ οἱ πλέονες τῶν δικαστῶν, σὺν εὐφήμῳ βοῇ, καὶ θύοντι ὅμοια ἐπεφώνουν. οἱ κατήγοροι δὲ ἠποροῦντο, καὶ οὔτε αὐτῷ τὴν δίκην αὖθις, ὡς ἀτέλεστον, ἐτόλμησαν ἐπιγράψαι, οὔτε μέμψασθαι δημοκοπίας· δυνατώτερον αὐτοῦ τὸν βίον εἰδότες ὑπονοίας τε καὶ διαβολῆς.

*Lin.* 55. τάδε ἐνίκα *edit.* I. *Ibid.* Καρχ. ἡμῖν *edit.* I. *Reg. A. Aug.* *L.* 56. τέως ἡμῖν *Aug.* *L.* 59. *pro* ἔβη, *dant* ἔθυε *Aug. Reg. B.* *L.* 61. συνευφήμουν βοῇ *Edd. & post* πλῆθος *punctum minus ponunt.* συνεφήμου *Reg. A.* συνεφήμῳ *Reg. B. Verum dedit Aug.*

luptate quoque perfunderentur animi audientium, & cupide aures præberent cuncti viro cum tanta gravitate de se ipso verba facienti. Postquam autem ad Carthaginem devictam processit oratio; tunc maxime speciosa amplificatione usus, postquam & seipsum & multitudinem concitavit: *Hoc*, inquit, *die*, QUIRITES, *victoriam istam reportavi; Carthaginemque, quæ ad illum diem tam formidabilis vobis fuerat, vobis subjeci. Itaque in Capitolium pergo, sacra hodie facturus. Vos, quotquot amatis patriam, mihi pro vobis Deos salutanti adeste!* His dictis, nil curans judicium, in Capitolium adscendit: & multitudo omnis, & judicum plerique, inter lætas adclamationes, eum secuti sunt, & sacrificanti quoque fausta quævis adclamare non destiterunt. Quæ res perplexos consilii reddidit accusatores; quum neque revocare in judicium, tamquam non perfectum, neque ambitionis aut largitionis accusare, auderent virum, cujus vitam extra omnem suspicionis aut calumniæ aleam positam esse noverant.

A. U.

XLI. Ὁ μὲν δὴ Σκιπίων ὧδε ἐγκλήματος ἀναξίου τῶν βεβιωμένων οἱ κατεφρόνησε· σοφώτερον (ἐμοὶ δοκεῖν) Αριστείδου, περὶ κλοπῆς, καὶ Σωκράτους, περὶ ὧν ἐνεκαλεῖτο· οὐδὲν εἰπόντων ὑπὸ ἀδοξίας ὁμοίας, ἢ Σωκράτους εἰπόντος ἃ δοκεῖ Πλάτωνι. μεγαλοφρονέστερον δὲ ἄρα καὶ Επαμινώνδου, ὃς ἐβοιωτάρχει μὲν ἅμα Πελοπίδᾳ καὶ ἑτέρῳ. 385. ἐξέπεμψαν δὲ αὐτοὺς οἱ Θηβαῖοι, στρατὸν ἑκάστῳ δόντες, ἐπικουρεῖν Αρκάσι καὶ Μεσηνίοις, πολεμουμένοις ὑπὸ Λακώνων· οὔπω δ᾽ ὅσα ἐπενόουν ἐργασαμένους, ἐπὶ διαβολῇ μετεκάλουν. οἱ δὲ τοῖς διαδόχοις σφῶν τὴν ἀρχὴν ἐπὶ μῆνας ἓξ οὐ μεθῆκαν, ἕως τὰ Λακεδαιμονίων φρούρια καθεῖλον, καὶ ἐπέστησαν αὖθις ἕτερα τῶν Αρκάδων· Επαμινώνδου τοὺς συστρατήγους ἐς τοῦτο ἀναγκάζοντός τε, καὶ ὑποδεχομένου τὸ ἔργον αὐτοῖς ἀζήμιον ἔσεσθαι. ἐπεὶ δὲ αὐτοῖς ἐπανελθοῦσιν οἱ κατήγοροι, καθ᾽ ἕνα διώκοντες, ἐτιμῶντο θανάτου· (θανάτῳ γὰρ ὁ νόμος ἐζημίου

*Lin.* 74 *sq.* ἐπὶ διαβολῆς *Edd.* *L.* 78. συστρατηγοὺς *Edd. ex Reg. A.* *L.* 81. θανάτῳ, *bis, Aug. perperam.*

41. Sic *Scipio* contemsit accusationem, anteacta vita indignam: sapientius, ut mihi videtur, quam *Aristides*, quum furti, aut *Socrates*, quum eorum criminum reus ageretur, quæ ei objecta esse comperimus: quorum uterque, ob similem rationem, quod indignas sese accusationes judicarent, nihil sui defendendi caussa dixit; sive etiam ea dixerit Socrates, quæ eum dicentem Plato facit. Imo excelsiori quodam animo idem Scipio, quam *Epaminondas*; quuum apud Bœotos in summo magistratu, cum *Pelopida* & alio collega, fuisset constitutus. Hos Thebani, adtributis cuique copiis, in auxilium Arcadum & Messeniorum contra Lacedæmonios miserant; eosdemque priusquam ea, quæ instituerant, perfecissent, ob calumnias quasdam revocaverant. At illi *successoribus* per sex menses *non tradiderunt exercitum*; donec pulsis Lacedæmoniorum præsidiis substituerunt Arcadas: idque reliqui duo fecerunt ab *Epaminonda* coacti, qui receperat factum illud impune collegis fore. Ubi vero domum reversos sigillatim adgressi accusatores reos agebant capitis; (nam capitale erat illorum legibus, per vim reti-

A. U. 385. γε τὸν ἐκ βίας ἀρχὴν ἄρξαντα ἀλλοτρίαν·) οἱ μὲν ἕτεροι διέφυγον, οἴκτῳ τε χρώμενοι καὶ λόγοις πλείοσι, καὶ τὴν αἰτίαν ἐς τὸν Ἐπαμινώνδαν ἀναφέροντες, αὐτὸν οὕτω λέγειν ὑποθέμενον αὐτοῖς, καὶ λέγουσιν ἐπιμαρτυροῦντα. Ὁ δὲ, κρινόμενος τελευταῖος· Ὁμολογῶ, ἔφη, παρανόμως ἄρξαι τόνδε τὸν χρόνον, καὶ, οὓς ἀπελύσατε νῦν, ἐγὼ συναναγκάσαι. καὶ οὐ παραιτοῦμαι τὸν θάνατον, παρανομήσας. αἰτῶ δ' ὑμᾶς, ἀντὶ τῶν προβεβιωμένων μοι, κατὰ τὸν τάφον ἐπιγράψαι· Οὗτός ἐστιν ὁ περὶ Λεῦκτρα νικήσας· καὶ τὴν πατρίδα, τοὺς ἐχθροὺς οὐχ ὑπομένουσαν, οὐδ' εἴ τις ξένος ἔχοι Λακωνικὸν πῖλον, ἐπὶ τὴν Σπάρτην αὐτὴν προαγαγών. οὗτος ὑπὸ τῆς πατρίδος ἀνῄρηται, παρανομήσας ἐπὶ συμφέροντι τῆς πατρίδος. Ταῦτ' εἰπὼν κατέβη τε τοῦ βήματος, καὶ παρεδίδου τὸ σῶμα τοῖς ἐθέλουσιν ἀπαγαγεῖν. οἱ δικασταὶ δὲ τῷ τε ὀνείδει τοῦ λόγου, καὶ θαύματι τῆς ἀπολογίας, καὶ αἰδοῖ τοῦ ἀνδρὸς ἀπολογουμένου, τὰς ψήφους οὐχ ὑπο-

*Lin.* 82. γε *caret Aug.* *L.* 87. τοῦτον τὸν *Edd.* *L.* 93. ὑπὲρ τῆς πατρ. *Edd.*

nere imperium exercitus, quod alii jam demandatum esset;) reliqui evaserunt judicium, cum flebili oratione multisque verbis usi, tum culpam in collegam conferentes; quemadmodum ipse EPAMINONDAS monuerat, qui vere id ab illis dici professus est. Is igitur postremo in judicium vocatus: „Fateor, inquit, me ultra præfinitum legibus tempus retinuisse imperium, & collegas meos, quos absolvistis, coëgisse ut idem facerent: nec capitis pœnam lege definitam deprecor. Unum a vobis, pro præteritis meritis, postulo; ut „meo sepulcro inscribatur: *Hic situs est, qui vicit apud Leuctra, et cives suos, quibus adspectus ipse non modo hostium, sed vel hospitis pileo Laconico tecti, fuerat terribilis, sub ipsa Spartæ mœnia duxit. Hunc patria mulctavit capite, quod contra leges fecit, ubi utilitas reipubl. ita factum poposcit.*" His dictis, e suggestu descendit, corpus offerens, siquis ad pœnam ipsum rapere vellet. Sed judices, exprobratione tacti, & defensionis genus mirati, simulque ipsius rei personam reveriti, ne calculis quidem

στάντες λαβεῖν, ἐξέδραμον ἐκ τοῦ δικαστηρίου. Τάδε μὲν δή τις, ὡς ἐθέλοι, συγκρίνειν ἔχει.

A. U. 565.

XLII. Μάλλιος δὲ, ὁ τοῦ Σκιπίωνος διάδοχος, τὴν ἀφαιρεθεῖσαν Ἀντιόχου γῆν ἐπιὼν καθίστατο. καὶ Γαλατῶν τῶν Ἀντιόχῳ συμμαχησάντων Τολιστοβοΐους, ἀναφυγόντας ἐς τὸν Μύσιον Ὄλυμπον, ἐπιμόχθως τοῦ ὄρους ἐπιβὰς, ἐτρέψατο φεύγοντας· ἕως ἔκτεινε καὶ κατεκρήμνισεν ὅσους ἀριθμήσασθαι διὰ τὸ πλῆθος οὐκ ἐγένετο· αἰχμαλώτους δ' ἔλαβεν ἐς τετρακισμυρίους, ὧν τὰ μὲν ὅπλα κατέκαυσε, τὰ δὲ σώματα, (οὐ δυνάμενος τοσόνδε πλῆθος ἐν πολέμοις περιάγεσθαι) τοῖς ἐγγὺς βαρβάροις ἀπέδοτο. Ἐν δὲ Τεκτοσάγαις τε καὶ Τρόκμοις ἐκινδύνευσε μὲν ἐξ ἐνέδρας, καὶ ἔφυγεν. ἐπανελθὼν δὲ ἐς αὐλιζομένους τε καὶ βεβυσμένους ὑπὸ πλήθους, περιέστησε τοὺς ψιλοὺς αὐτοῖς, καὶ περιτρέχων ἐκέλευσεν ἐσακοντίζειν, μήτε προσπλεκομένους, μήτε πλησιάζοντας. οὐδενὸς δὲ βέλους ἀτυχοῦντος, διὰ τὴν πυκνότητα τῶν πολεμίων, ἔκτεινεν

*Lin.* 2. *Rursus* Μάλλιος *posui pro vulg.* Μάνιος, *& sic deinceps.* *L.* 4. τοὺς ληστοβοΐους *edit.* 1. *ex Cand.* Τολιστοβοΐους *edit.* 2. 3. *Reg. B.* *Aug. Secutus sum Reg. A.* *L.* 6. ἐτρέψαντο *Regii.* ἐτρέπετο *Aug.*

postulatis, e foro sese proripuerunt. Ceterum ista quisque, ut sibi visum fuerit, inter se componat.

42. MANLIUS, *Scipionis successor*, dum ademtas Antiocho terras obit & ordinat, *Tolistobojos*, unum ex populis Gallogræcis, qui Antiochi fuerant socii, *in Olympum Mysiæ* montem *refugos*, laboriose secutus *profligavit;* tantamque multitudinem partim cecidit, partim in prærupta egit, ut mortuorum iniri numerus non potuerit. Capta sunt ex eisdem XL. millia; quorum arma cremavit; corpora, quia tam multa in bellis circumducere non poterat, finitimis barbaris divendidit. *Tectosagos* vero & *Trocmos*, ex insidiis ipsum adortos, vix fuga evasit. Sed mox adversus eosdem regressus; ubi in stativis confertos præ multitudine deprehendit; circumdedit leviter armatis, quos circumequitans hortatus est, ut telis eminus obruerent hostes. Quumque, quo illi densiores stabant, eo magis telum nullum sine vulnere caderet; interfectis octo millibus, reli-

A. U. ἐς ὀκτακισχιλίους, καὶ ἐδίωξε τοὺς λοιποὺς ὑπὲρ Ἅλυν ποταμόν. Ἀριαράθου δὲ, τοῦ Καππαδοκῶν βασιλέως, καὶ τοῦδε συμμάχους πέμψαντος Ἀντιόχῳ, δεδιότος τε καὶ δεομένου, καὶ διακόσια τάλαντα πέμψαντος ἐπὶ τῇ
566. δεήσει, τὴν χώραν οὐκ ἐπέδραμεν. Ἀλλ᾽ ἐς τὸν Ἑλλήσποντον ἐπανῆλθε, σὺν γάζῃ τε πολλῇ καὶ χρήμασιν ἀπείροις, καὶ λείᾳ βαρυτάτῃ, καὶ στρατῷ καταγόμῳ.

XLIII. Τάδε μὲν καλῶς ἐπέπρακτο τῷ Μαλλίῳ. τὸ δ᾽ ἐντεῦθεν, ἀλόγως πάμπαν, ὥρᾳ θέρους πλεῦσαι μὲν ὑπερεῖδεν, οὔτε τὸ βάρος ὧν ἐπήγετο ποιησάμενος ἐνθύμιον, οὔτ᾽ ἐπειγόμενος διαπονεῖν ἢ γυμνάζειν ὁδοιπορίαις ἔτι τὸν στρατὸν, οὐκ ἐς πόλεμον ὁρμῶντα, ἀλλ᾽ ἐς οἰκείαν μετὰ λαφύρων ἐπανιόντα. διὰ δὲ Θρᾴκης ὥδευε, στενὴν καὶ μακρὰν καὶ δύσβατον ὁδὸν, πνίγους ὥρᾳ· οὔτ᾽ ἐς Μακεδονίαν Φιλίππῳ προεπιστείλας, ἀπαντᾷν, ἵνα παραπέμψειεν αὐτόν· οὔτε τὸν στρατὸν ἐς μέρη πολλὰ

*Lin.* 18. τῶν Καππαδ. *Edd. & carent* τοῦ. *L.* 23. *aut vocab.* λαφύρων *excidisse videtur ante* καταγόμῳ: *aut leg.* καὶ λείας βαρυτάτης στρατῷ καταγόμῳ. *L.* 24. *Verba* Τάδε μὲν -- τῷ Μαλλίῳ *absunt ab Edd. Dedit Aug. Mallem* Καὶ τάδε μὲν *&c.* *L.* 28. ἐς πολ. ὁρῶντα *Edd.*

quos ultra Halyn fluvium pepulit. *Ariarathes*, rex Cappadocum, qui & ipse auxiliis Antiochum juverat, belli metu veniam petens, & præter preces ducenta talenta mittens, impetravit, ut a finibus ejus abstineret *Manlius*. Qui jam cum multis divitiis, infinita pecunia, præda gravissima, exercitu spoliis onusto, ad Hellespontum retro se vertit.

43. Et adhuc quidem præclare rem gesserat *Manlius*. Sed exinde, *imprudenter* admodum, commodissimo tempore æstivo navibus redire domum contemsit; neque gravitatem impedimentorum reputans; neque ulla re cogente, ut exercitum, non jam ad bellum tendentem, sed domum cum spoliis repetentem, laboribus induraret, aut faciendis itineribus exerceret. Maluitque *per Thraciæ longam et angustam difficilemque viam* ducere, æstate fervida; nec Philippo præmonito, ut, occurrens e Macedonia, se deduceret; nec exercitu in partes diviso, ut expeditius in-

διελὼν, ἵνα κουφότερον βαδίζῃ, καὶ τὰ χρήσιμα εὐμαρέστερα ἔχῃ· οὔτε τὰ σκευοφόρα συντάξας ἐς λόχους ὀρθίους, ἵνα εὐφυλακτότερα ᾖ. ἀλλ᾽ ἀθρόως ἦγεν ἅπαντας ἐπὶ μῆκος πολὺ, καὶ τὰ σκευοφόρα εἶχεν ἐν μέσῳ, μήτε τῶν πρόσθεν αὐτοῖς δυναμένων ἐπικουρεῖν, μήτε τῶν ὄπισθεν, ὀξέως, διὰ μῆκος ὁμοῦ καὶ στενότητα τῆς ὁδοῦ. ὅθεν αὐτῷ πανταχόθεν ἐς τὰ πλάγια τῶν Θρᾳκῶν ἐπικειμένων, πολὺ μέρος ἀπώλεσε τῆς τε λείας καὶ τῶν δημοσίων χρημάτων, καὶ αὐτοῦ δὴ τοῦ στρατοῦ. μετὰ δὲ τῶν ὑπολοίπων ἐς Μακεδονίαν διεσώθη. ᾧ δὴ καὶ μάλιστα ἐγένετο καταφανὲς, ὅσον ὤνησε παραπέμπων τοὺς Σκιπίωνας ὁ Φίλιππος, καὶ ὅσον ἥμαρτεν Ἀντίοχος ἐκλιπὼν τὴν Χεῤῥόνησον. Ὁ δὲ Μάλλιος, ἔκ τε Μακεδονίας ἐς Θεσσαλίαν διελθὼν καὶ ἐκ Θεσσαλίας ἐς Ἤπειρον, ἐς Βρεντέσιον ἐπέρα, καὶ τὴν λοιπὴν στρατιὰν ἐς τὰ οἰκεῖα διαφεὶς, ἐπανῆλθεν ἐς Ῥώμην.

A. U. 566.

XLIV. Ῥόδιοι δὲ, καὶ Εὐμενὴς ὁ Περγάμου βασιλεὺς,

*Lin.* 33. βαδίζοι *Aug.* *L.* 34. ἔχοι *Aug. Ven.* *Ibid.* ἐς λόγους *Edd.* *L.* 35. ἐκφυλακτότερα *Aug. vit.* *L.* 36. ἐς μῆκος *Edd.* *Prætuli Aug.* *L.* 37. δυναμ. αὐτοῖς *Edd.* *L.* 41. δὴ *caret Aug.* *L.* 43. ἐγίνετο *Edd.* *L.* 45. τὴν *ante* Χεῤῥ. *caret Aug.* *L.* 46. ἐς *ante* Ἤπειρον *caret Aug.* *L.* 47. Βρεντήσιον *h. l. Edd.* *L.* 48. ἐπανῆκεν *Edd.*

te celari; amorem ſolum a modeſtis occultari." Sed quum ne tunc quidem quidquam fateretur *Antiochus*, licet blande & enixe roganti ſine arbitris; adſidebat medicus, obſervans corporis mutationes, quonam modo adficeretur ad ſingulos, qui intrarent cubiculum. Ac tunc quidem deprehendit, ad aliorum acceſſum æqualiter corpus deficere ac tabeſcere; quoties autem *Stratonice* viſendi gratia accederet, mentem quidem juvenis tum maxime turbari, pudore ac conſcientia, nec verbum ab eo proferri; corpus autem ſuapte ſponte vividius vigentiuſque fieri, ac rurſum ea diſcedente deficere. Quo intellecto, *Seleuco* dixit medicus, *filium ejus inſanabili morbo laborare.* Quumque rex, vehementi dolore commotus, exclamaſſet; ſubjecit ille: „*Amor eſt, quo diſperit*: & amor mulieris; ſed qua ut potiatur fieri nequit."

60. Demirante vero rege, ſi cui non poſſet perſuadere Seleucus rex Aſiæ, propoſito conjugio filii, additiſque etiam precibus, & auro, aliiſque muneribus, ac toto inſuper regno ampliſſimo, quod ad huncce

νοντα βασιλέα, δοθησομένη δὲ καὶ νῦν ἀντὶ τῆς σωτηρίας, εἰ ἤδη τις ἐθέλοι· καὶ μόνον ἀξιοῦντος μαθεῖν, τίς ἐστι τὸ γύναιον; ὁ Ερασίστρατος ἔφη· Τῆς ἐμῆς γυναικὸς ἐρᾷ. Καὶ ὁ Σέλευκος· Εἶτ' ὦ 'γαθὲ, ἔφη, φιλίας μὲν οὕτω καὶ χαρίτων ἔχων ἐφ' ἡμῖν, ἀρετῆς δὲ καὶ σοφίας ἐν ὀλίγοις, οὐ σώσεις μοι νέον ἄνδρα καὶ βασιλικὸν, φίλου καὶ βασιλέως υἱὸν, ἀτυχοῦντα καὶ σωφρονοῦντα, καὶ τὸ κακὸν ἐπικρύπτοντα, καὶ προτιμώμενον αὐτῷ θανάτου; ἀλλ' ὑπερόψει μὲν οὕτως Αντίοχον, ὑπερόψει δ' ἐπ' αὐτῷ καὶ Σέλευκον; Ὁ δ' ἀπομαχόμενος, εἶπε λόγον ὡς ἄφυκτον, ὅτι, Μηδ' ἂν σὺ, καίπερ ὢν πατὴρ, τῆς σῆς Αντίοχος εἰ ἤρα γυναικὸς, μεθῆκας ἂν αὐτῷ τὴν γυναῖκα. Ἔνθα δὴ πάντας ὤμνυ τοὺς βασιλείους θεοὺς ὁ Σέλευκος, ἦ μὲν ἑκὼν ἂν καὶ χαίρων μεθεῖναι, καὶ διήγημα γενέσθαι καλὸν εὐνοίας ἀγαθοῦ πατρὸς ἐς παῖδα σώφρονα, καὶ ἐγκρατῆ τοῦ κακοῦ, καὶ ἀνάξιον τῆς

*Lin. 55 sq.* τί ἐστι τὸ γυν. *Edd. invit. MSS.* *L. 57.* ὦ ἀγαθὲ *Edd. ex Reg. A.* *L. 61.* καὶ προτιμότερον αὐτῷ *Edd.* προτιμώτερον *Regii.* *L. 63 sq.* λόγῳ ὡς ἄφυκτον *Aug.* *L. 65.* εἰ *ante* ἤρα *plane caret edit.* 1. εἰ τῆς σῆς Αντ. ἤρα *edit.* 2. 3. *ex ingenio H. Steph.* *L. 67. post* μεθεῖναι *majorem distinct. ponunt edit.* 2. 3. *L. 68. post* γενέσθαι *repetitum maluit* ἂν *Masgr.*

ægrotantem regem sit deventurum, & quod vel nunc ei, si poscatur, pro redimenda filii salute, tradere paratus esset pater: cupienteque modo discere, quænam tandem sit illa fœmina? respondet *Erasistratus:* „ Meam amat uxorem." Tum *Seleucus*: „Ergo, o optime! quum sis amicus noster tot mutuis devinctus gratiis, & in primis honestus vir ac sapiens; non servabis mihi juvenem regium, amici ejusdemque regis filium, amantem infeliciter, & ad mortem usque celantem morbum ob modestiam? Despicies-ne hoc modo non *Antiochum* solum, sed *Seleucum* etiam?" Ad hæc *Erasistratus*, tergiversans, & velut argumentum invincibile adferens: Ne tu quidem, inquit, quamvis pater, tuam uxorem si amaret, ei concederes! Ibi vero per omnes regios deos dejuravit *Seleucus*, omnino volentem libentemque daturum ei se illam fuisse, & egregium exemplum editurum paternæ benevolentiæ in modestum & continentem in isto malo fili-

συμφορᾶς. Πολλά τε ὅμοια ἐπενεγκὼν, ἤρξατο ἄχθεσθαι, ὅτι μὴ αὐτὸς αὐτῷ γίγνοιτο ἰατρὸς ἀτυχοῦντι, ἀλλὰ καὶ ἐς ταῦτα δέοιτο Ἐρασιστράτου.

LXI. Ὁ δ᾽ ἐπεὶ κατεῖδε τὴν ὁρμὴν τοῦ βασιλέως, ἔργον ὑποφαίνουσαν, οὐχ᾽ ὑπόκρισιν· ἀνεκάλυπτε τὸ πάθος, καὶ, ὅπως αὐτὸ εὕροι κρυπτόμενον, διηγεῖτο. Σελεύκῳ δὲ ἡσθέντι, ἔργον μὲν ἐγένετο πεῖσαι τὸν υἱὸν, ἔργον δ᾽ ἐπ᾽ ἐκείνῳ τὴν γυναῖκα. ὡς δ᾽ ἔπεισε· τὴν στρατιὰν συναγαγὼν, αἰσθομένην ἴσως ἤδη τι τούτων, κατελογίζετο μὲν αὐτοῖς τὰ ἔργα τὰ ἑαυτοῦ, καὶ τὴν ἀρχὴν, ὅτι δὴ μάλιστα τῶν Ἀλεξάνδρου διαδόχων ἐπὶ μήκιστον προαγάγοι· διὸ καὶ γηρῶντι ἤδη δυσκράτητον εἶναι, διὰ τὸ μέγεθος. Ἐθέλω δὲ (ἔφη) διελεῖν τὸ μέγεθος, ἐς τὴν ὑμετέραν τοῦ μέλλοντος ἀμεριμνίαν, καὶ τὸ μέρος ἤδη δοῦναι τοῖς ἐμοῖς φιλτάτοις. δίκαιοι δ᾽ ἐστέ μοι πάντες ἐς πάντα συνεργεῖν, οἳ ἐς τοσοῦτον ἀρχῆς καὶ δυνάμεως ηὐξήθητε ὑπ᾽ ἐμοῦ μετ᾽ Ἀλέξανδρον. Φίλτατοι δ᾽ εἰσί μοι

*Lin.* 71. *αὐτὸς αὐτῷ Edd.* *L.* 73. *pro ὁρμὴν dant γνώμην Aug. Ven.* regis mentem *Cand.* *L.* 77. *verbis δ᾽ ἔπεισε caret Reg. A.* *L.* 81. *pro διὸ, dat διὰ, edit.* 3. *vit.*

um, tali calamitate indigniſſimum. Multis deinde in eamdem ſententiam adjectis, conqueri cœpit, quod non ipſe poſſet infelici medicus fieri, ſed in hac etiam re opus haberet *Eraſiſtrato!*

61. Et ille tandem, perſpecto regis adfectu; quem ſerium eſſe, non ſimulatum, patebat; aperuit rem, &, quo pacto celantem deprehendiſſet, expoſuit. *Seleuco* vero jam læto, minime facile fuit, perſuadere rem filio; neque magis facile, perſuadere idem uxori. Poſtquam autem perſuaſit; advocato in concionem exercitu, qui fortaſſe jam aliquid præſenſerat, enumeravit ſuas res geſtas, & imperii amplitudinem, quæ longe major ſibi eſſet, quam ulli ex ceteris Alexandri ſucceſſoribus; adeo, ut jam ſeneſcenti ſibi difficile ſit tanto imperio præeſſe. „Volo igitur (inquit) eam molem dividere, ſimulque conſulere veſtræ ſecuritati de futuro, & partem ejus jam nunc dare meis cariſſimis. Vos autem, æquum eſt, me in omnibus adjuvetis, qui meis poſt Alexandrum auſpiciis in tantam potentiam creviſtis. Sunt autem mihi cariſſimi & hoc im-

καὶ ἀρχῆς ἄξιοι, τῶν τε παίδων ὁ τέλειος ἤδη, καὶ ἡ γυνή. ἤδη δ' αὐτοῖς καὶ παῖδες, ὡς νέοις, γένοιντο ταχέως, καὶ πλέονες φύλακες ὑμῖν τῆς ἡγεμονίας εἶεν. Ἁρμόζω σφίσιν ἀλλήλους ἐφ' ὑμῶν· καὶ πέμπω, βασιλέας εἶναι τῶν ἐθνῶν ἤδη τῶν ἄνω. καὶ οὐ Περσῶν ὑμῖν ἔθη καὶ ἑτέρων ἐθνῶν μᾶλλον, ἢ τόνδε τὸν κοινὸν ἅπασιν ἐπιθήσω νόμον· Αἰεὶ δίκαιον εἶναι, τὸ πρὸς βασιλέως ὁριζόμενον. Ὁ μὲν δὴ οὕτως εἶπεν. ἡ στρατιὰ δὲ ὡς βασιλέα τε τῶν ἐπὶ Ἀλεξάνδρῳ μέγιστον, καὶ πατέρα ἄριστον, εὐφήμει. καὶ ὁ Σέλευκος, Στρατονίκῃ καὶ τῷ παιδί τὰ αὐτὰ προστάξας, ἐζεύγνυ τὸν γάμον, καὶ ἐπὶ τὴν βασιλείαν ἐξέπεμψεν· ἔργον ἀοίδιμον τόδε καὶ δυνατώτερον τῶν ἐν πολέμοις αὐτῷ γενομένων ἐργασάμενος.

LXII. Σατραπεῖαι δὲ ἦσαν ὑπ' αὐτῷ δύο καὶ ἑβδομήκοντα. Τοσαύτης ἐβασίλευσε γῆς· καὶ τὴν πλείονα τῷ παιδὶ παραδοὺς, ἦρχε τῶν ἀπὸ θαλάσσης ἐπὶ Εὐφράτην μόνων. καὶ πόλεμον τελευταῖον Λυσιμάχῳ περὶ Φρυ-

*Lin.* 93. βασ. ὑμῖν ὁριζομ. *Edd.* *L.* 94. ἡ δὲ στρατιὰ δὲ *edit.* 1. *ex Reg. A.* ἡ δὲ στρατιὰ *edit.* 2. 3. *L.* 95. τε *post* βασιλ. *carent Edd.* *L.* 96. τῷ παιδίῳ *Edd. invit. MSS.* *L.* 98. ἐξέπεμπεν *Edd.* *L.* 2. ἐβασίλευε *Edd.*

perio digni, ex liberis hic jam adultus, & uxor: qui, ætate florentes, numeroſam quoque prolem brevi daturi videntur, ut plures potentiæ veſtræ cuſtodes habeatis. Hos igitur jungo connubio, in veſtra præſentia; & mitto, ut jam nunc regnent in ſuperioribus provinciis. Nec vos Perſarum aliarumve gentium mores magis ſpectare jubeo, quam unam hanc communem legem omnium: *Semper juſtum eſſe, quod a rege ſtatuatur.*" Hæc poſtquam verba fecit, exercitus fauſta quævis adclamavit Regi poſt Alexandrum maximo, & Patri optimo. *Seleucus* uxorem & filium, eodem modo præmonitos, junxit matrimonio, & in regnum dimiſit; fortiorem ſe celebrato iſto facto præſtans, quam tot rebus adverſus hoſtes præclariſſime geſtis.

62. Habuerat autem ſub ſe *Seleucus* LXXII. ſatrapias: tam late regnum ejus patebat; cujus majore parte filio tradita, ea modo, quæ inter Euphratem & mare ſita ſunt, ſibi retinuit. Bello deinde, quod ei fuit ultimum, in Phrygia ad

γίαν τὴν ἐφ' Ἑλλησπόντῳ πολεμῶν, Λυσιμάχου μὲν ἐκράτει, πεσόντος ἐν τῇ μάχῃ· αὐτὸς δὲ τὸν Ἑλλήσποντον ἐπέρα. καὶ ἐς Λυσιμάχειαν ἀναβαίνων, κτείνεται. Πτολεμαῖος δ' αὐτὸν ἑπόμενος ἔκτεινεν, ὅτῳ Κεραυνὸς ἐπίκλησις. υἱὸς δ' ἦν ὁ Κεραυνὸς ὅδε Πτολεμαίου τοῦ Σωτῆρος καὶ Εὐρυδίκης τῆς Ἀντιπάτρου. καὶ αὐτὸν ἐκπεσόντα Αἰγύπτου διὰ δέος, ὅτι νεωτάτῳ παιδὶ ὁ Πτολεμαῖος τὴν ἀρχὴν ἐπενόει δοῦναι, ὁ Σέλευκος, οἷα Φίλου παῖδα ἀτυχοῦντα, ὑπεδέξατο, καὶ ἔφερβε, καὶ ἐπήγετο πάντη φονέα ἑαυτοῦ.

LXIII. Καὶ Σέλευκος μὲν οὕτω τελευτᾷ, τρία καὶ ἑβδομήκοντα ἔτη βιώσας, καὶ βασιλεύσας αὐτῶν δύο καὶ τεσσαράκοντα. καί μοι δοκεῖ καὶ ἐς τοῦτο αὐτῷ συνενεχθῆναι τὸ αὐτὸ λόγιον·

Μὴ σπεῦδ' Εὐρώπην, Ἀσίη τοι πολλὸν ἀμείνων.

Ἡ γὰρ Λυσιμάχεια τῆς Εὐρώπης ἐστί· καὶ τότε πρῶτον ἀπὸ τῆς Ἀλεξάνδρου στρατείας ἐς τὴν Εὐρώπην διεπέρα. Λέγεται δὲ καὶ περὶ αὐτοῦ τοῦ θανάτου ποτὲ αὐτῷ χρωμένῳ λόγιον προαγορευθῆναι·

*Lin.* 9. υἱὸς ἦν ὁ *Edd.* υἱὸς δ' ὁ *Aug.* & *caret* ἦν. *Prætuli Pl.* *L.* 12 *ſq.* φίλου παῖδα, παῖδα ἀτυχ. *edit.* 1. 2. *L.* 14. φον. αὐτοῦ *edit.* 1. φον. αὐτοῦ *edit.* 2. 3. *L.* 16. βασιλ. ἐξ αὐτῶν *Edd.* *L.* 19. Εὐρώπην δ', *Pl. ut ſupra.*

Helleſpontum adverſus Lyſimachum geſto, *Lyſimachum vicit*, in prælio cæſum: trajectoque freto, Lyſimachiam petens, *occiſus* eſt *a Ptolemæo*, cognomine *Ceranno*, qui eum ſequebatur. Hic Ceraunus filius erat Ptolemæi Soteris, & Eurydices, Antipatri filiæ: quem, ex Ægypto metu profugum, quia pater juniori filio regnum dare decreverat, *Seleucus*, ut amici filium infelicem, exceperat aluerat que, interfectorem ſuum ubique ſecum circumducens.

63. Hic fuit *exitus Seleuci*, exacto ætatis anno LXXIII. regni XLII. Et quantum ego intelligo, huc quoque convenit idem illud oraculum:

*Europe valeat, Aſiam complectere tutus.*

Nam *Lyſimachia* ſita eſt in Europa: & ille tunc primum in Europam regreſſus eſt, ex quo Alexandrum in Aſiaticam militiam ſecutus erat. Fertur etiam, de obitu percontanti olim *Seleuco* reſpondiſſe vatem:

Ἄργος ἀλευόμενος, τὸ πεπρωμένον εἰς ἔτος ἥξεις.
Εἰ δ' Ἄργει πελάσαις, τότε κεν παρὰ μοῖραν ὄλοιο.

Ὁ μὴν δὴ Ἄργος τὸ Πελοποννήσιον, καὶ Ἄργος τὸ Ἀμφιλοχικὸν, καὶ Ἄργος τὸ ἐν Ὀρεστείᾳ, (ὅθεν οἱ Ἀργεάδαι Μακεδόνες·) καὶ τὸ ἐν τῷ Ἰονίῳ λεγόμενον οἰκίσαι Διομήδην ἀλώμενον, καὶ εἴ τι που γῆς ἄλλο Ἄργος ἐκαλεῖτο, πάντα ἀνεζήτει καὶ ἐφυλάσσετο. ἀναβαίνοντι δ' ἐς τὴν Λυσιμάχειαν αὐτῷ ἀπὸ τοῦ Ἑλλησπόντου, βωμὸς ἦν ἐν ὄψει μέγας τε καὶ περιφανής· καὶ πυθόμενος, αὐτὸν ἢ τοὺς Ἀργοναύτας στήσασθαι παραπλέοντας ἐς Κόλχους, ἢ τοὺς Ἀχαιοὺς ἐπὶ Ἴλιον στρατεύοντας· καὶ διὰ τοῦτο ἔτι τὸν βωμὸν τοὺς περιχώρους Ἄργος καλεῖν, ἢ διὰ τὴν ναῦν διαφθείροντας τὸ ὄνομα, ἢ διὰ τὴν πατρίδα τῶν Ἀτρειδῶν· κτείνεται, ταῦτα ἔτι μανθάνων, ὑπὸ τοῦ Πτολεμαίου προσπεσόντος ὄπισθεν. Καὶ Σέλευκον μὲν ἔκαιε Φιλέταιρος, ὁ Περγάμου δυναστεύσας, πολλῶν χρημάτων

*Lin. 24.* ἀλευάμενος *Pl.* *L. 27.* Ἀργαιάδαι *Aug. quod non ſpernendum.* ἀρχεάδαι *Reg. B.* *L. 28.* Ἰωνίᾳ *edit. 1.* *Ibid. pro* λεγόμενον *mallem* ὃ λέγουσι. *L. 33. pro* στήσασθαι, *quod dedit Aug., dat* εἴσασθαι *edit. 1.* εἵσασθαι *edit. 2. 3.* *L. 35.* τὸν *ante* βωμὸν *carent Edd.*

*Argos ſi caveas, fatalia tempora evades:*
*Quod ſi non caveas, occides ante diem.*

Ille itaque & *Peloponneſiacum Argos*, & *Amphilochicum*, & illud quod in *Oreſtea* eſt, (unde *Argeadæ Macedones*;) & quod *ad Jonium mare* condidit profugus Diomedes, & ſi quod uſquam terrarum aliud *Argos* nominatum erat, omnia requiſivit diligenter, cavitque. Ceterum quum ab Helleſponto Lyſimachiam peteret, obtulit ſe oculis ejus ara magna & ſpectabilis: ac de eadem percontanti, refertur „ſive ab Argonautis, præter locum iſtum Colchos navigantibus, ſive ab Achivis Trojam oppugnantibus, fuiſſe exſtructam; ob eamque cauſam ad illum diem, ſeu corrupto navis nomine, qua vecti Argonautæ erant, ſeu ab Atridarum patria, *Argos* eam aram ab accolis vocari." Er dum hæc *Seleuco* referuntur; a tergo eum adgreditur Ptolemæus, confoditque. Corpus ejus cremavit *Philetærus*, Pergami regulus,

τὸ σῶμα τὸν Κεραυνὸν αἰτήσας· καὶ τὰ λείψανα ἔπεμπεν Ἀντιόχῳ, τῷ παιδὶ αὐτοῦ. ὁ δ᾽ ἐν Σελευκείᾳ τῇ πρὸς θαλάσσῃ ἀπέθετο, καὶ νεὼν αὐτῷ ἐπέστησε, καὶ τέμενος περιέθηκε· καὶ τὸ τέμενος Νικατόρειον ἐπικλήζεται.

LXIV. Λυσίμαχον δὲ, πυνθάνομαι, τῶν ὑπασπιστῶν ὄντα τῶν Ἀλεξάνδρου, παρατροχάσαι ποτὲ ἐπιπλεῖστον αὐτῷ, καὶ καμόντα, τῆς οὐρᾶς τοῦ βασιλέως ἵππου λαβόμενον, ἔτι συντρέχειν. πληγέντα δὲ ἐς τὸ μέτωπον ἐπὶ τὴν φλέβα, τῷ τέλει τοῦ βασιλείου δόρατος, αἱμορροεῖν· τὸν δὲ Ἀλέξανδρον, ἀπορίᾳ τελαμῶνος, τῷ διαδήματι αὐτοῦ τὸ τραῦμα περιδῆσαι. καὶ ἐμπλησθῆναι μὲν αἵματος τὸ διάδημα· τὸν δὲ Ἀλεξάνδρου μάντιν Ἀρίστανδρον, φερομένῳ τῷ Λυσιμάχῳ, καὶ ὧδε ἔχοντι, ἐπειπεῖν· ὅτι, Βασιλεύσει μὲν οὗτος ὁ ἀνὴρ, βασιλεύσει δ᾽ ἐπιπόνως. Ὁ μὲν δὴ καὶ ἐβασίλευσε τεσσαράκοντα ἔτη μάλιστα, σὺν οἷς ἐσατράπευσε· καὶ ἐπιπόνως ἐβασίλευσε. καὶ ἑβδομηκοντούτης ὢν, στρατευόμενος καὶ μαχόμενος

*Lin.* 41. Σελευκίᾳ *h. l. Aug.* *L.* 48. *pro* τέλει *dat* πέρατι *Pl. An* βέλει? *Ibid.* τοῦ βασιλέως δορ. *Aug. a prim. script. sed mox mutatum ab ead. man.* *Ibid. sq.* αἱμορ εῖν *Edd. ex Reg. A.* *L.* 50. ἐμπληθῆναι *edit.* 2. 3. *L.* 53. ὁ *ante* ἀνὴρ, *caret Aug. Ven. & Pl.*

pro magno auri pondere a Cerauno sibi traditum; & cineres ad *Antiochum* filium ejus remisit: quos ille *Seleuciæ ad mare* condidit, superstructo delubro, & consecrata area circumjecta, cui *Nicatorium* nomen imposuit.

64. *Lysimachum* vero, ajunt, satelles quum esset Alexandri, equitantemque aliquando regem diu cursu æquasset, ac fessus tandem, correpta equi cauda, quo vehebatur rex, cursum etiam tum continuasset, percussum forte in frontis venam aversæ hastæ cuspide, magnam vim sanguinis profudisse. Ibi tum *Alexandrum*, inopia fasciæ, *vulnus* ejus *regio obligasse diademate*: quod postquam cruentatum est, *vatem* Alexandri *Aristandrum*, quum ita saucius ferretur Lysimachus, prædixisse: „regnaturum illum virum, sed laboriose." Et regnavit sane, annis quadraginta, si jungas illos quibus satrapa fuit, laborioseque regnavit: & septuagenarius, bellum etiam tum gerens, in pugna ce-

ἔπεσεν, εὐθὺς δ᾽ ἐπαναιρεθέντος αὐτῷ τοῦ Σελεύκου, κείμενον τὸ σῶμα τοῦ Λυσιμάχου κύων οἰκεῖος, ἐς πολὺ ὑπερμαχῶν, ἀλύμαντον ἐξ ὀρνέων καὶ θηρίων διεφύλασσε· μέχρι Θώραξ ὁ Φαρσάλιος, εὑρὼν, ἔθαψεν. οἱ δὲ Ἀλέξανδρον, φασὶ, θάψαι, τὸν αὐτοῦ Λυσιμάχου παῖδα, φυγόντα μὲν ὑπὸ δέους πρὸς Σέλευκον, ὅτε Λυσίμαχος Ἀγαθοκλέα τὸν ἕτερον αὐτοῦ παῖδα ἀνεῖλεν· ἐρευνησάμενον δὲ ἐν τῷ τότε τὸ σῶμα, καὶ ἐκ τοῦ κυνὸς μάλιστα ἀνευρόντα, ἤδη διεφθαρμένον. τὰ δὲ ὀστᾶ τοὺς Λυσιμαχέας ἐνθέσθαι τῷ σφετέρῳ ἱερῷ, καὶ τὸ ἱερὸν Λυσιμάχειον προσαγορεῦσαι. Τοιόνδε μὲν δὴ τέλος ἑκατέρῳ τῶνδε τῶν βασιλέων συνηνέχθη, ἀνδρειοτάτων τε καὶ τὰ σώματα μεγίστων γενομένων· τοῦ μὲν, ἐς ἑβδομήκοντα ἔτη, τοῦ δὲ, ἐς πλέονα τούτων ἔτι ἄλλα τρία, μεμαχημένων ἐκ χειρὸς οἰκείας αἰεὶ μέχρι τοῦ θανάτου.

LXV. Σελεύκου δ᾽ ἀποθανόντος, διάδοχοι, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν Σύρων ἀρχὴν, ἐγένοντο οἵδε· Αν-

*Lin.* 57. *verba* εὐθὺς δ᾽ -- Σελεύκου *non expressit Cand.* *L.* 62. φυγ. μὲν ὑποδέισας *edit.* 1. *L.* 63. Ἀγακλέα *Aug.* *L.* 69. γινομένων *edit.* 1. *L.* 72 *sq.* διάδοχοι παῖδες παρὰ πατρὸς *Edd. Vocab.* παῖς *vel* παῖδες *abest ab Aug. Ven. Cand. forsan non male. Secutus sum Pl. Leid.*

cidit; Seleuco victore non diu superstite. Exstincti Lysimachi corpus canis domesticus diu protegens, ab alitibus ferisque illæsum præstitit; donec Thorax Pharsalius inventum sepeliit. Sunt qui dicant, sepultum ab *Alexandro* filio, qui metu ad *Seleucum* fugerat, quando alterum filium *Agathoclem* occidit *Lysimachus:* diu autem ab eo quæsitum cadaver, ipsius canis maxime indicio tandem repertum esse, putredine pridem corruptum. Ossa a Lysimachensibus condita, in urbis ipsorum templo, quod *Lysimachium* inde sit ab illis adpellatum. Ita in idem tempus duorum regum finis incidit, fortissimorum & corporis magnitudine præstantium: quorum alter ad annum septuagesimum, alter vero ad tertium insuper, manu propria depugnarunt usque ad mortem.

65. Defuncto Seleuco, perpetua serie a patre ad filios transmissum est Syriæ regnum. Proximus *Seleuci successor*, ipse hic ANTIOCHUS fuit, qui

τίοχος μὲν πρῶτος ὅδε, ὁ τῆς μητρυιᾶς ἐρασθείς· ὃς καὶ Σωτὴρ ἐπεκλήθη, Γαλάτας ἐκ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν ἐμβαλόντας ἐξελάσας. δεύτερος δὲ, Ἀντίοχος ἕτερος, ἐκ τῶνδε τῶν γάμων γενόμενος, ὅτῳ Θεὸς ἐπώνυμον ὑπὸ Μιλησίων γίγνεται πρῶτον, ὅτι αὐτοῖς Τίμαρχον τύραννον καθεῖλεν. ἀλλὰ τόνδε μὲν, τὸν Θεὸν, ἔκτεινεν ἡ γυνὴ Φαρμάκῳ. δύο δὲ εἶχε, Λαοδίκην καὶ Βερενίκην, ἐξ ἔρωτός τε, καὶ ἐγγύης, . . . Πτολεμαίου τοῦ Φιλαδέλφου θυγατέρα. καὶ αὐτὸν ἔκτεινε Λαοδίκη, καὶ ἐπ' ἐκείνῳ Βερενίκην τε καὶ τὸ Βερενίκης βρέφος. καὶ Πτολεμαῖος ὁ τοῦ Φιλαδέλφου, ταῦτα τιννύμενος, Λαοδίκην τε ἔκτεινε, καὶ ἐς Συρίαν ἐνέβαλε, καὶ ἐς Βαβυλῶνα ἤλασε. Καὶ Παρθυαῖοι τῆς ἀποστάσεως τότε ἦρξαν, ὡς τεταραγμένης τῆς τῶν Σελευκιδῶν ἀρχῆς.

LXVI. Ἐπὶ δὲ τῷ Θεῷ βασιλεὺς γίγνεται Συρίας

*Lin.* 76. ἐσβαλόντας *Aug.* *L.* 80. 82. 83. Βερνίκην & Βερνίκης *Aug.* *L.* 81. *Ubi lacunæ signum posui, adsentior Palmerio, excidisse verba quædam hujusmodi :* τὴν μὲν ὁμοπάτριον ἀδελφὴν, τὴν δὲ Πτολ. *Ibid. sq. vulg.* θυγατέρας *cum Cand. Palm. & Vaillant. in* θυγατέρα *mutavi. Quodsi delere hoc vocab. liceret; forte non opus foret, lacunam in præcedd. statuere.* *L.* 82. ἐπ' ἐκεῖνον *Edd.* *L.* 86. *post* ἦρξαν, *Pletho inseruit :* Ἀρσάκου αὐτοῖς τῆς ἀποστάσεως ἡγησαμένου : *quæ verba nescio an ab Appiano sint.*

novercam adamaverat ; cui SOTER cognomen est datum, postquam Gallos ex Europa in Asiam irrumpentes repulit. Secutus est alius ANTIOCHUS, ex illis nuptiis natus, qui DEUS a Milesiis primum cognominatus est, quia Timarchum, Mileti tyrannum, sustulit. Sed hunc Deum uxor veneno interemit: duas autem habebat, *Laodicen & Berenicen*, alteram amore sibi copulatam, alteram a *Ptolemæo Philadelpho* desponsatam. Ex his Laodice ipsum interfecit, & mox Berenicem cum infantulo. Quam injuriam *Ptolemæus*, *Philadelphi filius*, ut ulcisceretur, de Laodice sumsit supplicium, &, exercitu in Syriam ducto, Babylonem usque excurrit. Qua occasione *Parthi* (duce *Arsace*) *desciverunt a Seleucidarum imperio*, conturbatam eorum videntes familiam.

66. Antiocho Deo successit in Syriæ regnum SELEUCUS filius, Laodice genitus, cogno-

Σέλευκος, υἱὸς τοῦ Θεοῦ τε καὶ Λαοδίκης, ᾧ Καλλίνικος ἐπώνυμον. ἐπὶ δὲ Σελεύκῳ, δύο παῖδες αὐτοῦ Σελεύκου, καθ᾽ ἡλικίαν ἑκάτερος αὐτῶν, Σέλευκός τε καὶ Αντίοχος. Σελεύκῳ μὲν δὴ, ἀσθενεῖ τε ὄντι, καὶ πενομένῳ, καὶ δυσπειθῆ τὸν στρατὸν ἔχοντι, ἐπεβούλευσαν οἱ Φίλοι διὰ Φαρμάκων, καὶ ἐς ἔτη δύο μόνα ἐβασίλευσεν. ὁ δὲ Αντίοχος ὅδε ἐστὶν ὁ Μέγας ἐπίκλην, περὶ οὗ μοι πάλαι εἴρηται, Ρωμαίοις πεπολεμηκότος. ἐβασίλευσε δὲ ἔτη ἑπτὰ καὶ τριάκοντα. καὶ αὐτοῦ περὶ τοῖν παίδοιν προεῖπον, ἀμφοῖν βεβασιλευκότοιν, Σελεύκου τε καὶ Αντιόχου· Σελεύκου μὲν, ἔτεσι δώδεκα, ἀπράκτως ἅμα καὶ ἀσθενῶς, διὰ τὴν τοῦ πατρὸς συμφοράν· Αντιόχου δὲ, δυώδεκα οὐ πλήρεσιν· ἐν οἷς Αρταξίαν τὸν Αρμένιον εἷλε, καὶ ἐς Αἴγυπτον ἐστράτευσεν, ἐπὶ ἕκτον Πτολεμαῖον, ὀρφανευόμενον μετὰ ἀδελφοῦ. καὶ αὐτῷ, στρατοπεδεύοντι περὶ τὴν Αλεξάνδρειαν, Ποπίλλιος παρὰ Ρωμαίων πρεσβευτὴς

*Lin.* 89. *ᾧ ad* Καλλιν. *ex Pl. inſerui.* *L.* 97. καὶ αὐτῷ περὶ *edit.* 3. *vit.* *L.* 1 *ſq.* δύο οὐ πλήρεσιν *Edd. & MSS. noſtri. Errorem, qui procul dubio librariorum, non Scriptoris, eſt, monente Palmerio, corrigere non dubitavi.* *L.* 2. ἐν ᾧ *Aug. in text.* ἐν οἷς *id. in marg.* *Ibid.* τὸν *poſt* Αρταξ. *omiſit edit.* 3. *temere.*

mine CALLINICUS. Deinde, ex ætatis ordine, duo ejuſdem filii, SELEUCUS (*Ceraunus*) & *Antiochus*: quorum major, nec valetudine firmus, nec opibus, cum in officio continere exercitum non poſſet, veneno ſublatus eſt purpuratorum perfidia, poſt exactum regni annum alterum: minor fratrum, ANTIOCHUS, cognomine MAGNUS, is eſt, cujus bella adverſus Romanos geſta expoſuimus. Regnavit annos triginta ſeptem. De cujus etiam filiis duobus jam ante dixi, qui ambo regnum obtinuerunt: SELEUCUS (*Philopator*) annis duodecim; otioſus, nec admodum potens, propter cladem quam pater acceperat: ANTIOCHUS vero (*Epiphanes*) undecim, & quod excurrit, annis; quo ſpatio *Artaxiam* cepit Armenium, & in Ægyptum expeditionem ſuſcepit contra *Ptolemæum ſextum*, cujus pater tum e vivis exceſſerat duobus filiis minori ætate relictis. In ejus *Antiochi* caſtra, prope Alexandriam munita, *Popillius* a Romanis le-

ἧκε, Φέρων δέλτον, ἐν ᾗ τάδε ἐγέγραπτο· Μὴ πολεμεῖν Πτολεμαίοις Αντίοχον. Αναγνόντι δὲ αὐτῷ, καὶ λέγοντι βουλεύσεσθαι, κύκλον τῇ ῥάβδῳ περιέγραψεν ὁ Ποπίλλιος, καὶ εἶπεν· Ενταῦθα βουλεύου. Ὁ μὲν δὴ καταπλαγεὶς ἀνέζευξε, καὶ τὸ τῆς Ελυμαίας Αφροδίτης ἱερὸν ἐσύλησε· καὶ Φθίνων ἐτελεύτησε, παιδίον ἐνναετὲς ἀπολιπών, Αντίοχον τὸν Εὐπάτορα, ὥς μοι καὶ περὶ τοῦδε εἴρηται.

LXVII. Εἴρηται δὲ καὶ περὶ Δημητρίου τοῦ μετ' αὐτόν, ὃς ὡμήρευεν ἐν Ῥώμῃ, καὶ τῆς ὁμηρείας ἐκφυγών, ἐβασίλευσε· Σωτὴρ καὶ ὅδε πρὸς τῶν Σύρων, δεύτερος ἐπὶ τῷ Σελεύκου τοῦ Νικάτορος παιδὶ, ὀνομασθείς. Επανίσταται δὲ αὐτῷ τις Αλέξανδρος, ψευδόμενος εἶναι τοῦ Σελευκείου γένους· καὶ Πτολεμαῖος, ὁ τῆς Αἰγύπτου βασιλεὺς, κατὰ μῖσος Δημητρίου, συνέλαβεν Αλεξάνδρῳ. καὶ Δημήτριος μὲν διὰ Πτολεμαῖον ἐξέπεσε τῆς ἀρχῆς, καὶ ἐτελεύτησε. τὸν

*Lin.* 8. βουλεύεσθαι *edit.* 1. *Aug. Tenui emend. H. Steph. L.* 11. ἐναετὲς *Edd. inv. MSS. L.* 12. τὸν, *ad* Εὐπάτορα, *ex Aug. adjeci. L.* 15. ὠμήρευσεν *Edd. invit. MSS. L.* 17. Σελεύκῳ τῷ Νικ. *Aug. male. Ibid.* παιδίῳ *Edd.* παιδίων *Aug. Restitui* παιδὶ, *in quo vocab. & paulo ante similiter erraverant Edd. & nonnulli MSS. L.* 20. συνελάμβανεν *Edd.*

gatus venit cum literis, denunciantibus, ut *abstineret a regno Ptolemæorum.* Quibus lectis, quum, *se deliberaturum*, diceret *Antiochus;* virga eum circumscripsit *Popillius*, dixitque: *Hîc delibera!* Et ille territus, discessit; spoliatoque Elymææ templo Veneris, tabe periit; relicto novenni filio, ANTIOCHO EUPATORE, de quo similiter diximus.

67. Hunc excepit DEMETRIUS, de quo & ipso supra a nobis expositum est: qui, quum Romæ obses esset, profugit in Syriam; &, adeptus regnum, SOTER a Syris, secundus post Nicatoris filium, cognominatus est. Adversus hunc exortus est quidam ALEXANDER, falso in Seleucidarum gentem se ingerens; quem Ptolemæus Ægypti rex fovebat, odio Demetrii: atque ita, connitentibus Ægyptiis, Alexander regno *Demetrium expulit.* Qui postquam in exilio defunctus est; filius hujus De-

δὲ Ἀλέξανδρον ἐξέβαλε Δημήτριος, ὁ Δημητρίου τοῦδε τοῦ Σωτῆρος υἱός· καὶ ἐπὶ τῷδε, ὡς νόθον τοῦ γένους ἄνδρα νικήσας, Νικάτωρ ὑπὸ τῶν Σύρων ὠνομάσθη, δεύτερος καὶ ὅδε μετὰ Σέλευκον. ἐπί τε Παρθυαίους καὶ ὅδε μετὰ Σέλευκον ἐστράτευσε. καὶ γενόμενος αἰχμάλωτος, δίαιταν εἶχεν ἐν Φραάτου βασιλέως· καὶ Ροδογούνην ἔζευξεν αὐτῷ τὴν ἀδελφὴν ὁ βασιλεύς.

LXVIII. Παρὰ δὲ τὴν ἀναρχίαν τήνδε, δοῦλος τῶν βασιλέων, Διόδοτος, παιδίον Ἀλέξανδρον, ἐξ Ἀλεξάνδρου τοῦ νόθου καὶ τῆς Πτολεμαίου θυγατρὸς, ἐπὶ τὴν βασιλείαν ἤγαγε. καὶ τὸ παιδίον κτείνας, αὐτὸς ἐπετόλμησε τῇ ἀρχῇ, Τρύφων ἀφ' ἑαυτοῦ μετονομασθείς. ἀλλὰ αὐτὸν Ἀντίοχος, ὁ ἀδελφὸς Δημητρίου τοῦ αἰχμαλώτου, πυθόμενος ἐν Ῥόδῳ περὶ τῆς αἰχμαλωσίας, κτείνει κατιὼν ἐς τὰ πατρῷα σὺν πόνῳ πολλῷ· καὶ στρατεύει καὶ ὅδε ἐπὶ τὸν Φραάτην, τὸν ἀδελφὸν αἰτῶν. Ὁ μὲν δὴ Φραάτης αὐτὸν ἔδεισε, καὶ τὸν Δημήτριον ἐξέπεμψεν. ὁ δ' Ἀντίοχος, καὶ

*Lin.* 25. *pro priori* ὅδε *dat* ὧδε *Aug. perperam. Ibid.* ἐπὶ δὲ *Edd. Prætuli Aug. L.* 27. Φραατ. βασιληΐῳ *edit.* 3. *L.* 33. ἐφ' ἑαυτοῦ *Aug. L.* 37. *pro* αἰτῶν *dant* αὐτῶν *Aug. Ven.*

metrii Soteris, DEMETRIUS & ipſe, Alexandrum ejecit; & victoria hac, de ſpurio, qui in regiam familiam ſe ingeſſerat, reportata, NICATOR a Syris, ſecundus poſt Seleucum, cognominatus eſt. Hic, primi Nicatoris exemplo, ſuſcepit expeditionem Parthicam: & *captus a Parthis*, vitam egit apud *Phraatem* regem, qui ſororem ſuam *Rodogunam* matrimonio cum eo conjunxit.

68. Interim Syriæ regiam, tunc vacuam, occupavit ſervus regum DIODOTUS, inducto *Alexandro* puero, Alexandri Nothi filio, ex Ptolemæi filia genito. Quo mox ſublato, ipſe regnare auſus eſt, adſcito ſibi novo TRYPHONIS nomine. Verum ANTIOCHUS (*Sidetes*,) captivi Demetrii frater; poſtquam Rhodi de captivitate fratris, & quid ſecutum ſit, didicit; in patriam reverſus, *Tryphonem* magno labore victum interfecit: moxque contra *Phraatem* cum exercitu profectus eſt, fratrem repetens. Et ille, ſuis metuens rebus, remiſit Demetrium. *Antiochus* vero, nihilominus cum

ὡς συνέβαλλέ τε τοῖς Παρθυαίοις· καὶ ἡσσώμενος, ἑαυτὸν ἔκτεινεν. Ἔκτεινε δὲ καὶ Δημήτριον ἐς τὴν βασιλείαν ἐπανελθόντα ἡ γυνὴ Κλεοπάτρα, δολοφονήσασα, διὰ ζῆλον τοῦ γάμου Ῥοδογούνης· δι' ὃν δὴ καὶ Ἀντιόχῳ τῷ ἀδελφῷ τοῦ Δημητρίου προγεγάμητο. καὶ παῖδες ἦσαν αὐτῇ, δύο μὲν ἐκ Δημητρίου, Σέλευκός τε, καὶ Ἀντίοχος, ὅτῳ Γρυπὸς ἐπίκλησις· ἐκ δὲ Ἀντιόχου, Ἀντίοχος, ὅτῳ Κυζικηνὸς ἐπώνυμον. τούτων τὸν μὲν Γρυπὸν ἐς Ἀθήνας, τὸν δὲ Κυζικηνὸν ἐς Κύζικον, ἐπεπόμφει τρέφεσθαι.

LXIX. Σέλευκον δ', εὐθὺς ἐπὶ τῷ πατρὶ Δημητρίῳ τὸ διάδημα ἐπιθέμενον, ἐπιτοξεύσασα ἔκτεινεν· εἴτε δείσασα περὶ τῆς τοῦ πατρὸς δολοφονήσεως, εἴτε καὶ μανιώδει πρὸς πάντας μίσει. Μετὰ δὲ Σέλευκον ὁ Γρυπὸς ἐγένετο βασιλεὺς, καὶ τὴν μητέρα οἱ φάρμακον κεράσασαν πιεῖν ἠνάγκασεν. ἡ μὲν δὴ δίκην ποτὲ ἔδωκεν. Ἄξιος δὲ ἄρα τῆς μητρὸς ἦν καὶ ὁ Γρυπός. ἐπεβούλευε γὰρ τῷ Κυζικηνῷ, καίπερ ὄντι ὁμομητρίῳ. ὁ δὲ, μαθὼν, ἐπολέμησέ τε αὐτῷ,

*Lin.* 39. καὶ ὃς συνέβ. *Edd.* *L.* 42. δι' ὃ δὴ *Edd. invit. MSS.* *L.* 47. ἐκπεπόμφει *Aug. non male.* *L.* 50. δολοφρενήσεως *edit.* 1. *L.* 52. κεράσας *Aug. Ven. male.*

Parthis congressus prælio, & victus, sibi ipse mortem conscivit. Et *Demetrius*, in regnum restitutus, *necatur a Cleopatra* uxore, insidias ei molita propter æmulationem posterioris nuptæ Rodogunæ: qua de causa etiam prius ipsa Antiocho, fratri mariti sui, nupserat. Habuit autem *Cleopatra* duos *filios* e Demetrio, *Seleucum*, & *Antiochum*, *Grypum* cognomine: ex Antiocho vero *Antiochum*, *Cyzicenum* cognominatum. Grypum Athenas, Cyzicenum Cyzicum, educandos emiserat.

69. Ex his SELEUCUM, qui statim post patris obitum diadema sumserat, sagitta sua manu emissa mater confixit; sive metuens, ne patris necem ille ulcisceretur, sive furioso odio prosequens omnes. Seleuco in regnum successit GRYPUS; qui venenum, quod mater filio paraverat, ipsam coëgit ebibere. Sic tandem illa pœnas flagitiorum dedit. Neque vero Grypus a matre degeneravit: struxit enim CYZICENO, quamvis uterino fratri, insidias. At ille præmonitus, aperto bello fratrem expulit, & pro eo regna-

καὶ τῆς ἀρχῆς αὐτὸν ἐξήλασε· καὶ βασιλεὺς ἀντ᾽ ἐκείνου τοῖς Σύροις ἐγένετο. Ἀλλὰ καὶ τόνδε Σέλευκος ὁ Ἀντιόχου τοῦ Γρυπτοῦ παῖς, ἐπιστρατεύσας, ὄντι περ θείῳ, παρείλετο τὴν ἀρχήν. βίαιος δὲ καὶ τυραννικώτατος ὤν, ἐν Ἑστίᾳ Μόψου τῆς Κιλικίας κατεπρήσθη κατὰ τὸ γυμνάσιον. Καὶ αὐτὸν διεδέξατο Ἀντίοχος, ὁ υἱὸς τοῦ Κυζικηνοῦ· ὃν, ἐπιβουλευόμενον ὑπὸ Σελεύκου τοῦ ἀνεψιοῦ, οἱ μὲν Σύροι νομίζουσι περισωθῆναι δι᾽ εὐσέβειαν, καὶ διὰ τοῦτο Εὐσεβῆ παρωνόμασαν. ἑταίρα δ᾽ αὐτὸν ἔσωσεν, ἐρασθεῖσα τοῦ κάλλους. ἐμοὶ δὲ δοκοῦσιν ἐπὶ γέλωτι αὐτῷ ποιήσασθαι τὸ ὄνομα οἱ Σύροι. ἔγημε γὰρ οὗτος ὁ Εὐσεβὴς Σελήνην, ἣ καὶ τῷ πατρὶ αὐτοῦ γεγάμητο τῷ Κυζικηνῷ, καὶ τῷ Γρυπτῷ, θείῳ γενομένῳ. τοιγάρτοι αὐτὸν, θεοῦ μετιόντος, ἐξήλασε τῆς ἀρχῆς Τιγράνης.

LXX. Καὶ τὸν υἱὸν ἐκείνου τὸν ἐκ τῆς Σελήνης αὐτῷ γενόμενον, ἐν Ἀσίᾳ τε τραφέντα, καὶ ἀπὸ τοῦδε Ἀσιατικὸν ἐπίκλην, Πομπήϊος ἀφείλετο τὴν Σύρων ἀρχὴν, ὥς μοι λέλεκται·

*Lin. 57. τοῖς ante Σύροις caret Aug. L. 60. κατεπρίσθη Edd. κατεπρίθη Ven. κατεπρήθη Aug. Restitui id, ex quo hæc corrupta sunt. L. 65. δὲ, post ἐμοὶ, caret edit. 1. cum Regiis, Aug. Ven. Adjecit H. Steph. cum Cand.*

vit in Syria. Hunc quoque SELEUCUS, Antiochi *Grypi filius*, quamvis patruum, vi & armis regno ejecit: qui, quoniam violentus & supra modum tyrannicus fuit, Mopsvestiæ, quod est Ciliciæ oppidum, in gymnasio crematus est. Huic successit ANTIOCHUS, *Cyziceni filius*: quem Seleuci patruelis insidias evasisse putant Syri *pietatis* merito, ideoque PIUM cognominarunt. Servatus est autem a meretrice, adamatus formæ gratia. Ac mihi videtur per jocum a Syris id nomen ei additum: duxit enim hic Pius *Selenen*, quæ prius patri ejus Cyziceno, & patruo Grypo, nupserat. Quare, divina eum persequente vindicta, regno a TIGRANE ejectus est.

70. *Pii filium* (*Antiochum*,) ex Selene genitum, educatum in Asia, & inde ASIATICUM dictum, Pompejus, ut diximus, Syriæ regno privavit. Fuerat

λέλεκται· ὄντα μὲν ἑπτακαιδέκατον ἐκ Σελεύκου Σύρων βασιλέα, (ἐξαίρω γὰρ Ἀλέξανδρόν τε καὶ τὸν Ἀλεξάνδρου παῖδα, ὡς νόθους, καὶ τὸν δοῦλον αὐτῶν Διόδοτον·) βασιλεύσαντα δὴ ἐν ταῖς ἀσχολίαις ταῖς Πομπηΐου, ἐπὶ ἓν μόνον ἔτος. Ἡ δὲ ἀρχὴ τῶν Σελευκιδῶν ἐς ἑβδομήκοντα ἐπὶ διακοσίοις ἐνιαυτοὺς διίκετο· καὶ εἴ τις ἐπισκοποίη τὸν ἐς Ῥωμαίους χρόνον ἐξ Ἀλεξάνδρου, προσθετέον ἐπὶ τοῖς διακοσίοις ἑβδομήκοντα ἔτεσι, τὰ Τιγράνου τεσσαρεσκαίδεκα. Τοσάδε μὲν δὴ καὶ περὶ Μακεδόνων τῶν Συρίας βεβασιλευκότων εἶχον εἰπεῖν, ὡς ἐν ἀλλοτρίᾳ συγγραφῇ.

*Lin. 76. post* βασιλευσ. *adjeci conjunct.* δὴ, *quâ carent vulgo. L. 77. & 80. pro* ἑβδομήκοντα, *utrimque forsan legend.* τριάκοντα. *L. 78.* προΐκετο *Edd. L. 79.* τῶν ἐς Ῥωμ. χρόνων *Edd. Ibid.* ἐξ *carent Edd. & MSS. Inserendum duxi, cum Cand. qui dedit* ab Alexandro usque. ἀπ' Ἀλεξ. *proposuit Musgr. L.* 81. Τοσάγε *edit.* 1. τόσάγε *edit.* 2. τόσα γε *edit.* 3. *Prætuli Aug.*

Fuerat is autem a Seleuco septimus decimus rex Syriæ: (Alexandrum enim ejusque filium, ut nothos, servumque eorum Diodotum, excipio:) regnumque non ultra annum tenuit, quo tempore aliis negotiis Pompejus districtus erat. Regnatum est autem in *familia Seleucidarum*, per annos ducentos & septuaginta: (*potius* CCXXX.) Et quod si quis totam regni Syriæ post Alexandrum durationem, usque dum sub Romanorum cessit imperium, velit supputare; addendi ad illum numerum erunt Tigranis anni XIV. Ac hæc quidem *de Macedonibus Syriæ regibus*, velut in alieno libro, obiter dicta sunto.

# ΑΠΠΙΑΝΟΥ
# ΑΛΕΞΑΝΔΡΕΩΣ
## ΡΩΜΑΙΚΩΝ
## ΜΙΘΡΙΔΑΤΕΙΟΣ.

ΘΡΑΚΑΣ, Ἕλληνες ἡγοῦνται, τοὺς ἐς Ἴλιον μετὰ Ῥήσου σΊρατεύσαντας, Ῥήσου νυκτὸς ὑπὸ Διομήδους ἀναιρεθέντος, ὃν τρόπον Ὅμηρος ἐν τοῖς ἔπεσι φράζει, φεύγοντας ἐπὶ τοῦ Πόντου τὸ σΊόμα, ᾗ σΊενότατός ἐσΊιν ἐς Θράκην ὁ διάπλους· οἱ μὲν, οὐκ ἐπιτυχόντας πλοίων,

INITIO hujus Libri, *in Edd. ac MSStis noſtris, perperam ponuntur* duo Capita, *quibus (verum ſi quæras) continetur* EPILOGUS hiſtoriæ belli Mithridatici, *incipiens ab his verbis:* Ὧδε μὲν Ῥωμαῖοι Βιθυνεὺς καὶ Καππάδοκας *&c. deſinenſque in hæc:* ἃ δὲ καὶ ὡς ἐδύνατο αὐτῶν κεχωρίσθαι, κατὰ μέρη τέτακῖαι. *Iſtum* Epilogum *in eum locum, unde imperite translatum fuiſſe adparet, reponere non dubitavi, ſcil.* ad ipſam calcem hiſtoriæ Belli Mithridatici; *proxime* ante duo extrema *totius Libri* Capita, *quæ* Appendicem *continent de his, quæ, poſt bellum illud a Pompejo compoſitum, in eiſdem Aſiæ oris geſta ſunt. Lin. 2. Poſt* σΊρατεύσαντας *maj. diſtinct. ponunt Edd. & MSS. Quo factum eſt, ut poſt* Ῥήσου *importune inſerta fuerit particula* γάρ. *Hanc delevi; & loco puncti, hypoſtigmen poſui. Pro* γὰρ *Cand.* deinde dedit. *L. 3 ſq.* φεύγοντες *edit. 2. 3. ex incommoda H. Steph. mutatione, invitis regiis MSS. & Aug. qui dant* φεύγοντας, *ut eſt in edit. 1. L. 4.* σΊενώτατος *Aug. Vat. non male. L. 5. vulgatum* ἐπιτυχόντες, *& l. 7.* περάσαντες, *& l. 9.* πεισθέντες, *cum evidenter corrupta hæc eſſent, emendavi.*

# APPIANI
## ALEXANDRINI
## ROMANARUM HISTORIARUM
### LIBER
## DE BELLO MITHRIDATICO.

THRACES illos, qui ſub RHESO militarunt ad Ilium, duce inſidiis nocturnis per *Diomedem*, quemadmodum *Homerus* canit, ſublato, Græci ſcriptores perhibent fuga ſeceſſiſſe ad *Ponti* oſtium, qua trajectus eſt in Thraciam breviſſimus. Ibi eos nonnulli putant, quod naves non eſſent

τῇδε καταμεῖναι, καὶ τῆς γῆς κρατῆσαι Βεβρυκίας λεγομένης· οἱ δὲ, περάσαντας ὑπὲρ τὸ Βυζάντιον ἐς τὴν Θρακῶν τῶν Βιθυνῶν λεγομένων, παρὰ Βιθύαν ποταμὸν, οἰκῆσαι· καὶ λιμῷ πιεσθέντας ἐς Βεβρυκίαν αὖθις ἐπανελθεῖν, καὶ Βιθυνίαν ἀντὶ Βεβρυκίας, ἀπὸ τοῦ ποταμοῦ παρ' ὃν ᾤκουν, ὀνομάσαι· ἢ καὶ τὸ ὄνομα αὐτοῖς ἀλόγως σὺν χρόνῳ παρατραπῆναι, οὐκ ἐς πολὺ τῆς Βιθυνίας παρὰ τὴν Βεβρυκίαν διαφερούσης. ὧδε μὲν ἔνιοι νομίζουσιν. ἕτεροι δὲ, Βίθυν ἄρξαι πρῶτον αὐτῶν, παῖδα Διός τε καὶ Θρᾴκης, οὓς ἐπωνύμους ἑκατέρᾳ γῇ γενέσθαι.

II. Τάδε μὲν οὖν μοι προλελέχθω περὶ Βιθυνίας. Τῶν δὲ πρὸ Ῥωμαίων αὐτῆς βασιλέων, ἐννέα καὶ τεσσαράκοντα ἐφεξῆς γενομένων, οὕτω μοι μάλιστα μνημονεῦσαι προσήκει, τὰ Ῥωμαίων συγγράφοντι. Προυσίας ἦν, ὁ Κυνηγὸς ἐπίκλησιν, ᾧ Περσεὺς, ὁ Μακεδόνων βασιλεὺς, τὴν ἀδελ-

*Lin.* 11. ἢ καὶ *Edd.* *L.* 14. Βιθυνὸν *pro* Βίθυν *legendum censuit Sevinus; de quo dubitare licet.* *L.* 17. πρὸς Ῥωμαίων *Edd.* *Ibid. Verba,* καὶ τεσσαράκοντα, *deleta voluit Palmerius: defendit eadem Sevinus.* *L.* 18. *vulgatum* οὕτω μοι, *in* τούτων μοι *videtur mutandum. Posses forsan &* ὅτου μοι *legere: quod si præferas, erit minor distinctio post* συγγράφοντι *ponenda. Sed sic simul lin. sq.* ἦν, *post* Προυσίας, *in* ἐστὶ, *ni fallor, foret mutandum.* *L.* 19. συγγράφοντα *Edd.* τὰ Ῥωμαίοις συνάπτοντα *legendum putavit Palmerius. Secutus sum Aug. Ven. Vat.*

nacti, mansisse; regioneque, cui *Bebrycia* nomen erat, esse potitos. Alii, trajecisse in *Thracum Bithynorum* regionem ultra Byzantium, referunt, & juxta *Bithyam fluvium* consedisse: unde fame pulsos revertisse in *Bebryciam*, eamque mutato nomine, a fluvio quem reliquissent, *Bithyniam* adpellasse; aut etiam casu & flexu temporis nomen fuisse paulisper immutatum, quum non multum a *Bebrycia* nomine differat *Bithynia*. Hæc est nonnullorum, de nominis origine, sententia. Alii ferunt, *Bithym* primum genti illi imperasse, Jovis ex *Thrace* filium; & ab his regionem utramque denominatam.

2. Hæc præfari *de Bithynia* libuit. Ex regibus autem, qui ante Romanos Bithyniam, quadraginta novem numero, continua serie obtinuerunt, mihi Romanas Historias perscribenti, PRUSIAS maxime, cui *Venator* cognomen erat, commemorandus est. Is Persei, Ma-

A. U. φὴν ἐνηγγύησε. καὶ οὐ πολὺ ὕστερον Περσέως καὶ Ῥωμαίων ἐς χεῖρας ἐπ' ἀλλήλους ἰόντων, ὁ Προυσίας οὐδετέροις συν-
588. εμάχει. Περσέως δ' ἁλόντος, ἀπήντησε τοῖς Ῥωμαίων στρατηγοῖς, εἷμά τε Ῥωμαϊκὸν ἀμπεχόμενος, ὃ καλοῦσι τήβεννον, καὶ ὑποδήματα ἔχων Ἰταλικά, τὴν κεφαλὴν ἐξυρημένος, καὶ πῖλον ἐπικείμενος· (ᾧ τρόπῳ τινὲς προΐασι τῶν ἐν διαθήκαις ἐλευθερωθέντων·) αἰσχρὸς ὢν καὶ τἄλλα ὀφθῆναι, καὶ βραχύς. ἐντυχὼν δ' αὐτοῖς, ἔφη Ῥωμαϊστὶ τῷ ῥήματι· Ῥωμαίων εἰμὶ λίβερτος· ὅπερ ἐστὶν ἀπελεύθερος. γέλωτα δὲ παρασχὼν, ἐς Ῥώμην ἐπέμφθη· καὶ φανεὶς κἀνταῦθα γελοῖος, ἔτυχε συγγνώμης.

600. III. Χρόνῳ δ' ὕστερον Ἀττάλῳ τι χαλεπήνας, τῷ βασιλεῖ τῆς Ἀσίας τῆς περὶ τὸ Πέργαμον, τὴν γῆν ἐδῄου τὴν Ἀσιάδα. μαθοῦσα δ' ἡ Ῥωμαίων βουλὴ, προσέπεμπε τῷ Προυσίᾳ, μὴ πολεμεῖν Ἀττάλῳ, φίλῳ Ῥωμαίων ὄντι καὶ συμμάχῳ. καὶ δυσπειθῶς ἔτι ἔχοντι οἱ πρέσβεις μετ' ἀνατάσεως προσέτασσον, πείθεσθαι τοῖς ὑπὸ τῆς συγκλήτου λεγομένοις, καὶ ἥκειν μετὰ χιλίων ἱππέων ἔς τι μεθόριον ἐπὶ συνθήκαις· ἔνθα καὶ τὸν Ἄτταλον ἔφασαν

*Lin.* 26. ἐξυριμένος *edit.* 1.

cedonum regis, ſororem duxerat; &, exorto paulo poſt inter Perſeum & Romanos bello, neutras quidem adjuverat partes. *Capto* autem *Perſeo*, ducibus *Romanis togatus Pruſias occurrit*, & calceatus more Italico, raſo capite, pileatuſque, (quo cultu fere utuntur, qui ex teſtamento libertatem acceperunt:) deformi etiam alioqui facie, & puſilla ſtatura. Ad quos ubi acceſſit; Latine ad verbum dixit: *Populi Romani libertus ſum.* Riſerunt illi, & Romam miſerunt hominem: ubi, quum non minus viſus eſſet ridiculus, veniam impetravit.

3. Aliquanto poſt, infenſus *Pruſias* Attalo regi Pergamenæ Aſiæ, agros ejus vaſtavit. Quod ſenatus Romanus poſtquam cognovit, per legatos ei denunciavit, *ne Attalum, amicum ſociumque P. R. bello infeſtaret.* Quumque ille parere gravaretur, legati rigide ei mandarunt, aut pareret ſenatus juſſis, aut ad diſceptandum veniret cum mille equitibus ad confinia; ubi & Atta-

A. U. 600.

περιμένειν μετὰ τοσῶνδε ἑτέρων. Ὁ δὲ, ὡς ὀλίγων, τῶν σὺν Ἀττάλῳ καταφρονήσας, καὶ ἐλπίσας αὐτὸν ἐνεδρεύσειν, προύπεμπε τοὺς πρέσβεις, ὡς μετὰ χιλίων ἑπόμενος· πάντα δὲ ἀναστήσας τὸν στρατὸν, ἦγεν ὡς ἐς μάχην. Ἀττάλου δὲ καὶ τῶν πρέσβεων αἰσθομένων τε, καὶ διαφυγόντων ᾗ δυνατὸς αὐτῶν ἐγίγνετο ἕκαστος· ὅδε καὶ τῶν σκευοφόρων τῶν Ῥωμαϊκῶν ὑπολειφθέντων ἥπτετο, καὶ χωρίον τι Νικηφόριον ἐξελὼν κατέσκαπτε, καὶ τοὺς ἐν αὐτῷ νεὼς ἐνεπίμπρη· Ἄτταλόν τε, ἐς τὸ Πέργαμον συμφυγόντα, ἐπολιόρκει. μέχρι καὶ τῶνδε οἱ Ῥωμαῖοι πυθόμενοι, πρέσβεις ἑτέρους ἔπεμπον, οἳ τὸν Προυσίαν ἐκέλευον Ἀττάλῳ τὰς βλάβας ἀποτῖσαι. τότε οὖν καταπλαγεὶς ὁ Προυσίας ὑπήκουσε, καὶ ἀνεχώρει. ποινὴν δὲ τῶν πρέσβεων ὁρισάντων αὐτὸν ἐσενεγκεῖν Ἀττάλῳ, ναῦς καταφράκτους εἴκοσιν αὐτίκα, καὶ ἀργυρίου σὺν χρόνῳ τάλαντα πεντακόσια, τάς τε ναῦς ἔδωκε, καὶ τὰ χρήματα ἐν τῷ χρόνῳ συνέφερεν.

*Lin.* 46. ὑποληφθέντων *Aug. & Reg. A. a pr. m. Bene haberet* ἀποληφθέντων. *L.* 47 *sq. pro* τοὺς νεὼς, naves *posuit Cand. tamquam* τὰς νῆας *legisset.* *L.* 49. καὶ μέχρι τῶνδε *Edd.* *L.* 55. *pro* χρήματα, *iterum dant* τάλαντα *Edd.*

lum exspectare eum, ajebant, cum totidem aliis. Ille, contemta paucitate quæ erat circa Attalum; sperans, eum posse per insidias a se opprimi; præmisit legatos, quasi secuturus cum mille suis: sed, concitato universo exercitu, tamquam ad pugnam venit. Quod ubi intellexerunt Attalus & legati, diffugerunt qua quisque potuit. *Prusias* autem jumenta Romanorum cum impedimentis relicta, comprehendit; & castellum *Nicephorium* expugnavit diruitque, & templa, quæ in eo erant, incendit. Deinde Attalum, intra Pergamum compulsum, oppugnavit. Quibus rebus cognitis, senatus alios misit legatos, qui *Prusiam* juberent, *Attalo damna illata luere pecunia.* Tum demum *Prusias* territus, paruit atque recessit. Et quum statuissent legati, ut mulctæ loco viginti naves tectas statim Attalo traderet, & intra certum tempus quingenta argenti talenta; dedit naves, & definito tempore pecuniam solvere cœpit.

A. U. 606.

IV. Ὄντι δ' αὐτῷ διὰ μίσους τοῖς ὑπηκόοις ἐπὶ ὠμότητι χαλεπῇ, Νικομήδης υἱὸς ἦν, πάνυ τοῖς Βιθυνοῖς ἀρέσκων. ὅπερ ὁ Προυσίας ὑφορώμενος, ἐς Ῥώμην αὐτὸν βιοῦν μετεστήσατο. Καὶ μαθὼν εὐδοκιμοῦντα κἀκεῖ, προσέταξε τῆς βουλῆς δεηθῆναι, τῶν ἔτι ὀφειλομένων Ἀττάλῳ χρημάτων αὐτὸν ἀπολῦσαι. Μηνᾶν τε αὐτῷ συμπρεσβεύσοντα ἔπεμπε· καὶ εἴρητο τῷ Μηνᾷ, εἰ μὲν ἐπιτύχοι τῆς ἀφέσεως τῶν χρημάτων, ἔτι φείδεσθαι τοῦ Νικομήδους· εἰ δὲ ἀποτύχοι, κτείνειν αὐτὸν ἐν Ῥώμῃ. κερκούρους τέ τινας ἐς τοῦτο συνέπεμψεν αὐτῷ, καὶ δισχιλίους στρατιώτας. Ὁ δὲ, τῆς μὲν ζημίας οὐκ ἀφεθείσης τῷ Προυσίᾳ, (Ἀνδρόνικος γὰρ ἐπιπεμφθεὶς ἐς ἀντιλογίαν ὑπὸ Ἀττάλου, τὴν ζημίαν ἀπέφαινεν ἐλάττονα τῆς ἁρπαγῆς·) τὸν δὲ Νικομήδη λόγου καὶ σπουδῆς ἄξιον ὁρῶν, ἠπόρητο, καὶ οὔτε κτείνειν αὐτὸν ὑφίστατο, οὔτε αὐτὸς ἐς Βιθυνίαν ἐπανιέναι διὰ δέος. ὅμως δ' αὐτῷ βραδύνοντι, συνεὶς ὁ νεανίσκος, ἐς λόγους ἦλθεν, ἐθέλοντι

*Lin.* 57. διὰ μῖσος *edit.* 1. *L.* 62 *sq.* συμπρεσβεύοντα *Aug.* *L.* 65. εἰ δὲ ἀτύχοι *edit.* 3. *op. err.* *L.* 67. ἀφαιρεθείσης *edit.* 1. *ex Reg. A.*

4. Quum vero ſubditis exoſus eſſet *Pruſias* ob nimiam ſævitiam; *Nicomedes*, filius ejus, valde ab eiſdem diligebatur: & ideo ſuſpectum pater Romam miſit, ut ibi degeret. Quem poſtquam cognovit Romæ quoque gratioſum eſſe; mandavit ei, ut a ſenatu peteret, *remitti ſibi quod ſupererat pecuniæ Attalo debitæ*: addiditque ei *Menam*, qui ſimul legatione fungeretur. Cui clam mandatum dedit, *ſi impetraſſet remiſſionem pecuniæ, ut adhuc Nicomedi parceret; ſin minus, in urbe illum interficeret*: & ad hoc cercuros aliquot cum eo miſit, & duo millia militum. Is, quum nec mulcta remitteretur Pruſiæ, (nam Andronicus, ab Attalo ad contradicendum miſſus, demonſtravit, mulctam minorem eſſe quam rapinam;) & quum Nicomedem egregiæ & præclaræ indolis juvenem eſſe videret; inops conſilii, nec occidere eum auſus eſt, nec ipſe reverti in Bithyniam. Ita morantem *Menam Nicomedes*, ſuſpicatus aliquid, compellat, quum & ipſe conſilia conferre cum juvene cupiviſſet. *Con-*

κἀκείνῳ. συνθέμενοι δ᾽ ἐπιβουλεῦσαι τῷ Προυσίᾳ, τὸν Ἀτλάλου πρεσβευτὴν Ἀνδρόνικον ἐς τὸ ἔργον προσέλαβον, ἵνα τὸν Ἄτλαλον πείσειε τὸν Νικομήδη καταγαγεῖν ἐς Βιθυνίαν. Αναμείναντες δ᾽ ἀλλήλους ἐν τῇ Βερνίκῃ, πολισματίῳ τινὶ τῆς Ηπείρου, νυκτὸς ἐσβάντες ἐς ναῦν, ἅ τε δέοι ποιεῖν συνετίθεντο, καὶ διελύθησαν ἔτι νυκτός. A. U. 606.

V. Ἅμα δ᾽ ἡμέρᾳ, Νικομήδης μὲν ἐξέβαινε τῆς νεὼς, πορφύραν τε βασιλικὴν ἠμφιεσμένος, καὶ διάδημα ἐπικείμενος· Ανδρόνικος δ᾽ αὐτὸν ὑπαντιάσας τε καὶ βασιλέα προσειπὼν, παρέπεμπε μετὰ στρατιωτῶν ὧν εἶχε πεντακοσίων. Μηνᾶς δὲ, ὑποκρινάμενος τότε πρῶτον ᾐσθῆσθαι Νικομήδους παρόντος, ἐς τοὺς δισχιλίους διαδραμὼν, ἐδυσφόρει. προϊὼν δὲ τῷ λόγῳ· Δύο, ἔφη, βασιλέοιν, τοῦ μὲν ὄντος ἐν τῇ χώρᾳ, τοῦ δ᾽ ἐπιόντος, ἀναγκαῖον ἡμῖν τὸ σφέτερον εὖ διατίθεσθαι, καὶ τοῦ γενησομένου καλῶς τεκμαίρεσθαι· ὡς ἐν τῷδε τῆς ἡμετέρας σωτηρίας βεβαιουμένης, ἢν καλῶς προϊδώμεθα, πότερος αὐτῶν ἐπικρατήσει. ὁ μὲν δὴ γέρων ἐστὶν, ὁ δὲ

*Lin.* 77. ἐκ τῇ Βερν. *edit.* 1. *L.* 78. ἐπιβάντες *Edd.* *L.* 81. ἐμφιεσμ. *edit.* 1. *L.* 82. ὑπαντιάσας τότε καὶ *Vat.* *L.* 84. ὑποκρινόμενος *Edd.*

*ſpiraruntque in Pruſiam*, adſcito in ſocietatem *Andronico* Attali legato, qui regi ſuo perſuaderet, ut Nicomedem in Bithyniam deduceret. Ex compoſito igitur congreſſi apud *Berniceen*, oppidulum Epiri, noctu conſcenſa nave, quid agendum eſſet, collocuti ſunt; & ante diluculum diverſi diſceſſerunt.

5. Mane vero *Nicomedes* exſcendit navem, more regio purpuratus, & diademate redimitus. Cui mox *Andronicus* occurrit, & regem adpellatum deducebat cum quingentis, quos circa ſe habebat, militibus. MENAS vero, tum primum ſe ſenſiſſe *Nicomedis* præſentiam ſimulans, raptim ſuos bis mille adiit, velut indigne ferens factum. Procedente vero oratione: „Nunc, inquit, quum duos reges habeamus, quorum alter domi eſt, alter in itinere; nobis proſpiciendum rebus noſtris, ac de futuro recte conſulendum eſt: quandoquidem ab hoc noſtræ ſalutis firmitas pendet, ſi ſagaciter præviderimus, uter eorum futurus ſit potior. Jam vero ille, ſenex eſt; hic, juve-

A. U. 606.

νέος· καὶ Βιθυνοὶ τὸν μὲν ἀποστρέφονται, τὸν δὲ αἱροῦνται. Ῥωμαίων τε οἱ δυνατοὶ τὸν νεανίαν ἀγαπῶσι· καὶ Ἀνδρόνικος, αὐτὸν ἤδη δορυφορῶν, ὑποδείκνυσι τὴν Ἀττάλου συμμαχίαν, ἀρχήν τε μεγάλην ἔχοντος καὶ Βιθυνοῖς γειτονεύοντος, καὶ ἐκ πολλοῦ τῷ Προυσίᾳ πεπολεμωμένου. Λέγων δὲ ταῦθ᾽, ἅμα καὶ τὴν ὠμότητα τοῦ Προυσίου παρεγύμνου, καὶ ὅσα πονηρὰ πράξειεν ἐς ἅπαντας, καὶ τὸ κοινὸν ἐπὶ τοῖσδε Βιθυνῶν ἐς αὐτὸν ἔχθος. Ὡς δὲ κἀκείνους εἶδε τὴν Προυσίου μοχθηρίαν ἀποστρεφομένους, ἦγεν αὐτοὺς ἐς τὸν Νικομήδην αὐτίκα, καὶ προσειπὼν καὶ ὅδε βασιλέα δεύτερος ἐπὶ Ἀνδρονίκῳ, μετὰ τῶν δισχιλίων ἐδορυφόρει.

VI. Ἄτταλός τε τὸν νεανίαν προθύμως ὑπεδέχετο, καὶ τὸν Προυσίαν ἐκέλευσε, τῷ παιδὶ πόλεις τέ τινας ἐς ἐνοίκησιν, καὶ χώραν ἐς ἐφόδια, δοῦναι. Ὁ δ᾽, αὐτίκα δώσειν, ἔφη, τὴν Ἀττάλου βασιλείαν ἅπασαν· ἣν δὴ καὶ πρότερον Νικομήδῃ περιποιῶν, ἐς Ἀσίαν ἐσβαλεῖν. Ταῦτα δ᾽ εἰπὼν, ἔπεμπεν ἐς Ῥώμην τοὺς Νικομήδους καὶ Ἀττά-

*Lin.* 94. ἤδη δυσφορῶν *edit.* 1. *ex Reg. A.* *L.* 3. τῶν *ante* δισχιλ. *recepi ex Aug. & Ven.* *L.* 9. Νικομήδει *edit.* 2. 3.

„nis: Bithyni illum averſantur, hunc optant: Romanorumque optimates juvenem diligunt: & Andronicus, jam eum ſatellitio proſequens, promittit eidem ab Attalo auxilium, rege vicino Bithynis, & late regnante, vetereque Pruſiæ hoſte." Ad hæc ſimul *crudelitatem Pruſiæ*, detegens ejus in omnes patrata facinora, memorabat, & inde odium publicum. Ut vero, & ipſos *milites* abhorrere Pruſiam ob ſcelera, animadvertit *Menas*; ſtatim eos ad *Nicomedem adduxit*, & ſecundus *Regem eum adpellavit* poſt Andronicum, ſtipavitque duorum illorum millium ſatellitio.

6. *Attalus* vero, promte excepto juvene, *Pruſiam* juſſit, filio civitates aliquot ad inhabitandum & agros ad victum adtribuere. Cui *Pruſias* reſpondit, *mox ſe univerſum Attali regnum filio daturum, in cujus gratiam et ante invaſiſſet Aſiam.* Quo reſponſo dato, miſit Romam, qui accuſarent Nicomedem & Attalum, citarentque ambos in judici-

λου κατηγορήσοντάς τε, καὶ προκαλεσομένους ἐς κρίσιν. Οἱ δ' ἀμφὶ τὸν Ἄτταλον εὐθὺς ἐχώρουν ἐς τὴν Βιθυνίαν, καὶ προσιοῦσιν αὐτοῖς οἱ Βιθυνοὶ κατ' ὀλίγους προσετίθεντο. Προυσίας δ' ἅπασιν ἀπιστῶν, καὶ Ῥωμαίους ἐλπίζων αὐτὸν ἐξαιρήσεσθαι τῆς ἐπιβουλῆς, Διήγυλιν τὸν Θρᾷκα, κηδεστὴν ὄντα οἱ, πεντακοσίους Θρᾷκας αἰτήσας καὶ λαβὼν, τοῖσδε μόνοις τὸ σῶμα ἐπέτρεψεν, ἐς τὴν ἀκρόπολιν τὴν ἐν Νικαίᾳ καταφυγών. Ὁ δὲ Ῥωμαίων στρατηγὸς ἐν ἄστει οὔτε αὐτίκα ἐπῆγεν ἐπὶ τὴν βουλὴν τοὺς τοῦ Προυσίου πρέσβεις, χαριζόμενος Ἀττάλῳ· ἐπαγαγών τε ποτὲ, ψηφισαμένης τῆς βουλῆς, τὸν στρατηγὸν αὐτὸν ἑλέσθαι τε καὶ πέμψαι πρέσβεις, οἳ διαλύσουσι τὸν πόλεμον, εἵλετο τρεῖς ἄνδρας, ὧν ὁ μὲν τὴν κεφαλήν ποτε λίθῳ πληγεὶς, ἀσχήμονας ἐπέκειτο ὠτειλάς· ὁ δὲ τοὺς πόδας διέφθαρτο ὑπὸ ῥεύματος· ὁ δ' ἠλιθιώτατος ἐνομίζετο εἶναι. ὥστε Κάτωνα, τὴν πρεσβείαν ἐπισκώπτοντα, εἰπεῖν· τὴν πρεσβείαν ταύτην μήτε νοῦν ἔχειν, μήτε πόδας, μήτε κεφαλήν.

A. U. 606.

VII. Οἱ μὲν δὴ πρέσβεις ἐς Βιθυνίαν ἀφίκοντο, καὶ

*Lin.* 11. κατηγορήσαντας *Regii, Aug.* *Ib.* τε, *ex Aug. adjeci.* *L.* 12. τὴν *ante* Βιθυν. *adjeci ex Aug. & Ven.* *L.* 15. Διήγυλλιν *Edd. Secus Aug. Ven. Vat.*

um. Sed *Attalus* cum ſuis mox Bithyniam ingreſſus eſt; & ad eos paulatim Bithyni defecerunt. *Pruſias* vero, nemini ſe credens, & ſperans Romanos ſe erepturos ex inſidiis, a *Diegyle* Thrace, ſocero ſuo, quingentos Thracas petiit impetravitque; quibus ſolis commiſit corporis ſui cuſtodiam, & in arcem Nicææ cum eis ſe incluſit. At Romæ prætor urbanus, Attalo gratificans, non ſtatim ad ſenatum adduxit legatos Pruſiæ. Ac poſtquam tandem introduxit; juſſus a ſenatu legatos eligere, qui bellum componerent; elegit tres viros, quorum unus, ſaxo quondam in caput percuſſus, fœdas cicatrices præferebat: alter ex fluxione æger erat pedibus; tertius uſque ad ſtultitiam ſimplex habebatur: ita ut *Cato*, cavillans, *nec mentem habere legationem eam*, *nec pedes*, *nec caput*, diceret.

7. Legati, profecti in Bithy-

A. U. 606. προσέτασσον αὐτοῖς, τὸν πόλεμον ἐκλῦσαι. Νικομήδους δὲ καὶ Ἀττάλου συγχωρεῖν ὑποκρινομένων· οἱ Βιθυνοὶ, διδαχθέντες, ἔλεγον· οὐκ εἶναι δυνατοὶ φέρειν ἔτι τὴν ὠμότητα τὴν Προυσίου, φανεροὶ μάλιστα αὐτῷ γενόμενοι δυσχεραίνοντες. Οἱ μὲν δὴ πρέσβεις, ὡς οὔπω Ῥωμαίων τάδε πυθομένων, ἐπανῄεσαν ἄπρακτοι. Προυσίας δ', ἐπεὶ καὶ τὰ Ῥωμαίων ἀπέγνω, οἷς μάλιστα πιστεύων οὐδενὸς ἐς ἄμυναν ἐπεφροντίκει, μετῆλθεν ἐς Νικομήδειαν, ὡς κρατυνούμενος τὴν πόλιν, καὶ τοῖς ἐπιοῦσι πολεμήσων. οἱ δὲ, προδιδόντες αὐτὸν, τὰς πύλας ἀνέῳξαν. καὶ ὁ μὲν Νικομήδης ἐσῄει μετὰ τοῦ στρατοῦ. τὸν δὲ Προυσίαν ἐς ἱερὸν Διὸς καταφυγόντα συνεκέντησάν τινες ἐπιπεμφθέντες ἐκ τοῦ Νικομήδους. Οὕτω Νικομήδης ἀντὶ Προυσίου Βι-
664. θυνῶν ἐβασίλευε. Καὶ αὐτὸν, χρόνῳ τελευτήσαντα, Νικομήδης, ὁ υἱὸς, ᾧ Φιλοπάτωρ ἐπίκλησις ἦν, διεδέξατο· Ῥωμαίων αὐτῷ τὴν ἀρχὴν ὡς πατρῴαν ψηφισαμένων. Τὰ μὲν δὴ Βιθυνῶν ὧδε εἶχε. καὶ, εἴ τῳ σπουδὴ πάντα

*Lin.* 32. δυνατὸν *Vat. male.* *L.* 33. ὠμοτ. τοῦ Προυσ. *Edd.* *L.* 36. πιστ. ὡς οὐδενὸς *Edd.* *L.* 39. προδιδ. αὐτὴν *Aug.* προδιδ. αὐτοὶ *Vat.* αὐτίκα *videri potest legisse Cand.* *L.* 44. ὁ *ad* υἱὸς *carent Edd. Dedit Aug.*

niam, jusserunt partes ab armis discedere. *Nicomede* autem & *Attalo* simulantibus, se auctoritati senatus cedere; *Bithyni*, præmoniti, negabant, *se posthac ferre posse immanitatem Prusiæ; maxime, postquam deprehensi essent moleste ferre ejus imperium.* Sic legati, prætexta ea causa, quod nondum hæ querelæ ad senatum pervenissent, infecto negotio discesserunt. *Prusias*, desperata ope a Romanis, quibus fretus nulla paraverat auxilia, migravit Nicomediam, ut hac munita, adversus ingruentes hostes inde depugnaret. Sed oppidani, regem prodentes, aperuerunt portas; & *Nicomedes* cum exercitu introgressus est. *Prusiam* vero, religione fani Jovis se tutantem, *confoderunt* quidam immissi a filio. Sic NICOMEDES loco patris *regnum occupavit Bithyniæ.* Cui post diuturnum imperium fato functo, successit *filius* NICOMEDES, cognomine PHILOPATOR, ex S. C. in regno paterno confirmatus. Ita se res Bithyniæ habebant. Et, quodsi cui libet exitum ante cognoscere; [ne-

προμαθεῖν, υἱωνὸς τοῦδε ἕτερος Νικομήδης Ῥωμαίοις τὴν ἀρχὴν ἐν διαθήκαις ἀπέλιπε. *A. U.* 680.

VIII. ΚΑΠΠΑΔΟΚΙΑΣ δὲ πρὸ μὲν Μακεδόνων οἵτινες ἦρχον, οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴ τε ἰδίαν ἀρχὴν, εἴ τε Δαρείου κατήκουον. Ἀλέξανδρος δέ μοι δοκεῖ τοὺς ἄρχοντας τῶνδε τῶν ἐθνῶν ἐπὶ Φόρῳ καταλιπεῖν, ἐπειγόμενος ἐπὶ Δαρεῖον. Φαίνεται γὰρ καὶ Ἀμισὸν, ἐν Πόντῳ πόλιν Ἀττικοῦ γένους, ἐπὶ δημοκρατίαν, ὡς πάτριον σφίσι πολιτείαν, ἀγαγών. Ἱερώνυμος δὲ οὐδ᾽ ἐπιψαῦσαι τῶν ἐθνῶν ὅλως, ἀλλ᾽ ἀνὰ τὴν παράλιον τῆς Παμφυλίας καὶ Κιλικίας ἑτέραν ὁδὸν ἐπὶ τὸν Δαρεῖον τραπέσθαι. Περδίκκας δὲ, ὃς ἐπὶ Ἀλεξάνδρῳ τῆς Μακεδόνων ἦρχεν, Ἀριαράθην, Καππαδοκίας ἡγούμενον, εἴτε ἀφιστάμενον, εἴτε τὴν ἀρχὴν αὐτοῦ περιποιούμενος Μακεδόσιν, εἷλε καὶ ἐκρέμασε· καὶ ἐπέστησε τοῖς ἔθνεσιν Εὐμενῆ τὸν Καρδιανόν.

*Lin.* 47. προσμαθεῖν *edit.* 2. 3. *invitis MSS. Ibid. pro verbis* υἱωνὸς τοῦδε ἕτερος Νικομήδης, *Cand. ponit*: alterius autem Nicomedis filius. *Corruptus omnino locus, ac mutilus fortaſſe. L.* 53. ἐν Πόντῳ *carent Edd. L.* 55. *forſan* ἀναγαγών. *Ibid. mallem* τῶνδε τῶν ἐθνῶν. *L.* 57 *ſq.* Περδίκας *&* *mox* Περδίκα, *Edd. ut alibi. L.* 60. περιποιούμενον *Edd. invit. MSS.*

pos hujus, alius] Nicomedes populum Romanum teſtamento hæredem regni reliquit.

8. CAPPADOCIÆ qui *ante Macedonas* præfuerunt, proprium-ne habuerint regnum, an *Darii* imperio fuerint ſubjecti; haud ſatis compertum habeo. *Alexander* vero videtur harum gentium principes ea lege, ut tributum ipſi penderent, reliquiſſe, cum contra Darium properaret. Nam & *Amiſum*, Ponti civitatem, Atticæ originis, ab Alexandro libertate donatam, & popularem in ea adminiſtrationem, veluti patriam regiminis formam, reſtitutam eſſe comperimus. Quamquam *Hieronymus* ſcribit, ne attigiſſe quidem Alexandrum illas gentes; ſed alia via juxta maritimam Pamphyliæ & Ciliciæ oram, adverſus Darium eſſe profectum. *Perdicca* vero, qui poſt Alexandrum Macedonibus præfuit, *Ariarathem*, Cappadociæ præfectum, ſive propter defectionem, ſive ut regionem eam Macedonibus adquireret, captum, in crucem egit; *Eumenem*que *Cardianum* gentibus illis præpoſuit. Et Eume-

Εὐμενοῦς δὲ ἀναιρεθέντος, ὅτε αὐτὸν οἱ Μακεδόνες εἵλοντο εἶναι πολέμιον, Ἀντίπατρος, ἐπὶ τῷ Περδίκκᾳ τῆς ὑπὸ Ἀλεξάνδρῳ γενομένης γῆς ἐπιτροπεύων, Νικάνορα ἔπεμψεν Καππαδοκῶν σατραπεύειν.

A. U. 668. κοινὸν ὅλου τοῦ στρατοῦ γενέσθαι, συστῆναι διὰ τὴν ἀνωμαλίαν οὐκ ἔχοντος· τραπεῖσί τε αὐτοῖς ἄπορος διὰ τῶν κρημνῶν ἐγίγνετο ἡ φυγή. Ὁ μὲν δὴ τοιοῖσδε λογισμοῖς τῇ δυσχωρίᾳ μάλιστα πιστεύων, ἐπῄει, ὡς οὐδὲν ἐσομένου χρησίμου τοῦ πλήθους Ἀρχελάῳ. ὁ δ᾽ οὐκ ἐγνώκει μὲν αὐτῷ τότε συμπλέκεσθαι, διὸ καὶ ἀμελῶς ἐστρατοπέδευσεν. ἐπιόντος δὲ ἤδη, τῆς δυσχωρίας ὀψὲ καὶ μόγις ᾐσθάνετο· καὶ προὔπεμπέ τινας ἱππέας ἐς κώλυσιν αὐτοῦ. τραπέντων δ᾽ ἐκείνων, καὶ ἐς τοὺς κρημνοὺς καταῤῥιφθέντων, ἑξήκοντα αὖθις ἔπεμψεν ἅρματα, εἰ δύναιτο μετὰ τῆς ῥύμης κόψαι καὶ διαῤῥῆξαι τὴν φάλαγγα τῶν πολεμίων. διαστάντων δὲ τῶν Ῥωμαίων, τὰ μὲν ἅρματα ὑπὸ τῆς φορᾶς ἐς τοὺς ὀπίσω παρενεχθέντα τε καὶ δυσεπίστροφα ὄντα, πρὸς τῶν ὑστάτων περιστάντων αὐτὰ καὶ ἐσακοντιζόντων διεφθείρετο.

XLIII. Ὁ δ᾽ Ἀρχέλαος, δυνηθεὶς ἂν καὶ ὡς ἀπὸ τοῦ χάρακος εὐσταθῶς ἀπομάχεσθαι, τάχα οἱ καὶ τῶν κρη-

*Lin.* 83. ἀνομαλίαν *Aug.* *L.* 86. ἐποίει *Aug. pro* ἐπῄει. *L.* 87. πληθ. Ἀρχελάου *Aug.* *L.* 92. καταῤῥιφέντων *Edd.* *L.* 93. μετὰ ῥύμης & *carent* τῆς *Reg. A. Aug. Ven.*

mine non ſinerent exercitum vires in unum conferre, interrumpentibus aſpretis: quod ſi ſemel in fugam verterentur hoſtes, eædem rupes erant receptum impeditura. Hac maxime ratione locorum motus, *Sylla adgreſſus eſt hoſtem*, ne ei proforet copiarum multitudo. *Archelaus* autem nihil tum de pugna cogitabat; eamque ob cauſam negligentior fuerat in loco caſtris capiendo. Ac tunc demum, quum jam irruerent Romani, ægre atque ſero animadverterat loci iniquitatem. Tum vero partem equitatus ad reprimendum eorum impetum præmiſit. Profligatiſque equitibus, & in abrupta actis, rurſum ſexaginta quadrigas immiſit, ſi forte per earum impetum poſſet ſcindere ac interrumpere legionum ordines. Quas Romani, diſceſſione facta, ad ultimam uſque aciem ſiverunt prætervehi: ubi priuſquam retro verti poſſent, a triariis equi & aurigæ telis obruti & oppreſſi ſunt.

43. *Archelaus*, quum ſic quoque tuto potuiſſet ex vallo pugnare, protegentibus etiam

A. U. 668.

μνῶν ἐς τοῦτο συλλαμβανόντων, ἐξῆγε σὺν ἐπείξει, καὶ διέτασσε μετὰ σπουδῆς τοσόνδε πλῆθος οὐ προεγνωκότων ἀνδρῶν, ἐν στενοτάτῳ μάλιστα γεγονὼς, διὰ τὸν Σύλλαν ἤδη πλησιάζοντα. τοὺς δ᾽ ἱππέας πρώτους ἐπαγαγὼν μετὰ δρόμου πολλοῦ, διέτεμε τὴν φάλαγγα Ῥωμαίων ἐς δύο· καὶ εὐμαρῶς ἑκατέρους ἐκυκλοῦτο, διὰ τὴν ὀλιγότητα. οἱ δ᾽ ἀπεμάχοντο μὲν ἐγκρατῶς, ἐς πάντας ἐπιστρεφόμενοι. μάλιστα δ᾽ ἐπόνουν οἱ περὶ Γάλβαν τε καὶ Ὁρτήσιον, καθ᾽ οὓς αὐτὸς ὁ Ἀρχέλαος ἐτέτακτο· τῶν βαρβάρων, ὡς ἐν ὄψει στρατηγοῦ, σὺν προθυμίᾳ σφοδρᾷ ἐπικειμένων. μέχρι, τοῦ Σύλλα μεταχωροῦντος ἐς αὐτοὺς σὺν ἱππεῦσι πολλοῖς, ὁ Ἀρχέλαος ἀπὸ τῶν σημείων στρατηγικῶν ὄντων, καὶ τοῦ κονιορτοῦ πλείονος αἰρομένου, τεκμηράμενος εἶναι Σύλλαν τὸν ἐπιόντα, λύσας τὴν κύκλωσιν, ἐς τάξιν ἀνεχώρει. ὁ δὲ, τῶν τε ἱππέων τὸ ἄριστον ἄγων, καὶ δύο νεαλεῖς σπείρας ἐν τῇ παρόδῳ προσλαβὼν, αἳ ἐτετάχατο ἐφεδρεύειν, οὔπω τὸν κύκλον τοῖς πολεμίοις ἐξελίξασιν, οὐδ᾽ εἰς μέτωπον εὐσταθῶς

*Lin.* 3. στενωτάτῳ *Aug. ut solet.* *L.* 6. ἑκατέρους *caret Aug.* *L.* 14. τεκμαιρόμενος *Edd.* *L.* 15. ἐχώρει *Edd.* *L.* 17. ἃς ἐτετάχατο *Edd. ex Reg. B.*

rupibus, maluit propere & raptim tantam hominum multitudinem, qui de pugna ne cogitaverant quidem, in aciem educere; licet locorum etiam angustiis, quod *Sylla* jam esset in proximo, maxime impediretur. Immissis igitur primum equitibus, perrupit mediam Romanorum aciem; atque ita utrumque dimidium, propter paucitatem facile circumvenit. Repugnaverunt autem fortiter Romani, in orbem pugnantes. Sed maxime laboravere ii, quibus *Galba* & *Hortensius* præerant; quos ipse *Archelaus* urgebat oppositus, in cujus conspectu virtutem suam adprobare nitebantur barbari. Sed *Sylla* in eam partem cum multis equitibus adcurrente; *Archelaus*, ex imperatoriis insignibus & majore oborto pulvere, conjiciens, ipsum adventare, omissa circumventione, in justam aciem rediit. At *Sylla*, robur agens equitum, & adsumtis etiam in transitu duabus recentibus cohortibus, quæ in subsidiis fuerant collocatæ, hostes, priusquam ex orbe circum Romanos facto in rectam frontem se-

A. U. 668. διατεταγμένοις, ἐνέβαλε· καὶ θορυβήσας ἔκοψέ τε, καὶ ἐς φυγὴν τραπέντας ἐδίωκεν. Ἀρξαμένης δ᾽ ἐνταῦθα τῆς νίκης, οὐδὲ Μουρήνας ἠλίνυεν, ἐπὶ τοῦ λαιοῦ τεταγμένος, ἀλλ᾽ ὀνειδίσας τοῖς ἀμφ᾽ αὐτὸν, καὶ γενναίως ἐμπεσὼν, ἐδίωκε κἀκεῖνος.

XLIV. Τρεπομένων δ᾽ ἤδη τῶν Ἀρχελάου κερῶν, οὐδ᾽ οἱ μέσοι τὴν τάξιν ἐφύλασσον, ἀλλ᾽ ἀθρόα πάντων ἐγίγνετο φυγή. ἔνθα δὴ πάντα ὅσα εἴκασεν ὁ Σύλλας, ἐνέπιπτε τοῖς πολεμίοις. οὐ γὰρ ἔχοντες ἀναστροφὴν εὐρύχωρον, οὐδὲ πεδίον ἐς φυγὴν, ἐπὶ τοὺς κρημνοὺς ὑπὸ τῶν διωκόντων ἐωθοῦντο· καὶ αὐτῶν οἱ μὲν ἐξέπιπτον πρὸς αὐτὸν, οἱ δ᾽ εὐβουλότερον ἐς τὸ στρατόπεδον ἐφέροντο. Ἀρχέλαος δ᾽ αὐτοὺς προλαβὼν, ἀπειρότατα δὴ τότε μάλιστα συμφορῶν πολεμικῶν, ἀπέκλειε, καὶ ἐπιστρέφειν ἐς τοὺς πολεμίους ἐκέλευεν. οἱ δ᾽ ἀνέστρεφον μὲν ἐκ προθυμίας· οὔτε δὲ στρατηγῶν ἢ ἐπιστατῶν ἐς διάταξιν ἔτι σφίσι παρόντων, οὔτε τὰ σημεῖα ἕκαστοι τὰ ἑαυτῶν ἐπι-

*Lin.* 21. ἠλλίνυεν *Regii*, *vit.* ἠλίννυεν *Aug. Vat. non male.* *L.* 22. ἐφ᾽ αὐτὸν *edit.* 1. ὑφ᾽ αὐτὸν *Regii.* ſub ſe *Cand.* *Retinui emend. H. Steph. cum qua conſentiunt, ni fallor, Ven. & Vat. nec procul abeſt mendoſum* ἀφ᾽ αὐτὸν, *quod dat Aug.*

ſe ordine explicaſſent, invaſit, turbatoſque perrupit, & in fugam verſos perſecutus eſt. Mox cœptam hac parte victoriam *Murena* in lævo cornu adjuvit non ſegniter: increpitiſque quos circa ſe habebat, ipſe quoque fortiter impetum fecit, & oppoſitos hoſtes in fugam compulit.

44. Ita *profligato utroque cornu Archelai*, ne medii quidem ſubſtiterunt, ſed *una* erat *fuga omnium.* Tunc igitur omnia hoſtibus accidebant, quæ eventura conjecerat *Sylla.* Nam anguſtiis impediti, quum fugæ non pateret locus, in abrupta protrudebantur ab inſequentibus; & pars, dum elabi conatur, in ipſorum Romanorum incidebat manus. Alii quidem prudentiori conſilio caſtra ſua repetebant. At hos anteverterat *Archelaus*, & reditu excluſos, adverſus hoſtem reverti juſſit; maximam hac quidem re imperitiam caſuum belli prodens. Et parebant illi quidem alacriter: ſed quum jam nec duces aut præfecti illis adeſſent, qui inſtaurarent ordines, nec ſigna quiſque ſua diſcernerent, in-

γιγνώσκοντες, ὡς ἐν ἀκόσμῳ τροπῇ διεῤῥιμμένοι, χωρίου τε καὶ ἐς φυγὴν καὶ ἐς μάχην ἀποροῦντες, στενοτάτου τότε μάλιστα αὐτοῖς διὰ τὴν δίωξιν γενομένου· ἐκτείνοντο μετὰ ἀργίας, οἱ μὲν ὑπὸ τῶν πολεμίων, οὐδὲν ἀντιδρᾶσαι φθάνοντες· οἱ δὲ ὑπὸ σφῶν αὐτῶν, ὡς ἐν πλήθει καὶ στενοχωρίᾳ θορυβούμενοι. πάλιν τε κατέφυγον ἐπὶ τὰς πύλας, καὶ εἰλοῦντο περὶ αὐτάς, ἐπιμεμφόμενοι τοῖς ἀποκλείουσι. θεούς τε πατρίους αὐτοῖς καὶ τὴν ἄλλην οἰκειότητα σὺν ὀνείδει προὔφερον, ὡς οὐχ ὑπὸ τῶν ἐχθρῶν μᾶλλον ἢ τῶνδε ὑπερορώντων αὐτοὺς ἀναιρούμενοι· ἔστε μόλις αὐτοῖς ὁ Ἀρχέλαος, ὀψὲ τῆς χρείας, ἀνεῴγνυ τὰς πύλας, καὶ ὑπεδέχετο μετὰ ἀταξίας ἐστρέχοντας. Οἱ δὲ Ῥωμαῖοι, ταῦτα συνιδόντες, καὶ παρακαλέσαντες τότε μάλιστα ἀλλήλους, δρόμῳ τοῖς φεύγουσι συνέπιπτον ἐς τὸ στρατόπεδον, καὶ τὴν νίκην ἐς τέλος ἐξειργάσαντο. *A. U. 668.*

XLV. Ἀρχέλαος δὲ, καὶ ὅσοι ἄλλοι κατὰ μέρος ἐξέφυγον, ἐς Χαλκίδα συνελέγοντο, οὐ πολὺ πλείους μυ-

*Lin.* 36. διεῤῥιμμένων *Edd.* *L.* 37. στενατ. *Aug.* *L.* 42. εἰλοῦντο *Edd.*

condita quippe fuga omnes disjecti, prætérea nec pugnæ locum nec fugæ haberent, coacti tunc maxime propter insequentes hostes in summas angustias; trucidabantur impune, vel ab hostibus, quibus jam nihil amplius damni inferre ipsi poterant, vel a suis, ut fit in constipata ac tumultuante turba. Itaque portas iterum petentes, circa eas glomerabantur; hosque, qui se excluderent, objurgabant, communia eis sacras ceterasque necessitudines inter convicia exprobrantes; ac, *non tam ab hostibus sese perdi*, vociferantes, *quam ab his ipsis sese despicientibus.* Et ægre tandem *Archelaus*, serius quidem quam usus postulabat, portam aperuit, & confusis ordinibus ruentes recepit. Quod conspicati *Romani*, mutuo se cohortantes, simul cum fugientibus *in castra irruperunt*, & supremam manum imposuerunt victoriæ.

45. Archelaus, & quotquot alii passim diffugerant, ad Chalcidem congregabantur; *e centum viginti millibus*, non multo plus quam *decies mil-*

A. U. 668. ρίων, ἐκ δυώδεκα μυριάδων, γενόμενοι. Ῥωμαίων δὲ ἔδοξαν μὲν ἀποθανεῖν πεντεκαίδεκα ἄνδρες, δύο δ᾽ αὐτῶν ἐπανῆλθον. Τοῦτο μὲν δὴ Σύλλᾳ καὶ Ἀρχελάῳ, τῷ Μιθριδάτου στρατηγῷ, τῆς περὶ Χαιρώνειαν μάχης τέλος ἦν· δι᾽ εὐβουλίαν δὴ μάλιστα Σύλλα, καὶ δι᾽ ἀφροσύνην Ἀρχελάου, τοιόνδε ἑκατέρῳ γενόμενον. Σύλλας δὲ, πολλῶν μὲν αἰχμαλώτων, πολλῶν δ᾽ ὅπλων καὶ λείας κρατῶν, τὰ μὲν ἀχρεῖα σωρευθέντα, διαζωσάμενος, ὡς ἔθος ἐστὶ Ῥωμαίοις, αὐτὸς ἐνέπρησε τοῖς ἐνυαλίοις θεοῖς. Ἀναπαύσας δὲ τὴν στρατιὰν ἐπ᾽ ὀλίγον, ἐς τὸν Εὔριπον σὺν εὐζώνοις ἐπὶ τὸν Ἀρχέλαον ἠπείγετο. Ῥωμαίων δὲ ναῦς οὐκ ἐχόντων, ἀδεῶς τὰς νήσους περιέπλει, τὰ παράλια πορθῶν. Ζακύνθῳ δ᾽, ἐκβὰς, παρεστρατοπέδευσε. καί τινων Ῥωμαίων, οἳ ἐπεδήμουν, νυκτὸς ἐπιθεμένων αὐτῷ, κατὰ τάχος ἐσβὰς, αὖθις ἀνήγετο ἐς Χαλκίδα, λῃστεύοντι μᾶλλον ἢ πολεμοῦντι ἐοικώς.

XLVI. Μιθριδάτης

*Lin.* 54. δυώδεκα *Edd. Secus Aug.* *L.* 58. δὴ *carent Edd.* *L.* 59. ἑκατέρᾳ *edit.* 2. 3. *L.* 64. *Forsan* Ὁ δὲ, Ῥωμαίων ναῦς *&c. ni potius lin. sq. post* νήσους *inserendum nomen* ὁ Ἀρχέλαος. *L.* 67. οἳ ἐπιδήμουν *edit.* 1. *ex Reg. B.* οἱ ἐπιδημούντων *Reg. A.* *L.* 68. κατὰ τάχος ἐκβὰς *Edd.*

*le superstites.* E *Romanis* primum *quindecim viri desiderati* sunt; ex quibus ipsis duo deinde redierunt, falso periisse crediti. *Hoc eventu* SYLLA *cum* ARCHELAO, *Mithridatis duce*, *pugnavit ad Chæroneam;* ad quem quidem pugnæ eventum *prudentia* potissimum *Syllæ*, & *inconsiderantia Archelai*, plurimum contulerunt. *Sylla*, magno numero captivorum multisque armis & alia præda potitus, *inutilia spolia* coacervata, Romano more *accinctus*, *cremavit*, *diis sacrata belli præsidibus.* Tum vero paululum temporis militi ad quietem dato, ad *Euripum* cum expeditis properavit adversus *Archelaum*. Sed ille, quoniam Romani classe carebant, secure per insulas vagabatur, maritimas oras depopulans. *Zacynthum* etiam, facta exscensione, obsedit: sed a Romanis quibusdam, ibi peregrinantibus, noctu invasus, celeriter conscensis navibus, Chalcidem rediit, piratæ quam bellatori similior.

46. *Mithridates*

XLVI. Μιθριδάτης δ᾽ ἐπεὶ τοσῆσδε ἥττης ἐπύθετο, κατεπλάγη μὲν αὐτίκα, καὶ ἔδεισεν, ὡς ἐπὶ ἔργῳ τοσούτῳ· στρατιὰν δ᾽ ὅμως ἄλλην ἀπὸ τῶν ὑπ᾽ αὐτὸν ἐθνῶν ἁπάντων κατὰ σπουδὴν συνέλεγε. Νομίσας δ᾽ ἄν τινας αὐτῷ, διὰ τὴν ἧτταν, ἢ νῦν, ἢ εἴ τινα καιρὸν ἄλλον εὕροιεν, ἐπιθήσεσθαι, τοὺς ὑπόπτους οἱ πάντας, πρὶν ὀξύτερον γενέσθαι τὸν πόλεμον, ἀνελέγετο· καὶ πρῶτα μὲν τοὺς Γαλατῶν τετράρχας, ὅσοι τε αὐτῷ συνῆσαν ὡς φίλοι, καὶ ὅσοι μὴ κατήκουον αὐτοῦ, πάντας ἔκτεινε, μετὰ παίδων καὶ γυναικῶν, χωρὶς τριῶν τῶν διαφυγόντων· τοῖς μὲν ἐνέδρας ἐπιπέμψας, τοὺς δ᾽ ἐπὶ διαίτῃ μιᾶς νυκτός· οὐχ ἡγούμενος αὐτῶν οὐδένα οἱ βέβαιον, εἰ πλησιάσοι Σύλλας, ἔσεσθαι. σφετερισάμενος δ᾽ αὐτῶν τὰς περιουσίας, φρουρὰς ἐσῆγεν ἐς τὰς πόλεις, καὶ σατράπην ἐς τὸ ἔθνος Εὔμαχον ἔπεμψεν· ὃν αὐτίκα τῶν τετραρχῶν οἱ διαφυγόντες, στρατιὰν ἀγείραντες ἀπὸ τῶν ἀγρῶν, ἐξέβαλον αὐταῖς φρουραῖς, διώκοντες ἐκ Γαλατίας. καὶ Μιθριδάτῃ περιῆν, Γαλατῶν ἔχειν τὰ χρήματα.

A. U. 668.

*Lin.* 72. ὑφ᾽ αὐτὸν *Edd. ex Reg. A.* *L.* 81 *sq.* πλησιάσει *Edd.* πλησιάσῃ *Reg. B. a pr. man. Prætuli Aug.* *L.* 84. ἔπεμπεν *Edd.*

46. *Mithridates* vero, ad tantæ cladis nuncium, terrore quidem, ut par erat, timoreque perculsus est; at protinus tamen novas copias ex omnibus sibi subjectis gentibus contraxit. Ratusque, non defore qui sibi victo, vel nunc, vel per proximam quamque occasionem, structuri sint insidias; suspectos omnes, priusquam gravius ingrueret bellum, collegit. Ac primum quidem *Gallogræcorum tetrarchas*, cum quos circa se habebat in amicorum cohorte, tum qui ei non erant subjecti, *necavit omnes* cum liberis & uxoribus; exceptis tribus, fuga servatis. Illorumque alios insidiis oppressit, alios una nocte peremit in convivio; putans, nullum eorum in fide mansurum, si Sylla adveniret. Bonisque eorum fisco suo adtributis, in civitates induxit præsidia, & genti satrapam *Eumachum* imposuit. Quem protinus illi ex tetrarchis, qui evaserant, collecto ex agris exercitu, ejecerunt cum suis præsidiis e Gallogræcia; ut *Mithridates* nihil ex ea gente reliquum haberet, præter pecuniam.

A. U. 668. μόνα. Χίοις δὲ μηνίων, ἐξ οὗ τις αὐτῶν ναῦς ἐς τὴν βασιλικὴν ἐν τῇ περὶ Ῥόδον ναυμαχίᾳ λαθοῦσα ἐνέβαλε, πρῶτα μὲν ἐδήμευσε τὰ ὄντα Χίοις τοῖς ἐς Σύλλαν φυγοῦσιν· ἑξῆς δ᾽ ἔπεμπε τοὺς τὰ Ῥωμαίων ἐρευνησομένους ἐν Χίῳ. καὶ τρίτον, Ζηνόβιος στρατιὰν ἄγων, ὡς ἐς τὴν Ἑλλάδα διαβαλῶν, τὰ τείχη τῶν Χίων, καὶ ὅσα ἄλλα ἐρυμνὰ χωρία, τῆς νυκτὸς κατέλαβε· καὶ ταῖς πύλαις φρουρὰν ἐπιστήσας, ἐκήρυσσε, τοὺς μὲν ξένους ἀτρεμεῖν, Χίους δὲ ἐς ἐκκλησίαν συνελθεῖν, ὡς διαλεξόμενος αὐτοῖς τι παρὰ τοῦ βασιλέως. ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν· ὅτι, Βασιλεὺς ὕποπτον ἔχει τὴν πόλιν, διὰ τοὺς ῥωμαΐζοντας· παύσεται δὲ, ἐὰν τά τε ὅπλα παραδῶτε, καὶ ὅμηρα τῶν παίδων τοὺς ἀρίστους. Οἱ μὲν δὴ, κατειλημμένην σφῶν τὴν πόλιν ὁρῶντες, ἔδοσαν ἄμφω· καὶ Ζηνόβιος αὐτὰ ἐς Ερυθρὰς ἐξέπεμψεν, ὡς αὐτίκα τοῖς Χίοις γράψοντος τοῦ βασιλέως.

XLVII. Επιστολὴ δὲ ἧκε Μιθριδάτου, τάδε λέγουσα·

*Lin.* 88. *μηνύων edit.* 1. *L.* 91. qui in factionem Romanam inquirerent *Gelen.* & *Freinsh.* *L.* 97. *περὶ τοῦ βασιλ. Edd.* *L.* 99. *ἐάν τι τὰ ὅπλα Edd.* *L.* 5. Μιθριδ. *ἧκε λέγουσα Edd.* & *carent τάδε.*

CHIIS quoque *iratus*, ex quo navis eorum aliqua imprudens in regiam impegerat in navali contra Rhodios prælio, primum publicavit bona civium qui ad Syllam profugerant. Deinde misit, qui in possessiones, quas Romani apud Chios haberent, inquirerent. Postremo *Zenobius* cum exercitu, quasi trajecturus in Græciam, ad *Chium* classe adpulsa, muros Chiorum & munitiora quæque loca noctu occupavit: additisque ad portas custodiis, per præconem edixit, *ut hospites quieti manerent, Chii vero convenirent in concionem, audituri mandata regis.* Quod ubi factum est, dixit: *suspectam esse regi civitatem, propter Romanæ factionis homines: ei suspicioni remedium fore, si arma tradiderint, et obsides selectos, optimatum liberos.* Illi, occupatam urbem suam cernentes, utrumque dederunt. *Zenobius* omnia Erythras misit, & *Chios* regias literas exspectare jussit.

47. Moxque advenerunt MITHRIDATIS *ad Chios* LITERÆ, scriptæ in hanc sententiam: „ Favetis nunc quoque

Εὖνοι καὶ νῦν ἐστὲ Ῥωμαίοις, ὧν ἔτι πολλοὶ παρ' ἐκείνοις εἰσί· καὶ τὰ ἐγκλήματα Ῥωμαίων καρποῦσθε, ἡμῖν οὐκ ἀναφέροντες. ἐς τε τὴν ἐμὴν ναῦν ἐν τῇ περὶ Ῥόδον ναυμαχίᾳ τριήρης ὑμετέρα ἐνέβαλέ τε καὶ κατέσεισεν. ὃ ἐγὼ περιέφερον ἑκὼν ἐς μόνους τοὺς κυβερνήτας, εἰ δύναισθε σώζεσθαι, καὶ ἀγαπᾶν. Λανθάνοντες δὲ καὶ νῦν τοὺς ἀρίστους ὑμῶν ἐς Σύλλαν διεπέμψατε, καὶ οὐδένα αὐτῶν ὡς οὐκ ἀπὸ τοῦ κοινοῦ ταῦτα πράττοντα ἐνεδείξατε, οὐδ' ἐμηνύσατε· ὃ τῶν οὐ συμπεπραχότων ἔργον ἦν. Τοὺς οὖν ἐπιβουλεύοντας μὲν τῇ ἐμῇ ἀρχῇ, ἐπιβουλεύσαντας δὲ καὶ τῷ σώματι, οἱ μὲν ἐμοὶ φίλοι ἐδικαίουν ἀποθανεῖν· ἐγὼ δ' ὑμῖν τιμῶμαι δισχιλίων ταλάντων. Τοσαῦτα μὲν ἡ ἐπιστολὴ περιεῖχεν. Οἱ δ' ἐβούλοντο μὲν ἐς αὐτὸν πρεσβεῦσαι· Ζηνοβίου δὲ κατακωλύοντος, ὅπλων τε ἀφηρημένοι, καὶ παίδων σφίσι τῶν ἀρίστων ἐχομένων, στρατιᾶς τε βαρβαρικῆς τοσαύτης ἐφεστώσης, οἰμώζοντες, ἔκ τε ἱερῶν κόσμους, καὶ τὰ τῶν γυναικῶν πάντα, ἐς

A. U. 668.

*Lin. 7. mendoſum* ἐνστήματα *in* ἐγκλήματα *mutavi.* *L.* 10. δύνασθε *Aug.* δύνεσθε *Reg. B.*

„Romanis, apud quos adhuc multi ſunt ex veſtris civibus: & prædiis, quæ Romanorum ſunt in veſtra inſula, vos fruimini, neque illa nobis in cenſum refertis. Navem etiam meam, Rhodienſi prælio, veſtra triremis impacta concuſſit: quam culpam libenter ego in ſolos gubernatores rejeci, ſperans, forte ſervari vos poſſe, neque ulterius progreſſuros flagitiorum. At vos clam optimates veſtros ad Syllam miſiſtis: quorum neminem umquam detuliſtis, quod abſque conſenſu publico id fecerit; ſicut decuiſſet eos, qui conſilii illo„rum non fuiſſent participes. Quamvis igitur adverſarii regni mei & ipſius vitæ inſidiatores commeruiſſetis, ex amicorum meorum ſententia, ut capitaliter in vos animadverteretur; malo tamen vos mulctare duobus talentorum millibus." Hoc erat *argumentum epiſtolæ.* Quo audito, petebant *Chii*, ut ſibi liceret legatos ad regem mittere: ſed *Zenobio* ne id quidem permittente, exarmati, & datis obſidibus obſtricti, imminente tanto exercitu barbarico, gementes, ornamenta templorum & mundum muliebrem confere-

A. U. 668. τὸ πλήρωμα τῶν δισχιλίων ταλάντων, συνέφερον. ὡς δὲ καὶ ταῦτ' ἐπεπλήρωτο, αἰτιασάμενος τὸν σταθμὸν ἐνδεῖν ὁ Ζηνόβιος, ἐς τὸ θέατρον αὐτοὺς συνεκάλει· καὶ τὴν στρατιὰν περιστήσας μετὰ γυμνῶν ξιφῶν ἀμφί τε τὸ θέατρον αὐτὸ καὶ τὰς ἀπ' αὐτοῦ μέχρι τῆς θαλάσσης ὁδοὺς, ἦγε τοὺς Χίους, ἀνιστὰς ἕκαστον ἐκ τοῦ θεάτρου, καὶ ἐνετίθετο ἐς τὰς ναῦς, ἑτέρωθι μὲν τοὺς ἄνδρας, ἑτέρωθι δ' αὐτῶν τὰ γύναια καὶ τὰ παιδία, βαρβαρικῶς ὑπὸ τῶν ἀγόντων ὑβριζόμενα. ἀνάσπαστοι δ' ἐντεῦθεν ἐς Μιθριδάτην γενόμενοι, διεπέμφθησαν ἐς τὸν Πόντον τὸν Εὔξεινον. καὶ Χῖοι μὲν ὧδε ἐπεπράχεσαν.

XLVIII. Ζηνόβιον δὲ Ἐφέσιοι μετὰ στρατιωτῶν προσιόντα ἐκέλευον ἐξοπλίσασθαί τε παρὰ ταῖς πύλαις, καὶ σὺν ὀλίγοις ἐσελθεῖν. ὁ δ' ὑπέστη μὲν ταῦτα, καὶ ἐσῆλθε πρὸς Φιλοποίμενα τὸν πατέρα Μονίμης, τῆς ἐρωμένης Μιθριδάτου, ἐπίσκοπον Ἐφεσίων ἐκ Μιθριδάτου καθεστηκότα· καὶ συνελθεῖν οἱ τοὺς Ἐφεσίους ἐς ἐκκλησίαν ἐκήρυττεν. Οἱ δὲ, οὐδὲν χρηστὸν ἔσεσθαι παρ' αὐτοῦ προσδο-

*Lin.* 28. τοὺς χιλίους *mend. Aug. Ven.* *L.* 32. τὸν, *ante* Πόντον, *caret Aug.* *L.* 39 *sq.* ἐκήρυσσεν *Aug. ut mox Edd.*

bant, ut duo millia talentorum conficerent. Quibus confectis, *Zenobius*, caussatus deesse aliquid justo ponderi, convocavit eos in theatrum: deinde, dispositis cum circa ipsum theatrum, tum circa vias quæ inde ad mare ferebant, militibus cum strictis gladiis, singulos e theatro evocatos navibus jussit imponi, seorsim viros, seorsim pueros ac mulieres; quibus etiam barbarico more illudebant vectores. Ita domo ad Mithridatem *transportati Chii*, ab eo *in Pontum Euxinum* dimissi sunt. Et hic quidem Chiorum fuit casus.

48. At *Ephesii Zenobium*, cum militibus accedentem, jusserunt ad portam arma deponere, & cum paucis in urbem ingredi. Tulit hoc ille: & divertens ad *Philopæmenem*, *patrem Monimæ*, adamatæ a Mithridate, quem rex præsidem ac custodem ei civitati reliquerat, per præconem ad concionem evocavit *Ephesios*. Qui, nihil benignum ab eo exspectantes, distule-

κῶντες, ἐς τὴν ἐπιοῦσαν ἀνέθεντο. καὶ νυκτὸς ἀλλήλους ἀγείραντές τε καὶ παρακαλέσαντες, Ζηνόβιον μὲν ἐς τὸ δεσμωτήριον ἐμβαλόντες ἔκτειναν, καὶ τὰ τείχη κατεῖχον, καὶ τὸ πλῆθος συνελόχιζον, καὶ τὰ ἐκ τῶν ἀγρῶν συνέλεγον, καὶ τὴν πόλιν ὅλως διὰ χειρὸς εἶχον. Ὧν πυνθανόμενοι Τραλλιανοὶ καὶ Ὑπαιπηνοὶ καὶ Μεσοπολῖται, καί τινες ἄλλοι, τὰ Χίων πάθη δεδιότες, ὅμοια τοῖς Ἐφεσίοις ἔδρων. Μιθριδάτης δ' ἐπὶ μὲν τὰ ἀφεστηκότα στρατιὰν ἐξέπεμπε, καὶ πολλὰ καὶ δεινὰ τοὺς λαμβανομένους ἔδρα. δείσας δὲ περὶ τοῖς λοιποῖς, τὰς πόλεις τὰς Ἑλληνίδας ἠλευθέρου, καὶ χρεῶν ἀποκοπὰς αὐτοῖς ἐκήρυσσε, καὶ τοὺς ἐν ἑκάστῃ μετοίκους πολίτας αὐτῶν ἐποίει, καὶ τοὺς θεράποντας, ἐλευθέρους· ἐλπίσας (ὅπερ δὴ καὶ συνηνέχθη) τοὺς καταχρέως καὶ μετοίκους καὶ θεράποντας, ἡγουμένους ἐν τῇ Μιθριδάτου ἀρχῇ βεβαίως τὰ δοθέντα αὐτοῖς ἕξειν, εὔνους αὐτῷ γενήσεσθαι. Μυννίων

A. U. 668.

*Lin.* 44. *χ in* συνελόχιζον *duobus punctis notatum in Aug. ab ead. manu, & superscr.* γ. *L.* 46. Ὑπαπηνοὶ *Edd. Ibid. an* Μητροπολῖται? *L.* 49. καὶ, *post* πολλὰ, *carent Edd. Dederunt Aug. Vat. L.* 55. ἐν *caret Aug. Ibid.* ἀρχῇ οὐ βεβαίως *Edd. L.* 56. εὔνους αὐτῷ *edit.* 2. 3. *Ibid.* Μυνίων *Edd. ex Reg. A.* Minion *Cand.*

runt rem in posterum diem; & noctu congregati cohortatique se mutuo, *Zenobium* in carcerem trusum *necarunt:* simulque occupabant mœnia, multitudinem centuriabant, fruges ex agris comportabant, ac tota urbe sedulo omnia ad defendendum comparabant. Quibus auditis, *Tralliani*, *Hypæpeni*, *Messopolitæ*, & alii nonnulli, Chiorum calamitate perterriti, Ephesiorum exemplum imitabantur. *Mithridates* autem, misso contra descifcentes exercitu, multis modis sæviebat in eos quos in potestatem recepit suam. Sed & ceterorum timens defectionem, *civitates Græcas libertate donavit*, debitoribus remissionem per præconem annuncians, inquilinis vero jus civitatis in suo cuique oppido, & servis libertatem: sperans fore, quod & accidit, ut obærati, inquilini, servique, nonnisi sub Mithridatis imperio firmiter se possessuros recens concessa arbitrantes, potentiam ipsius propugnarent acriter. Interea

A. U. 668. δὲ καὶ Φιλότιμος, οἱ Σμυρναῖοι, καὶ Κλεισθένης καὶ Ἀσκληπιόδοτος, οἱ Λέσβιοι, βασιλεῖ γνώριμοι πάντες (ὁ δὲ Ἀσκληπιόδοτος αὐτὸν καὶ ξεναγήσας ποτὲ) ἐπιβουλὴν ἐπὶ τὸν Μιθριδάτην συνετίθεσαν· ἧς αὐτὸς ὁ Ἀσκληπιόδοτος μηνυτὴς ἐγένετο, καὶ ἐς πίστιν ὑπὸ κλίνῃ τινὶ παρεσκεύασεν ἀκοῦσαι τοῦ Μυννίωνος. ἁλούσης δὲ τῆς ἐπιβουλῆς, οἱ μὲν, αἰκισθέντες ἐκολάσθησαν· ὑποψία δ᾽ ἐς τὰ ὅμοια πολλοὺς κατεῖχεν. ὡς δὲ καὶ Περγαμηνῶν τὰ αὐτὰ βουλεύοντες ὀγδοήκοντα ἄνδρες ἑάλωσαν, καὶ ἐν ἄλλαις πόλεσιν ἕτεροι, ζητητὰς ὁ Μιθριδάτης πανταχοῦ περιέπεμπεν, οἳ, τοὺς ἐχθροὺς ἐνδεικνύντων ἑκάστων, ἔκτειναν ἀμφὶ τοὺς χιλίους καὶ ἑξακοσίους ἄνδρας. ὧν οἱ κατηγορήσαντες, οὐ πολὺ ὕστερον, οἱ μὲν ὑπὸ Σύλλα ληφθέντες διεφθάρησαν, οἱ δὲ προανεῖλον ἑαυτοὺς, οἱ δ᾽ εἰς τὸν Πόντον αὐτῷ Μιθριδάτῃ συνέφευγον.

XLIX. Γιγνομένων δὲ τῶνδε περὶ τὴν Ἀσίαν, ὀκτὼ μυριάδων στρατὸς ἤθροιστο τῷ Μιθριδάτῃ· καὶ αὐτὸν Δορύ-

*Lin.* 59. αὐτῷ καὶ ξεναγ. (dux aliquando mercenariorum regis militum.) *Edd. ex Reg. A. Ab hac voce duas lineas omisit Reg. B. L.* 62. Μυνίωνος *edit.* 2. 3. *L.* 64. πολλοὺς εἶχεν *Edd. L.* 65. ὀγδοήκοντα ἄνδρες *caret Vat. L.* 69. ληφθέντες *carent Edd. Dederunt Aug. Vat.*

*Mynnio* & *Philotimus*, Smyrnæi, *Chisthenes* & *Asclepiodotus*, Lesbii, cuncti familiares regis, (Asclepiodotus vero hospitio etiam eum olim exceperat;) *conspirarunt in Mithridatem.* Cujus conspirationis ipse Asclepiodotus index fuit; &, ut verbis suis fidem pararet, effecit, ut rex lecto quodam tectus Mynnionem audiret. Ita proditis insidiis, socii conspirationis excruciati perierunt. Sed simul eadem suspicio alios multos pressit. Ut vero etiam *Pergami* LXXX. viri similia agitasse consilia deprehensi sunt, & in aliis civitatibus alii; scrutatores ubique circummisit rex; qui, quum inimicos suos quisque indicaret, sustulerunt circiter MDC. homines. Accusatores vero ipsi non multo post aut a *Sylla* sunt adfecti supplicio, aut seipsos interemerunt, aut fugienti in Pontum *Mithridati* se adjunxerunt comites.

49. Quæ dum in Asia geruntur, LXXX. *millium exercitum* rex collegit; quem *Doryalus duxit in Græciam ad*

αλος ἐς τὴν Ἑλλάδα πρὸς Ἀρχέλαον ἦγεν, ἔχοντα τῶν προτέρων ἔτι μυρίους. Ὁ δὲ Σύλλας ἀντεστρατοπέδευε μὲν Ἀρχελάῳ περὶ Ὀρχομενόν. ὡς δὲ εἶδε τῆς ἐπελθούσης ἵππου τὸ πλῆθος, ὤρυσσε τάφρους πολλὰς ἀνὰ τὸ πεδίον, εὖρος δέκα πόδας· καὶ ἐπιόντος αὐτῷ τοῦ Ἀρχελάου ἀντιπαρέταξεν. ἀσθενῶς δὲ τῶν Ῥωμαίων διὰ δέος τῆς ἵππου μαχομένων, ἐς πολὺ μὲν αὐτοὺς παριππεύων παρεκάλει, καὶ ἐπέπεμπε σὺν ἀπειλῇ. οὐκ ἐπιστρέφων δ᾽ αὐτοὺς ἐς τὸ ἔργον οὐδ᾽ ὥς, ἐξήλατο τοῦ ἵππου· καὶ σημεῖον ἁρπάσας, ἀνὰ τὸ μεταίχμιον ἔθει μετὰ τῶν ὑπασπιστῶν, κεκραγώς· Εἴ τις ὑμῶν, ὦ Ῥωμαῖοι, πύθοιτο, ποῦ Σύλλαν τὸν στρατηγὸν ὑμῶν αὐτῶν προὐδώκατε· λέγειν, ἐν Ὀρχομενῷ μαχόμενον. Οἱ δ᾽ ἡγεμόνες αὐτῷ κινδυνεύοντι συνεξέθεον ἐκ τῶν ἰδίων τάξεων, συνεξέθεον δὲ καὶ ἡ ἄλλη πληθὺς αἰδουμένη, παλίωξίν τε εἰργάσαντο. καὶ τῆς νίκης ἀρχομένης, ἀναθορὼν αὖθις ἐπὶ τὸν ἵππον, ἐπῄνει

A. U. 668.

*Lin.* 73 *sq. an* Δορύλαος? *ut supra, p.* 665. 86. *An ibi leg.* Δορύαλος? *L.* 74. πρὸς Ἀρχέλαον ἦγεν ἐς τὴν Ἑλλάδα *Aug.* *L.* 79. Ῥωμ. διὰ τὸ πλῆθος τῆς ἵππου *Edd.* *L.* 82. ἐς τὸ ἔργον, οὐδ᾽ ὡς ἐξήλατο τῆς ἵππου *Edd. & MSS.* (*nisi quod* ως, *absque accentu, det edit.* 1.) *Verum restitui, quod jam expresserant Cand. & Gelen.* *L.* 89. τὴν ἵππον *Edd. ex Reg. A. Sed* τὸν *Reg. B. Aug. Vat.*

*Archelaum*, cui ex prioribus copiis decem adhuc millia fuerant reliqua. Et *Sylla cum Archelao castra contulit ad Orchomenum.* Ut vero vidit adventantis equitatus multitudinem, multas fossas per campum fodit, decem pedes latas: adgredientemque *Archelaum excepit instructa acie.* Romanis autem metu equitatus segniter pugnantibus; obequitans *Sylla*, diu hortatus est eos incitavitque non sine minis. Postquam vero nesic quidem ad strenue adgrediendum hostem adducere suos potuit; desiliit ab equo, &, correpto signo, procurrit inter duas acies cum satellitibus, clamans: *Si quis vos, milites, rogaverit, ubinam Syllam imperatorem vestrum prodideritis; respondete, Pugnantem ad Orchomenum.* Tum præfecti, periculo ejus moti, succurrerunt e suis ordinibus: quos præ pudore secuta jam & cetera multitudo, cedere coëgit hostem, qui modo incubuerat ferociter. Atque ita facto victoriæ initio, *Sylla*, rursum conscenso e-

A. U. 668. τὸν στρατὸν περιιὼν, καὶ ἐπέσπερχεν· ἕως τέλεον αὐτοῖς τὸ ἔργον ἐξετελέσθη. καὶ τῶν πολεμίων ἀπώλοντο μὲν ἀμφὶ τοὺς μυρίους καὶ πεντακισχιλίους. καὶ τούτων ἦσαν οἱ μύριοι, ἱππεῖς μάλιστα· καὶ σὺν αὐτοῖς, ὁ παῖς Ἀρχελάου Διογένης. οἱ πεζοὶ δὲ ἐς τὸ στρατόπεδον συνέφυγον.

L. Καὶ δείσας ὁ Σύλλας, μὴ πάλιν αὐτὸν ὁ Ἀρχέλαος, οὐκ ἔχοντα ναῦς, ἐς Χαλκίδα, ὡς πρότερον, διαφύγοι· τὸ πεδίον ὅλον ἐκ διαστημάτων ἐνυκτοφυλάκει. καὶ μεθ' ἡμέραν, στάδιον οὐχ ὅλον ἀποσχὼν τοῦ Ἀρχελάου, τάφρον αὐτῷ περιώρυσσεν οὐκ ἐπεξιόντι. καὶ παρεκάλει τότε μάλιστα τὴν ἑαυτοῦ στρατιὰν, ἐκπονῆσαι τοῦ παντὸς πολέμου τὸ ἔτι λείψανον, ὡς τῶν πολεμίων αὐτὸν οὐδὲ ὑφισταμένων· καὶ ἐπῆγεν αὐτὴν ἐπὶ τὸ χαράκωμα τοῦ Ἀρχελάου. ὅμοια δὲ ἐκ μεταβολῆς ἐγίγνετο καὶ παρὰ τοῖς πολεμίοις ὑπὸ ἀνάγκης, τῶν ἡγεμόνων αὐτοὺς περιθεόντων, καὶ τὸν παρόντα κίνδυνον προφερόντων τε, καὶ ὀνειδιζόντων, εἰ μηδὲ ἀπὸ χάρακος ἀπομαχέσονται τοὺς ἐχθροὺς, ὀλιγωτέρους ὄντας. Ὁρμῆς δὲ καὶ βοῆς ἑκατέρω-

*Lin.* 92 *sq.* καὶ τούτων οἱ μὲν ἦσαν ἱππεῖς *Edd.* & *carent* μύριοι. *L.* 95. πάλιν αὐτὸς *Edd.*

quo, obibat ſuos, laudabatque, & cohortabatur. Donec tandem *completam reportavit* victoriam, caſis hoſtium circiter XV. M. quorum fere X. M. equites fuerant, & in his filius Archelai, Diogenes: pedites vero in caſtra repulſi ſunt.

50. Tum *Sylla*, veritus, ne *Archelaus* ſe navibus carentem rurſum effugeret in Chalcidem, toto campo nocturnas ſtationes diſpoſuit: & inſequenti die ad ſtadii diſtantiam, neque illius integri, *foſſam circa vallum Archelai circumduxit*, ne progrediente quidem hoſte. Ac tunc maxime hortatus *Sylla* eſt milites, ut exiguas belli reliquias ſtrenue conficerent, hoſtibus in conſpectum prodire non ſuſtinentibus: ſimulque *ad vallum Archelai eduxit*. Tunc vero ſimiliter apud hoſtes, ſecus ac paulo ante, neceſſitate jam urgente, adhortationibus fervebant omnia; ducibus periculum oſtendentibus, & ignaviam exprobrantibus, ſi ne a munitionibus quidem hoſtem, inferiorem numero, eſſent propulſuri. Ita utrimque clamore ac impetu coorto, multa

θεν γενομένης, πολλὰ μὲν ἐγίγνετο ἐπ᾽ ἀμφοῖν ἔργα πολέμου. γωνίαν δέ τινα τοῦ χαρακώματος οἱ Ῥωμαῖοι, τὰς ἀσπίδας σφῶν ὑπερσχόντες, ἤδη διέσπων. καὶ οἱ βάρβαροι καταθορόντες ἀπὸ τοῦ χαρακώματος εἴσω τῆς γωνίας, περιέστησαν αὐτὴν, ὡς τοῖς ξίφεσιν ἀμυνούμενοι τοὺς ἐστρέχοντας. οὐδέ τις ἐτόλμα· μέχρι Βάσιλλος, ὁ τοῦ τέλους ταξίαρχος, ἐσήλατο πρῶτος, καὶ τὸν ὑπαντήσαντα ἔκτεινε. τότε δ᾽ αὐτῷ συνεισέπεσεν ὁ στρατὸς ἅπας. καὶ φυγὴ τῶν βαρβάρων ἐγίγνετο, καὶ φόνος, τῶν μὲν, καταλαμβανομένων, τῶν δ᾽ εἰς τὴν ἐγγὺς λίμνην ὠθουμένων τε, καὶ νεῖν οὐκ ἐπισταμένων, ἀξύνετα βαρβαριστὶ τοὺς κτείνοντας παρακαλούντων. Ἀρχέλαος δ᾽ ἐν ἕλει τινὶ ἐκρύφθη· καὶ σκάφους ἐπιτυχὼν, ἐς Χαλκίδα διέπλευσε. καὶ εἴ τις ἦν ἄλλη Μιθριδάτου στρατιὰ κατὰ μέρος ποι διατεταγμένη, πάντας αὐτοὺς ἐκάλει κατὰ σπουδήν.

A. U. 668.

LI. Ὁ δὲ Σύλλας τῆς ἐπιούσης τόν τε ταξίαρχον ἐστεφάνου, καὶ τοῖς ἄλλοις ἀριστεῖα ἐδίδου. Καὶ τὴν Βοιωτίαν,

*Lin.* 9. ἐγίγνετ᾽ ἀμφοῖν *Edd. ex Reg. A. non male.* *L.* 13. ἀμυνόμενοι *Aug. Reg. A.* *L.* 19 *ſq.* βαρβαριστικὰ κτεν. *Reg. B.* *L.* 20. κτανόντας *Aug. Vat. & Edd.* κτενοῦντας *Reg. B. a prim. man. Secutus ſum Ven.* *L.* 23. μέρος που *Edd. Prætuli Aug. Ven. Vat.*

ab utriſque edebantur militaria facinora. Jamque angulum quemdam valli convellebant Romani, ſcutis protecti; quum barbari, a vallo intra angulum proſilientes, circumſteterunt angulum, ſtrictis gladiis excepturi hos, qui irrumpere conarentur. Nec auſus eſt quiſquam irruere; donec *Baſillus*, tribunus legionis, primus inſiliit, & ſtravit obvium. Tum vero *univerſus exercitus* ſimul *intra vallum irrupit*, cum magna fuga ſtrageque barbarorum: quorum alii cædebantur incurſu, alii in proximum lacum compellebantur, &, imperiti natandi, barbarico clamore fruſtra preces effundebant, non intellectas percuſſoribus. *Archelaus in paludem* quamdam *ſe abdiderat*; nactuſque naviculam, trajecit *Chalcidem*: &, quidquid uſquam erat copiarum Mithridatis per Græciam diſpoſitum, convocavit propere.

51. *Sylla* poſtero die tribunum corona donavit, & aliis alia dedit dona militaria. Inde Bœotiam, continuis defectio-

A. U. 668.

συνεχῶς μεταλιθεμένην, διήρπαζε· καὶ ἐς Θεσσαλίαν ἐλθὼν ἐχείμαζε, τὰς ναῦς τὰς μετὰ Λουκούλλου περιμένων. ἀγνοῶν δ', ὅπη ὁ Λούκουλλος εἴη, ἐναυπηγεῖτο ἑτέρας. καὶ ταῦτα μέντοι, Κορνηλίου τε Κίννα καὶ Γαΐου Μαρίου, τῶν ἐχθρῶν αὐτοῦ, ἐν Ρώμῃ ψηφισαμένων εἶναι Ρωμαίων πολέμιον, καὶ τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις καθῃρηκότων, καὶ τοὺς φίλους ἀνελόντων. ὁ δὲ οὐδὲν οὐδ' ὣς καθῄρει τῆς ἐξουσίας, τὸν στρατὸν ἔχων εὐπειθῆ καὶ πρόθυμον. Κίννας δὲ Φλάκκον ἑλόμενός οἱ συνάρχειν τὴν ὕπατον ἀρχὴν, ἔπεμπεν ἐς τὴν Ἀσίαν μετὰ δύο τελῶν, ἀντὶ τοῦ Σύλλα, ὡς ἤδη πολεμίου γεγονότος, τῆς τε Ἀσίας ἄρχειν καὶ πολεμεῖν τῷ Μιθριδάτῃ. ἀπειροπολέμῳ δ' ὄντι τῷ Φλάκκῳ συνεξῆλθεν ἑκὼν ἀπὸ τῆς βουλῆς ἀνὴρ πιθανὸς ἐς στρατηγίαν, ὄνομα Φιμβρίας. Τούτοις ἐκ Βρεντησίου διαπλέουσιν αἱ πολλαὶ τῶν νεῶν ἀπὸ χειμῶνος διελύθησαν· καὶ τὰς πρόπλους αὐτῶν ἐνέπρησε στρατὸς ἄλλος ἐπιπεμφθεὶς ἐκ Μιθριδάτου. Μοχθηρὸν δ' ὄντα τὸν Φλάκκον, καὶ σκαιὸν ἐν ταῖς κολάσεσι, καὶ φιλοκερδῆ,

*Lin.* 31. *correxi vulg.* ἐψηφισμένων, *quod mendosum puto.* *L.* 41. *an* ὑπὸ χειμῶνος?

nibus nutantem, diripuit; transgressusque in Thessaliam, hiemavit, *Lucullum* exspectans cum navibus: & quia nihil comperti de eo habebat, naves ipse fabricavit alias. Et hæc quidem *Sylla* administrabat, quamquam in Urbe *ab inimicis, Cornelio Cinna, et C. Mario, hostis reipubl.* fuerat *judicatus*, ædesque ac villæ ejus dirutæ, & amici interfecti. Nihilque ob eam rem de potestate sua detrahi passus est; quoniam exercitum habebat obsequentem & promtum ad omnia. *Cinna* vero adlectum sibi in consulatu collegam *Flaccum misit in Asiam* cum duabus legionibus, ut *pro Sylla*, jam hoste declarato, provinciæ præesset, ac bellum gereret contra Mithridatem. Eum, rei militaris imperitum, sponte comitatus est unus ex senatoribus *Fimbria*, vir non exiguæ auctoritatis apud milites. His e Brundisio trans mare navigantibus, pleræque naves tempestate quassatæ sunt; & præcursorias earum incendit novus exercitus a Mithridate submissus. Ceterum *Flaccus*, quum vir esset pravi ingenii,

ὁ στρατὸς ἅπας ἀπεστρέφετο. καὶ μέρος αὐτῶν τι, προπεμφθὲν ἐς Θεσσαλίαν, ἐς τὸν Σύλλαν μετεστρατεύσαντο. τοὺς δὲ ὑπολοίπους ὁ Φιμβρίας, στρατηγικώτερος τοῦ Φλάκκου φαινόμενος αὐτοῖς καὶ φιλανθρωπότερος, κατεῖχε μὴ μεταθέσθαι. A. U. 668.

LII. Ὡς δή, ἔν τινι καταγωγῇ περὶ ξενίας ἔριδος αὐτῷ καὶ τῷ ταμίᾳ γενομένης, ὁ Φλάκκος διαιτῶν οὐδὲν ἐς τιμὴν ἐπεσήμηνε τοῦ Φιμβρίου, χαλεπήνας ὁ Φιμβρίας, ἠπείλησεν ἐς Ῥώμην ἐπανελεύσεσθαι. καὶ τοῦ Φλάκκου δόντος αὐτῷ διάδοχον ἐς ἃ τότε διῴκει· φυλάξας αὐτὸν ὁ Φιμβρίας ἐς Χαλκηδόνα διαπλέοντα, πρῶτα μὲν Θέρμον τὰς ῥάβδους ἀφείλετο, τὸν ἀντιστράτηγον ὑπὸ τοῦ Φλάκκου καταλελειμμένον, ὡς οἱ τοῦ στρατοῦ τὴν στρατηγίαν περιθέντος· εἶτα Φλάκκον αὐτὸν, σὺν ὀργῇ μετ' ὀλίγον ἐπανιόντα, ἐδίωκεν. ἕως ὁ μὲν Φλάκκος, εἴς τινα οἰκίαν καταφυγὼν, καὶ νυκτὸς τὸ τεῖχος ὑπερελθὼν, ἐς Χαλκηδόνα πρῶτον, καὶ ἀπ' αὐτῆς ἐς Νικομήδειαν ἔφυγε, 669.

*Lin. 52.* ὑπεσήμηνε *Edd. Prætuli Aug. L. 55.* Χαλκιδόνα *edit. 1. ex Reg. A. & sic mox iterum. L. 61.* ἀνέφυγε *Editi. Prætuli Aug.*

avarus, & in puniendo crudelis, omnibus *exoſus* erat *militibus:* quorum pars, præmiſſa in Theſſaliam, in Syllæ caſtra tranſiit; reliquos *Fimbria*, *melior dux* viſus & clementior, quam Flaccus, continuit ne deficerent.

52. Forte in diverſorio quodam inter *Fimbriam* & quæſtorem lis exorta erat de hoſpitio: cujus litis arbiter *Flaccus* quum nullam rationem habuiſſet honoris Fimbriæ; ille, indigne ferens, minatus erat, in Urbem ſe reverſurum. Poſtquam autem ſucceſſor ei mox ad adminiſtrandas eas res, quibus ipſe præfuerat, a *Flacco* datus eſt; *Fimbria* per abſentiam Flacci, Chalcedonem cum claſſe petentis, primum *Thermo*, pro prætore ab illo relicto, faſces abſtulit, quaſi eum magiſtratum ſibi detuliſſet exercitus: deinde ipſum *Flaccum*, quum iratus mox rediiſſet, fugere coëgit. *Flaccus*, in privati cujuſdam ædes profugus, noctu mœnibus transſcenſis, Chalcedonem primum, inde *Nicomediam*, ſe

A. U. 669. καὶ τὰς πύλας ἀπέκλεισεν. ὁ δὲ Φιμβρίας αὐτὸν, ἐπελθὼν, ἔκτεινεν, ἐν Φρέατι κρυπτόμενον, ὕπατόν τε ὄντα Ῥωμαίων, καὶ στρατηγὸν τοῦδε τοῦ πολέμου· ἰδιώτης αὐτὸς ὢν, καὶ ὡς Φίλῳ κελεύοντι συνεληλυθώς. ἐκτεμὼν τε τὴν κεφαλὴν αὐτοῦ, μεθῆκεν ἐς θάλασσαν· καὶ τὸ λοιπὸν ἄταφον ἐκρίψας, αὐτὸν αὐτοκράτορα ἀπέφηνε τοῦ στρατοῦ. καὶ μάχας τινὰς οὐκ ἀγεννῶς ἠγωνίσατο τῷ παιδὶ τοῦ Μιθριδάτου. αὐτόν τε βασιλέα συνεδίωξεν ἐς τὸ Πέργαμον· καὶ ἐς Πιτάνην ἐκ τοῦ Περγάμου διαφυγόντα, ἐπελθὼν, ἀπετάφρευεν. ἕως ὁ μὲν βασιλεὺς ἐπὶ νεῶν ἔφυγεν ἐς Μιτυλήνην.

LIII. Ὁ δὲ Φιμβρίας, ἐπιὼν τὴν Ἀσίαν, ἐκόλαζε τοὺς καππαδοκίσαντας, καὶ τῶν οὐ δεχομένων αὐτὸν τὴν χώραν ἐλεηλάτει. Ἰλιεῖς δὲ, πολιορκούμενοι πρὸς αὐτοῦ, κατέφυγον μὲν ἐπὶ Σύλλαν. Σύλλα δὲ φήσαντος αὐτοῖς, ἥξειν, καὶ κελεύσαντος ἐν τοσῷδε Φιμβρίᾳ φράζειν, ὅτι σφᾶς ἐπιτετρόφασι τῷ Σύλλᾳ· πυθόμενος ὁ Φιμβρίας,

*Lin.* 66. μεταθῆκεν *Aug. sed* μεθῆκεν *ad marg.* *L.* 67. αὐτὸν *edit.* 2. 3. *L.* 69. τῷ παιδὶ τῷ Μιθριδ. *Aug. Ven.* *L.* 73. ἐκόλασε *Aug. Vat.* *L.* 74. δεχ. αὐτῶν *edit.* 1. *L.* 75. Ἰλιεῖς δὲ πολιορκουμένοις *edit.* 1.

proripuit, & portas ejus urbis clausit. Sed *Fimbria*, superveniens, *occidit protractum puteo* Consulem Romanum, & hujus belli imperatorem; quem ipse privatus, ut amicum invitantem sese, secutus erat in provinciam. Caput necati abscissum projecit in mare, truncumque reliquum insepultum reliquit. Jamque sibi *usurpans imperatoriam dignitatem Fimbria*, præliis aliquot non improspere pugnavit cum Mithridatis filio. Ipsum deinde *Mithridatem* compulit intra Pergamum; & inde profugum in *Pitanem* oppidum insecutus, fossa conatus est circumdare: donec rex, conscensis navibus, Mitylenem fugit.

53. Tum *Fimbria*, Asiam provinciam obeundo, mulctavit factionem Cappadocum, & agros populatus est eorum, qui mœnibus ipsum excludebant. *Ilienses* autem *a Fimbria oppugnati*, petiverunt a Sylla auxilium. Qui quum se venturum promisisset, jussissetque eos interim ostendere Fimbriæ, quod Syllæ sese dedidissent; *Fimbria*, audito responso, col-

A. U. 669.

ἐπῄνεσε μὲν, ὡς ἤδη Ῥωμαίων φίλους· ἐκέλευσε δὲ, καὶ αὐτὸν, ὄντα Ῥωμαῖον, εἴσω δέχεσθαι· κατειρωνευσάμενός τι καὶ τῆς συγγενείας τῆς οὔσης ἐς Ῥωμαίους Ἰλιεῦσιν. ἐσελθὼν δὲ, τοὺς ἐν ποσὶ πάντας ἔκτεινε, καὶ πάντα ἐνεπίμπρη· καὶ τοὺς πρεσβεύσαντας ἐς τὸν Σύλλαν ἐλυμαίνετο ποικίλως· οὔτε τῶν ἱερῶν φειδόμενος, οὔτε τῶν ἐς τὸν νεὼν τῆς Ἀθηνᾶς καταφυγόντων, οὓς αὐτῷ νεῷ κατέπρησε. κατέσκαπτε δὲ καὶ τὰ τείχη· καὶ τῆς ἐπιούσης ἠρεύνα, περιϊὼν, μή τι συνέστηκε τῆς πόλεως ἔτι. Ἡ μὲν δὴ, χείρονα τῶν ἐπὶ Ἀγαμέμνονι παθοῦσα ὑπὸ συγγενοῦς, διωλώλει· καὶ οἰκόπεδον οὐδὲν αὐτῆς, οὐδ' ἱερὸν, οὐδ' ἄγαλμα ἔτι ἦν. τὸ δὲ τῆς Ἀθηνᾶς ἕδος, ὃ Παλλάδιον καλοῦσι, καὶ διοπετὲς ἡγοῦνται, νομίζουσί τινες εὑρεθῆναι τότε ἄθραυστον, τῶν ἐπιπεσόντων τειχέων αὐτὸ περικαλυψάντων· εἰ μὴ Διομήδης αὐτὸ καὶ Ὀδυσσεὺς ἐν τῷ Τρωϊκῷ ἔργῳ μετήνεγκαν ἐξ Ἰλίου. Τάδε μὲν δὴ Φιμβρίας ἐς Ἴλιον εἰργάζετο, ληγούσης ἄρτι τῆς τρί-

*Lin.* 88. ἐπὶ Ἀγαμέμνονος *puto legendum.* *L.* 89. διωλώλει *Aug.*

laudavit addictos jam amicitiæ Romanorum; simul vero postulavit, ut & se, hominem Romanum, intra mœnia reciperent; cognationis etiam, quæ Iliensibus cum Romanis intercederet, per jocum mentione facta. Et *urbem ingressus*, interfecit obvios quosque, & *concremavit omnia*; eosque, qui legatione functi ad Syllam erant, variis necavit cruciatibus. Ac ne a sacris quidem abstinuit; neque ab iis, qui in Minervæ ædem confugerant, quos cum ipso templo combussit. Quin & mœnia diruit, ac postridie obivit urbem, circumspiciens, numquid superesset reliquum. Ita tum *pejus, quam olim ab Agamemnone, tractatum Ilium* est a viro cognato; ut nec ædificium ullum, nec templum, nec statua, relinqueretur. Ceterum *Minervæ signum*, quod *Palladium* vocant ac de cœlo putant delapsum, *illæsum* tunc *inventum* esse perhibent nonnulli, quum incidentes muri illud protexissent. Quod quidem credi posset, nisi a Diomede & Ulysse, bello Trojano, ablatum Ilio Palladium constaret. Hanc *cladem Ilienses a Fimbria passi* sunt, exe-

A. U. 669.

της ἑβδομηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος. καί τινες ἡγοῦνται, τὸ πάθος αὐτῇ τόδε μετὰ Ἀγαμέμνονα χιλίοις καὶ πεντήκοντα ἔτεσι γενέσθαι μάλιστα.

LIV. Ὁ δὲ Μιθριδάτης, ἐπεὶ καὶ τῆς περὶ Ὀρχομενὸν ἥττης ἐπύθετο, διαλογιζόμενος τὸ πλῆθος, ὅσον ἐξ ἀρχῆς ἐς τὴν Ἑλλάδα πεπόμφει, καὶ τὴν συνεχῆ καὶ ταχεῖαν αὐτοῦ φθορὰν, ἐπέστελλεν Ἀρχελάῳ, διαλύσεις ὡς δύναιτο εὐπρεπῶς ἐργάσασθαι. Ὁ δὲ, Σύλλᾳ συνελθὼν ἐς λόγους, εἶπε· Φίλος ὢν ὑμῖν πατρῷος, ὦ Σύλλα, Μιθριδάτης ὁ βασιλεὺς, ἐπολέμησε μὲν διὰ στρατηγῶν ἑτέρων πλεονεξίαν· διαλύσεται δὲ διὰ τὴν σὴν ἀρετὴν, ἢν τὰ δίκαια προστάσσῃς. Καὶ ὁ Σύλλας, ἀπορίᾳ τε νεῶν, καὶ, χρήματα οὐκ ἐπιπεμπόντων οὐδ' ἄλλο οὐδὲν οἴκοθεν αὐτῷ τῶν ἐχθρῶν, ὡς πολεμίῳ, ἀψάμενος ἤδη τῶν ἐν Πυθοῖ καὶ Ὀλυμπίᾳ καὶ Ἐπιδαύρῳ χρημάτων, καὶ ἀντιδοὺς πρὸς λόγον τοῖς ἱεροῖς τὸ ἥμισυ τῆς Θηβαίων γῆς

*Lin. 96. Adjeci vocem* ἑβδομηκοστῆς, *quæ librariorum incuria vulgo desideratur.* *L. 97.* κατὰ Ἀγαμέμνονα *edit.* 1. *L. 4.* εὐπρεπεῖς *Edd. Secus Aug. Ven. Vat.* *L. 5.* ἐς λόγον *Edd. invit. MSS.*

unte jam *Olympiade* CLXXIII. Ac sunt, qui putent, inter hanc & illam priscam Ilii calamitatem, ab Agamemnone acceptam, circiter M. L. annos intercedere.

54. At *Mithridates*, ex quo nuperæ etiam ad Orchomenum cladis nuncium acceperat, reputans, quantam hominum multitudinem ab initio inde belli misisset in Græciam, & quam brevi tempore tantas tamque continuas fecisset jacturas, per literas *mandaverat* ARCHELAO, *ut*, quam honestissimis conditionibus posset, *finem faceret bello.* Qui *cum Sylla* congressus ad *colloquium*: „Paternus, inquit, vester, *o SYLLA*, amicus, rex Mithridates, ad bellum compulsus est per aliorum ex vestris ducibus avaritiam. Tuam autem virtutem admiratus, ponet arma, si modo justas conditiones tuleris." Tum SYLLA, quum nec classem haberet, nec pecunias ex Urbe aut aliud quidquam acciperet, hostis ab inimicis judicatus; jamque absumsisset ex Pythici, ex Olympici, ex Epidaurici templi spoliis comparatam pecuniam, pro qua templis illis dimidium agri Thebanorum, ob crebram defectionem Thebanis ademtum, pro portione

πολλάκις ἀποστάντων· ἔς τε τὴν στάσιν αὐτὴν τῶν ἐχθρῶν ἐπειγόμενος ἀκραιφνῆ καὶ ἀπαθῆ τὸν στρατὸν μεταγαγεῖν· ἐνεδίδου πρὸς τὰς διαλύσεις, καὶ εἶπεν· Ἀδικουμένου μὲν ἦν, ὦ Ἀρχέλαε, Μιθριδάτου, περὶ ὧν ἠδικεῖτο πρεσβεύειν· ἀδικοῦντος δὲ, γῆν τοσήνδε ἀλλοτρίαν ἐπιδραμεῖν, καὶ κτεῖναι πολὺ πλῆθος ἀνδρῶν, τά τε κοινὰ καὶ ἱερὰ τῶν πόλεων, καὶ τὰ ἴδια τῶν ἀνῃρημένων, σφετερίσασθαι. τῷ δ' αὐτῷ λόγῳ καὶ ἐς τοὺς ἰδίους φίλους, ὡ περὶ ἡμᾶς, ἄπιστος γενόμενος, ἔκτεινε καὶ τῶνδε πολλοὺς, καὶ τῶν τετραρχῶν, οὓς ὁμοδιαίτους εἶχε, νυκτὸς μιᾶς, μετὰ γυναικῶν καὶ παίδων τῶν οὐ πεπολεμηκότων. ἐπὶ δὲ ἡμῖν καὶ φύσεως ἔχθραν μᾶλλον ἢ πολέμου χρείαν ἐπεδείξατο, παντοίαις ἰδέαις κακῶν τοὺς περὶ τὴν Ἀσίαν Ἰταλιώτας, σὺν γυναιξὶ καὶ παισὶ, καὶ θεράπουσι τοῖς οὖσι γένους Ἰταλικοῦ, λυμηναμενός τε καὶ κτείνας. τοσοῦτον ἐξήνεγκεν ἐς τὴν Ἰταλίαν μῖσος ὁ

A. U. 669.

*Lin.* 13. τὴν σύστασιν *Reg. B.* *Ibid.* στάσιν αὐτῶν τῶν *Edd. Prætuli Aug. Vat.* *L.* 18. πολὺ τὸ πλῆθος *Reg. B.* *L.* 21. ὥσπερ ἐς ἡμᾶς *Edd. invit. MSS. ex ingenio Car. Stephani.* *L.* 24. ἐπεὶ δὲ ἡμῖν *Edd. cum Reg. A. Aug. Verum dedit Reg. B.* *L.* 25. ἀπεδειξ. *Edd. Prætuli Aug.* *L.* 28. *pro hypostigme, quæ erat post* κτείνας, *majorem posui distinct.*

adtribuerat; denique quum transportare contra inimicos properaret recentem exercitum & integrum; consensit in pacem, ac tale *Archelao responsum* dedit: „Si quidem injusta se passum *Mithridates* credidit; legatos mittere, *ARCHELAE*, qui de injuriis conquererentur, debuerat. At ille contra, injuriam inferens, plurimas terras alienas invasit, occidit ingentem hominum multitudinem, publicas sacrasque pecunias diripuit, privatasque possessiones „interfectorum sibi usurpavit. Nec erga suos amicos, quam erga nos, fidelior, ex his quoque multos interfecit: & Tetrarchas, quorum convictu usus erat, una nocte sustulit cum uxoribus & liberis, nihil hostile ausos. In nos vero innatum magis odium, quam belli necessitatem, declaravit; dum omnigenis calamitatum formis per Asiam sæviit in homines Italici generis, a nullo sexu, ætate, conditione, cædem atque tormenta abstinens. Tantum præ se tulit La-

A. U. 669. νῦν ἡμῖν ὑποκρινόμενος φιλίαν πατρῴαν· ἧς οὐ, πρὶν ἑκκαίδεκα μυριάδας ὑμῶν ὑπ' ἐμοῦ συγκοπῆναι, ἐμνημονεύετε.

LV. Ἀνθ' ὧν δίκαιον μὲν ἦν, ἄσπεισ]α αὐτῷ τὰ παρ' ἡμῶν γενέσθαι. Σοῦ δὲ χάριν ὑποδέχομαι, συγγνώμης αὐτὸν τεύξεσθαι παρὰ Ῥωμαίων, ἂν τῷ ὄντι μεταγιγνώσκῃ. εἰ δὲ ὑποκρίνοιτο καὶ νῦν, ὥρα σοι τὸ σαυτοῦ σκοπεῖν, ὦ Ἀρχέλαε· ἐνθυμουμένῳ μὲν, ὅπως ἔχει τὰ παρόντα σοί τε κἀκείνῳ· σκοποῦντι δ', ὅν τινα τρόπον ἐκεῖνός τε ἑτέροις κέχρηται φίλοις, καὶ ἡμεῖς Εὐμενεῖ καὶ Μασσανάσσῃ. Ὁ δ', ἔτι λέγοντος αὐτοῦ, τὴν πεῖραν ἀπεσείετο· καὶ δυσχεράνας, ἔφη· τὸν ἐγχειρίσαντά οἱ τὴν στρατηγίαν οὔ ποτε προδώσειν. ἐλπίζω δέ σοι διαλλάξειν, ἢν μέτρια προστάσσῃς. Διαλιπὼν οὖν ὁ Σύλλας ὀλίγον, εἶπεν· Ἐὰν τὸν στόλον ἡμῖν, ὃν ἔχεις, ὦ Ἀρχέλαε,

*Lin. 32. μὲν caret Vat. Ibid. pro vulg. ἄπιστα restitui ἄσπειστα. L. 34. ἢν τῷ ὄντι Edd. L. 35. σοὶ τοσαῦτα σκοπεῖν Edd. L. 39. Μασσανάσῃ Edd. ut alibi. Ibid. Ὡδέ τι λεγ. Edd. L. 40. ἐπεσείετο Edd. ex Reg. A. Ibid. ἐγχειρήσαντα edit. 1. L. 42. προστάσσῃ edit. 3.*

„tini nominis odium ille, qui nunc paternum ſe amicum ſimulat; cujus amicitiæ non prius ei ſuccurrit memoria, quam cæſis per me ex veſtris copiis CLX. millibus.

55. „Quapropter æquum erat, ut nullas vobis omnino pacis conditiones concederemus. Attamen tui gratia in me recipio, impetraturum veniam regem a S. P. Q. R. ſi ex animo reſipuerit. Quod ſi vero nunc quoque ſimulat; commoneo te, *ARCHELAE*, ut ipſe conſulas tibi, & præſentem ſtatum conſideres rerum, tam illius, quam tuarum; cogiteſque, quo pacto & ille aliis e ſuis amicis uſus ſit, & nos quo modo uſi ſimus Eumene & Maſiniſſa." Sed *Archelaus*, interrupta *Syllæ oratione*, indignabundus repudiavit tentationem: negans, ſe umquam proditurum eum, qui ſibi imperium copiarum commiſiſſet: de pace autem bene ſperare ſe, ajebat, ſi æquum *Sylla* poſtulaſſet. Tum SYLLA, modico interpoſito ſilentio: „Si claſſem, inquit, quam habes, *ARCHELAE*,

λαε, παραδιδῷ πάντα Μιθριδάτης· ἀποδῷ δὲ καὶ στρατηγοὺς ἡμῖν, ἢ πρέσβεις, ἢ αἰχμαλώτους, ἢ αὐτομόλους, ἢ ἀνδράποδα ἀποδράντα· καὶ Χίους ἐπὶ τοῖσδε, καὶ ὅσους ἄλλους ἀνασπάστους ἐς τὸν Πόντον ἐποιήσατο, μεθῇ· ἐξαγάγῃ δὲ καὶ τὰς φρουρὰς ἐκ πάντων φρουρίων, χωρὶς ὧν ἐκράτει πρὸ τῆσδε τῆς παρασπονδήσεως· ἐσενέγκῃ δὲ καὶ τὴν δαπάνην τοῦδε τοῦ πολέμου, τὴν δι' αὐτὸν γενομένην· καὶ στέργῃ μόνης ἄρχων τῆς πατρῴας δυναστείας· ἐλπίζω πείσειν Ῥωμαίους, αὐτῷ μηδὲν ἐπιμηνίσαι τῶν γεγονότων. Ὁ μὲν δὴ τοσάδε εἶπεν. ὁ δὲ Ἀρχέλαος τὰς μὲν φρουρὰς αὐτίκα πανταχόθεν ἐξῆγεν· περὶ δὲ τῶν ἄλλων ἐπέστελλε τῷ βασιλεῖ. Καὶ Σύλλας τὴν ἐν τοσῷδε ἀργίαν διατιθέμενος, Ἐνετοὺς, καὶ Δαρδανέας, καὶ Σιντοὺς, περίοικα Μακεδόνων ἔθνη, συνεχῶς ἐς Μακεδονίαν ἐμβάλλοντα, ἐπιὼν ἐπόρθει· καὶ τὸν στρατὸν ἐγύμναζε, καὶ ἐχρηματίζετο ὁμοῦ.

A. U. 669.

*Lin.* 45. ἢ αὐτομόλους *caret edit.* 3. *oper. err.* *L.* 51. πατρῴας *caret Aug. male.* *L.* 55. ἐπέστειλε *Edd. ex Reg. A.* ἀπέστειλε *Reg. B.* *L.* 56. Ἑνετοὺς *edit.* 2. 3. *Spiritum ad literas majusculas nusquam adponit edit.* 1. Ἐνετοὺς *Regii, Aug. Nomen autem istud, cum* Μήδους *commutatum voluit Palmerius.* *L.* 57. Εἰντοὺς *Edd. Aug.* Ἰντοὺς *Vat. Restitui* Σιντούς. *Nomen istud plane præteriit Cand.* Enetos ac Dardanos & quascunque Macedoniæ finitimas gentes. *L.* 59. ἐχρυματίζετο *edit.* 1.

*ARCHELAE*, omnem Mithridates tradiderit; si duces nobis, & legatos, captivosque omnes, cum transfugis ac servis fugitivis reddiderit, & Chios aliosque e civitatibus suis in Pontum abstractos dimiserit; si præsidia locis omnibus deduxerit, exceptis quæ ante violatam pacem tenuit; denique, si sumtus in hoc bellum factos, cujus ipse causa fuit, restituerit, & paterno regno contentus sit: tum, spero me effecturum, ut præteritarum injuriarum Populus Romanus obliviscatur." Quibus auditis, *Archelaus præsidia statim omnibus locis deduxit*; ac de ceteris conditionibus ad regem suum perscripsit. *Sylla*, ut interim bene uteretur otio, *Enetos*, *Dardanos*, *Sintos*, finitimas Macedonibus gentes, quæ continuis incursionibus Macedoniam infestabant, bello petiit populatusque est; exercens simul & ditans militem.

A. U. 670. LVI. Ἐλθόντων δὲ τῶν Μιθριδάτου πρέσβεων, οἳ τοῖς μὲν ἄλλοις συνετίθεντο, μόνην δ' ἐξαιρούμενοι Παφλαγονίαν, ἐπεῖπον, ὅτι πλεόνων ἂν ἔτυχε Μιθριδάτης, εἰ πρὸς τὸν ἕτερον ὑμῶν στρατηγὸν διελύετο Φιμβρίαν· δυσχεράνας ὁ Σύλλας τῇ παραβολῇ, καὶ Φιμβρίαν, ἔφη, δώσειν δίκην, καὶ αὐτὸς ἐν Ἀσίᾳ γενόμενος αἰσθέσθαι, πότερα συνθηκῶν ἢ πολέμου δεῖται Μιθριδάτης. Ὧδε δ' εἰπὼν, ἤλαυνεν ἐπὶ Κύψελλα διὰ Θρᾴκης· Λούκουλλον ἐς Ἄβυδον προπέμψας. ἤδη γὰρ αὐτῷ καὶ ὅδε ἀφίκτο, κινδυνεύσας μὲν ὑπὸ λῃστῶν ἁλῶναι πολλάκις, στόλον δέ τινα νεῶν ἀγείρας ἀπό τε Κύπρου καὶ Φοινίκης καὶ Ῥόδου, καὶ Παμφυλίας, καὶ πολλὰ δῃώσας τῆς πολεμίας, καὶ τῶν Μιθριδάτου νεῶν ἀποπειράσας ἐν παράπλῳ. Σύλλας μὲν οὖν ἀπὸ Κυψέλλων, καὶ Μιθριδάτης ἐκ Περγάμου, συνῄεσαν αὖθις ἐς λόγους· καὶ κατέβαινον ἐς πεδίον ἄμφω σὺν ὀλίγοις, ἐφορώντων τῶν στρατῶν ἑκατέρωθεν. Ἦσαν δ' οἱ λόγοι, Μιθριδάτου μὲν, ὑπόμνησις

*Lin.* 63. ἕτερον ἡμῶν *Edd. Prætuli Aug.* *L.* 65. αἴσθεσθαι *Aug.* αἰσθήσεσθαι *videtur legendum; aut* εἴσεσθαι, *quod magis placet.* *L.* 67. Κύψελα *Edd. Secutus ſum Aug. Ven. Vat.* Cypſelia *Cand.* *L.* 72. τῶν τοῦ Μιθριδ. *Edd. Omiſi artic. cum Aug.* *L.* 73. Κυψέλων *Edd.*

56. Quum vero *legati a Mithridate* reverſi, cetera quidem probantes, ſolam exciperent Paphlagoniam, adjicerentque, *æquiores conditiones ab altero Romanorum imperatore, Fimbria, impetraturum fuiſſe regem;* indignatus SYLLA collatione iſta, reſpondit, *et Fimbriam pœnas daturum, et ſe ipſum quam primum in Aſia præſentem viſurum, pacem-ne, an bellum cupiat Mithridates?* Hæc locutus, per Thraciam duxit ad *Cypſella*, Lucullo *Abydum* præmiſſo. Jam enim & *Lucullus* ad eum *advenerat*, ægre ſæpius elapſus e piratarum inſidiis, collecta tamen claſſe nonnulla e Cypro, Phœnicia, Rhodo, Pamphylia, vaſtatiſque paſſim oris hoſtilibus, & cum Mithridatis claſſe velitatus obiter. Moxque SYLLA movit Cypſellis, & MITHRIDATES Pergamo; ac rurſus *in* COLLOQUIUM *venerunt*, ambo cum exiguo comitatu in campum progreſſi, inſpectante utrimque exercitu. Ibi MITHRIDATES, *orſus* a comme-

A. U. 670.

φιλίας καὶ συμμαχίας ἰδίας καὶ πατρῴας, καὶ ἐπὶ τοῖς Ῥωμαίων πρέσβεσι καὶ προβούλοις καὶ στρατηγοῖς κατηγορία, ὧν ἐς αὐτὸν ἐπεπράχεσαν ἀδίκως, Ἀριοβαρζάνην τε κατάγοντες ἐς Καππαδοκίαν, καὶ Φρυγίας αὐτὸν ἀφαιρούμενοι, καὶ Νικομήδη περιορῶντες ἀδικοῦντα. Καὶ τάδε, ἔφη, πάντα ἔπραξαν ἐπὶ χρήμασι, παραλλὰξ παρ' ἐμοῦ τε καὶ παρ' ἐκείνων λαμβάνοντες. ὃ γὰρ δὴ μάλιστ' ἄν τις ὑμῶν, ὦ Ῥωμαῖοι, τοῖς πλείοσιν ἐπικαλέσειεν, ἔστιν ἡ φιλοκερδία. ἀναῤῥαγέντος δὲ ὑπὸ τῶν ὑμετέρων στρατηγῶν τοῦ πολέμου, πάντα ὅσα ἀμυνόμενος ἔπραττον, ἀνάγκῃ μᾶλλον, ἢ κατὰ γνώμην, ἐγίγνετο.

LVII. Ὁ μὲν δὴ Μιθριδάτης, ὧδε εἰπών, ἐπαύσατο. Ὁ δὲ Σύλλας, ὑπολαβών, ἀπεκρίνατο· Ἐφ' ἕτερα μὲν ἡμᾶς ἐκάλεις, ὡς τὰ προτεινόμενα ἀγαπήσων· οὐ μὴν ὀκνήσω; καὶ περὶ τῶνδε διὰ βραχέως εἰπεῖν. Ἐς μὲν Καππαδοκίαν ἐγὼ κατήγαγον Ἀριοβαρζάνην, Κιλικίας ἄρχων, ὧδε Ῥωμαίων ψηφισαμένων. καὶ σὺ κατήκουες

*Lin.* 83. τε *ante* καὶ *caret Aug.* *L.* 84. μάλιστα τὶς *Edd.* *L.* 85. φιλοκέρδεια *Edd. invit. MSS.* φιλοκέρεια *Reg. B. mend.* *L.* 87. γίγνετο *edit.* 3. *oper. vit.* *L.* 91. ὀκνήσων *edit.* 1. *Ibid.* τῶνδε βραχέως *Edd. cum Reg. A.* *L.* 93. κατήκοες *edit.* 3.

moratione societatis amicitiæque cum suæ tum paternæ, accusabat Romanorum legatos & magistratus imperatoresque, quod multis sese injuriis adfecissent, Ariobarzanem reducentes in Cappadociam, sibi adimentes Phrygiam, & Nicomedem impune injuriis sese lacessere sinentes. „ Atque hæc omnia, inquit, fecerunt pecuniæ causa; quam alternis, nunc a me, nunc ab adversariis meis, accipiebant. Nihil est enim, *ROMANI*, quod in plerisque vestrûm magis reprehendi possit, quam lucri cupiditas. Postquam itaque vestri duces initium belli fecerunt, quæcumque in defensionem meam feci, ea necessitatis magis, quam voluntatis, fuerunt."

57. In hæc verba desiit *Mithridates*. Ad quæ SYLLA: „ Quamvis, inquit, non in hoc nos vocavisti, sed ut conditiones acciperes; non gravabor tamen, & ad hæc respondere paucis. In *Cappadociam* ego reduxi *Ariobarzanem* ex Senatusconsulto, quum præessem Ciliciæ. Et tu jussis S. P.

A. U. 670. ἡμῶν, δέον ἀντιλέγειν καὶ μεταδιδάσκειν, ἢ μηκέτι τοῖς ἐγνωσμένοις ἀντιτιθέναι. Φρυγίαν δέ σοι Μάνιος ἔδωκεν ἐπὶ δωροδοκίᾳ· ὃ κοινόν ἐστιν ἀμφοῖν ἀδίκημα. καὶ τῷδε μάλιστα αὐτὴν ὁμολογεῖς οὐ δικαίως λαβεῖν, ἐκ δωροδοκίας. ὅ τε Μάνιος καὶ τὰ ἄλλα ἠλέγχθη παρ' ἡμῖν ἐπὶ χρήμασι πράξας· καὶ πάντα ἀνέλυσεν ἡ βουλή. ᾧ λόγῳ καὶ Φρυγίαν, ἀδίκως σοι δοθεῖσαν, οὐχ ἑαυτῇ συντελεῖν ἐπέταξεν ἐς τοὺς φόρους, ἀλλ' αὐτόνομον μεθῆκεν. ὧν δὲ ἡμεῖς, οἱ πολέμῳ λαβόντες, οὐκ ἀξιοῦμεν ἄρχειν, τίνι λόγῳ σὺ καθέξεις; Νικομήδης δὲ αἰτιᾶται μέν σε, καὶ Ἀλέξανδρον αὐτῷ τὸν τὸ σῶμα τρώσαντα ἐπιπέμψαι, καὶ Σωκράτη τὸν Χρηστὸν ἐπὶ τὴν ἀρχήν· καὶ τάδε αὐτὸς ἀμυνόμενος, ἐς τὴν σὴν ἐμβαλεῖν. Εἰ δέ τι ὅμως ἠδικοῦ, ἐς Ῥώμην πρεσβεύειν ἔδει, καὶ τὰς ἀποκρίσεις ἀναμένειν. Εἰ δὲ καὶ θᾶττον ἠμύνου Νικομήδη· πῶς καὶ

*Lin.* 94. ἀντιλέγειν, καὶ μὴ μεταδιδάσκειν *Edd. & MSS.* (*nisi quod* καταδιδάσκειν *det Reg. B.*) *Particulam negantem delevi, cum Gelenic, monente & H. Steph. Forte* καὶ ἡμᾶς *vel* καί με μεταδιδ. *legendum.* *L.* 96. ἐπὶ δωροδοκίαν *Edd.* *L.* 97. *Mallem* λαβεῖν, ἐκ δωροδοκίας λαβών: *aut* λαβεῖν, ὅτι ἐκ δωροδοκίας. *L.* 98. Μάννιος *h. l. edit.* 1. *L.* 5. τρώσοντα *Aug.* *Ibid. sq.* ἐπιπέμψας *edit.* 1.

„Q. R. paruisti; qui aut tunc contradicere debueras, caussamque tuam melius nobis exponere, aut postea adquiescere decretis. Jam quod *Phrygiam* tibi *Manius* dedit, corruptus largitionibus; id quidem commune amborum crimen est. Et hoc ipso maxime, injuste eam te possedisse, profiteris ipse, quod ab homine muneribus corrupto acceperis. Et *Manius*, alia quoque egisse pretio, coargutus apud nos est: actaque ejus omnia senatus irrita habuit; eademque ratione & Phrygiam, injuste „tibi adtributam, non sibi fecit tributariam, sed liberam esse jussit. Quae igitur nos, belli jure licet parta, a dominatu nostro eximimus, quo jure eadem tu tenebis? De *Nicomede* quereris: at is, a te percussorem sibi Alexandrum, tum Socratem Chrestum regni aemulum, immissos esse, testatur; hasque injurias ulturum se fines tuos cum exercitu esse ingressum. Attamen si te laesum putabas immerito; debueras legatos Romam mittere, & responsum exspectare. Sed esto: Nicomedem, vim inferentem,

Ἀριοβαρζάνην ἀπήλαυνες, οὐδὲν ἀδικοῦντα; Ἐκβαλὼν δ', ἀνάγκην ἐπέθηκας τοῖς παροῦσι Ῥωμαίων κατάγειν αὐτόν. καὶ καταγόμενον κωλύων σὺ τὸν πόλεμον ἐξῆψας· ἐγνωκὼς μὲν οὕτω πρὸ πολλοῦ, καὶ ἐν ἐλπίδι ἔχων γῆς ἄρχειν ἁπάσης, εἰ Ῥωμαίων κρατήσειας· προφάσεις δ' ἐπὶ τῇ γνώμῃ τάσδε ποιούμενος. καὶ τοῦτο τεκμήριον, ὅτι καὶ Θρᾶκας καὶ Σκύθας καὶ Σαυρομάτας, οὔπω τινὶ πολεμῶν, ἐς συμμαχίαν ὑπήγου, καὶ ἐς τοὺς ἀγχοῦ βασιλέας περιέπεμπες, ναῦς τε ἐποιοῦ, καὶ πρωρέας καὶ κυβερνήτας συνεκάλεις. *A. U. 670.*

LVIII. Μάλιστα δ' ὁ καιρὸς ἐλέγχει σε τῆς ἐπιβουλῆς. ὅτε γὰρ τὴν Ἰταλίαν ἀφισταμένην ἡμῶν ᾐσθάνου, τὴν ἀσχολίαν τήνδε ἡμῶν φυλάξας, ἐπέθου μὲν Ἀριοβαρζάνῃ καὶ Νικομήδει, καὶ Γαλάταις καὶ Παφλαγονίᾳ· ἐπέθου δὲ Ἀσίᾳ, τῷ ἡμετέρῳ χωρίῳ. καὶ λαβών, οἷα δέδρακας ἢ τὰς πόλεις, αἷς τοὺς θεράποντας καὶ χρή-

*Lin.* 11 *sq.* κατάγειν αὐτὸν, καὶ καταγόμενον κωλύειν. σὺ τὸν *&c. Edd. ex Reg. A. in quo tamen & ipso a prima manu* κωλύων *fuerat. L.* 15. καὶ τούτου τεκμήριον *maluit Musgr. L.* 17. ἐπήγου *Edd. Prætuli Aug. Ven. L.* 20. ἐλέγχει τε τῆς *edit.* 1. *L.* 25 *sq.* καὶ σ͵ίας *edit.* 3. *Excidit prima syllaba vocis* χρήστας.

„vi repuleris! *Ariobarzanes* quid commeruit? quem tu ejiciens, necessitatem imposuisti Romanis ducibus, in proximo versantibus, ut eum reducerent: quibus id agentibus tu obsistens, bellum hoc accendisti. Quod ipsum quidem *bellum jam multo ante eras meditatus*, totius terræ sperans imperium, si Romanos vincere posses: decretoque pridem bello *istam* modo *speciem* prætexuisti. Cujus rei argumentum est, quod Thracas, Scythas, Sarmatas, priusquam ullum bellum gereres, ad societatem tuam pertraxisti, vi„cinos reges solicitasti legationibus, naves fabricasti, & proretas gubernatoresque convocasti.

58. „Jam vero *ipsum* maxime *tempus* tua arguit insidiosa consilia. Postquam enim *defecisse a nobis Italos socios* intellexisti; arrepta ab istis nostris occupationibus occasione, adgressus es Ariobarzanem & Nicomedem, tum Gallogræcos, & Paphlagoniam, atque adeo ipsam Asiam, nostram provinciam. Quibus regionibus potitus, quid in iis non perpetrasti, vel in civitates, quas servis & obæratis subjecisti?

A. U. 670.

σίας ἐπέστησας, ἐλευθερίαις καὶ χρεῶν ἀποκοπαῖς; ἢ τοὺς Ἕλληνας, ὧν μιᾷ προφάσει χιλίους καὶ ἑξακοσίους διέφθειρας; ἢ Γαλατῶν τοὺς τετράρχας, οὓς ὁμοδιαίτους ἔχων ἀπέκτεινας; ἢ τὸ τῶν Ἰταλιωτῶν γένος, οὓς μιᾶς ἡμέρας σὺν βρέφεσι καὶ μητράσιν ἔκτεινάς τε καὶ κατεποντώσας; οὐκ ἀποσχόμενος οὐδὲ τῶν ἐς τὰ ἱερὰ συμφυγόντων. ὃ πόσην μὲν ὠμότητά σου, πόσην δὲ ἀσέβειαν, καὶ ὑπερβολὴν μίσους ἐς ἡμᾶς, προενήνοχε; σφετερισάμενος δ' ἁπάντων τὰ χρήματα, ἐς τὴν Εὐρώπην ἐπέρας μεγάλοις στρατοῖς· ἡμῶν ἀπειπόντων ἅπασι τῆς Ἀσίας βασιλεῦσι, τῆς Εὐρώπης μηδὲ ἐπιβαίνειν. διαπλεύσας δὲ, Μακεδονίαν τε ἡμετέραν οὖσαν ἐπέτρεχες, καὶ τοὺς Ἕλληνας τὴν ἐλευθερίαν ἀφῃροῦ. Οὐ πρίν τε ἤρξω μετανοεῖν, οὐδ' Ἀρχέλαος ὑπέρ σου παρακαλεῖν, ἢ Μακεδονίαν μέν με ἀνασώσασθαι, τὴν δὲ Ἑλλάδα τῆς σῆς ἐκλῦσαι βίας, ἑκκαίδεκα δὲ μυριάδας τοῦ σοῦ στρατοῦ κατακόψαι, καὶ τὰ στρατόπεδά σου λαβεῖν αὐταῖς πα-

*Lin.* 26. ἐλευθερίας *Edd.* *L.* 31. κατεπόντωκας *edit.* 1. *L.* 32. ὁπόσην μὲν *Edd.* *Rectius Aug.* *L.* 33. προενήνοχας *Edd. invitis MSS.* *L.* 34. ἐπέρασας *Edd. invit. MSS.* ἐπέρασε *Reg. A. mend.* *In Reg. B. duæ lineæ h. l. omissæ.* *L.* 38. ἀφήρου *Edd. invit. MSS.* *L.* 41. δὲ *carent Edd. Sed ante* ἑκκαίδεκα *inserunt* καὶ *edit.* 2. 3.

„quorum alteros ſervitute liberaſti, alteros ære alieno: vel in Græcos, quorum M. DC. uno ficto crimine ſuſtuliſti? vel in Gallogræcorum Tetrarchas, quos interfeciſti menſæ ſocios? vel in homines Italici nominis, quos univerſos uno die cum infantibus & matribus interemiſti merſiſtique, ne religionem quidem templorum reveritus, ad quæ illi confugerunt? Quibus rebus *quantam crudelitatem* tuam, *quantam impietatem*, *quam immane in nos odium declaraſti?* „Occupatis deinde omnibus omnium pecuniis, in Europam ingentes trajeciſti exercitus; ſpreto *noſtro edicto*, quod *omnes Aſiæ reges abſtinere Europa jubet.* Hinc Macedoniam incurſaſti, noſtram provinciam; & Græcis libertatem ademiſti. *Neque prius pœnitentia* harum rerum *tuum ſubiit animum*, nec deprecatore Archelao prius uſus es, *quam* ego recepi Macedoniam, & Græciam e tua violentia eripui, *cæſis* CLX. *millibus ex tuis copiis*, & binis caſtris cum ad-

ρασκευαῖς. Ὃ καὶ θαυμάζω σου δικαιολογουμένου νῦν ἐφ᾽ οἷς δι᾽ Ἀρχελάου παρεκάλεις. ἢ πόῤῥω μὲν ὄντα με ἐδεδοίκεις, ἀγχοῦ δὲ γενόμενον ἐπὶ δίκην ἐληλυθέναι νομίζεις; ἧς ὁ καιρὸς ἀνάλωται, σοῦ τε πολεμήσαντος ἡμῖν, καὶ ἡμῶν ἀμυναμένων ἤδη καρτερῶς, καὶ ἀμυνουμένων ἐς τέλος. Τοσαῦτα τοῦ Σύλλα μετ᾽ ὀργῆς ἔτι λέγοντος, μετέπιπτεν ὁ βασιλεὺς καὶ ἐδεδοίκει· καὶ ἐς τὰς δι᾽ Ἀρχελάου γενομένας συνθήκας ἐνεδίδου. τάς τε ναῦς καὶ τὰ ἄλλα πάντα παραδοὺς, ἐς τὸν Πόντον ἐπὶ τὴν πατρῴαν ἀρχὴν ἐπανῄει μόνην. Ὧδε μὲν ὁ πρῶτος Μιθριδάτου τε καὶ Ῥωμαίων πόλεμος κατεπαύετο.

A. U. 670.

LIX. Σύλλας δὲ, Φιμβρίου δύο σταδίους ἀποσχὼν, ἐκέλευε παραδοῦναί οἱ τὸν στρατὸν, οὗ παρανόμως ἄρχοι. ὁ δὲ ἀντεπέσκωπτε μὲν, ὡς οὐδὲ ἐκεῖνος ἔτι ἐννόμως ἄρχοι. Περιταφρεύοντος δὲ αὐτὸν τοῦ Σύλλα, καὶ πολλῶν οὐκ ἀφανῶς ἀποδιδρασκόντων, ἐς ἐκκλησίαν τοὺς λοιποὺς ὁ Φιμβρίας συναγαγὼν, παρεκάλει παραμένειν.

*Lin.* 51. τὴν, *ad* πατρῴαν, *adjeci ex Aug.* *L.* 53. τε, *ante* καὶ, *caret Aug.* *L.* 56 *sq.* ἐννόμως ἀρχεῖ *edit.* 1. ἄρχει *edit.* 2. 3.

„paratu omni captis. Quo magis miror, excusare te nunc ea, quorum per *Archelaum* petiisti veniam: nisi me forte, quum procul abessem, timebas; nunc vero, quum propius adsum, ad disceptandum tecum putas accessisse. Sed nimirum præteriit tempus disceptationis, postquam ad arma res devenit, te inferente bello, nobisque propulsantibus strenue, & usque ad extremum propulsaturis." Hac *iracunda Syllæ oratione territus Mithridates*, consensit in leges pacis Archelao datas: traditisque navibus, & ceteris rebus de quibus convenerat, in *Pontum* reversus est, paterno regno contentus. Atque ita PRIMUM BELLUM ROMANORUM CUM MITHRIDATE COMPOSITUM est.

59 *Sylla*, promotis castris ad secundum a *Fimbria* stadium, jussit eum *tradere sibi exercitum, cui contra leges præesset.* Qui illudens respondit, ne Syllam quidem jam imperare legitime. Hinc *circumvallatus a Sylla Fimbria*, quum a multis quoque desereretur propalam; convocata concione rogavit reliquos, ut

A. U. 670.

Οὐ φαμένων δὲ πολεμήσειν πολίταις, καταῤῥήξας τὸν χιτωνίσκον, ἑκάστοις προσέπιπτεν. ὡς δὲ καὶ τοῦτ' ἀπεστρέφοντο, καὶ πλείους ἐγίγνοντο αἱ αὐτομολίαι, τὰς σκηνὰς τῶν ἡγεμόνων περιήει· καί τινας αὐτῶν χρήμασι διαφθείρας, ἐς ἐκκλησίαν αὖθις συνεκάλει, καὶ συνόμνυσθαί οἱ προσέτασσεν. ἐκβοησάντων δὲ τῶν ἐνετῶν, ὅτι δέοι καλεῖν ἐπὶ τὸν ὅρκον ἐξ ὀνόματος· ὁ μὲν δὴ ἐκήρυττε τοὺς εὖ τι παθόντας ὑφ' ἑαυτοῦ· καὶ Νώνιον πρῶτον ἐκάλει, κοινωνόν οἱ πάντων γεγονότα. οὐκ ὀμνύντος δ' οὐδ' ἐκείνου, τὸ ξίφος ἐπισπάσας, ἠπείλει κτείνειν αὐτόν. μέχρι, βοῆς ἐκ πάντων γενομένης, καταπλαγεὶς, καὶ τοῦδ' ἐπαύσατο. Θεράποντα δὲ χρήμασι καὶ ἐλπίσιν ἐλευθερίας ἀναπείσας, ἔπεμψεν ὡς αὐτόμολον ἐπιχειρεῖν τῷ Σύλλα σώματι. ὁ δὲ, τῷ ἔργῳ πλησιάζων, καὶ ταρασσόμενος, καὶ ἐκ τοῦδε ὕποπτος γενόμενος, συνελήφθη τε καὶ ὡμολόγησε. Καὶ ὁ στρατὸς ὁ τοῦ Σύλλα, σὺν ὀργῇ καὶ καταφρονήσει περιστάντες τὸ τοῦ Φιμβρίου

*Lin.* 62. *artic.* αἱ *ex Aug. inserui.* *L.* 65. Ενετῶν *edit.* 1. Ἐνετῶν *edit.* 2. 3. *L.* 66. δὴ *carent Aug. Ven. Vat. Tria verba* ὁ μὲν δὴ *absunt a Reg. B.* *L.* 69. ἐπηπείλει *Edd. Secus Aug. Ven. Vat.* *L.* 72. ἐπιχερεῖν *Aug.* *L.* 74. καὶ, *ante* ἐκ τοῦδε, *adjeci ex Aug. Vat.*

permanerent. Qui quum *negarent*, *contra cives se bellaturos*; discissa tunica, suppliciter prensabat singulos. Et quum id quoque aversarentur, pluraque fierent transfugia; circumivit tentoria tribunorum, & largitione corruptis ex eis aliquot; rursum advocata concione, exegit jusjurandum. Ibi conclamantibus his, qui subornati erant, oportere nominatim ad sacramentum citari singulos; ille citare instituit eos, qui beneficiis sibi quibusdam erant obstricti; & ante omnes *Nonium* nominavit, qui consiliorum omnium ipsi fuerat socius. Ubi vero ne hic quidem juravit; stricto gladio *Fimbria* necem ei intentavit: destitit tamen, territus coorto ab omnibus clamore. *Servum* deinde pecuniis & spe libertatis *induxit*, *ut*, pro transfuga in Syllæ castris receptus, *interficeret Syllam*. Qui parum constanter rem adgressus, quum ex ipsa trepidatione suspicionem de sese movisset, comprehensusque esset, omnia fassus est. Hinc *Syllani milites*, cum ira & contemtu circumsistentes vallum Fimbriæ, con-

A. U. 670.

χαράκωμα, κατελοιδόρουν αὐτὸν, καὶ Ἀθηνίωνα ἐκάλουν· ὃς δραπετῶν τῶν ἐν Σικελίᾳ ποτὲ ἀποστάντων ὀλιγήμερος γεγένητο βασιλεύς.

LX. Ἐφ' οἷς ὁ Φιμβρίας, πάντα ἀπογνοὺς, ἐπὶ τὴν τάφρον προῆλθε, καὶ Σύλλαν αὐτῷ παρεκάλει συνελθεῖν ἐς λόγους. Ὁ δὲ ἀνθ' αὐτοῦ Ρουτίλιον ἔπεμπε. καὶ τόδε πρῶτον ἐλύπει τὸν Φιμβρίαν, οὐδὲ συνόδου, διδομένης καὶ τοῖς πολεμίοις, ἀξιωθέντα. δεομένῳ δ' αὐτῷ συγγνώμης τυχεῖν, εἴ τι νέος ὢν ἐξήμαρτεν, ὁ Ρουτίλιος ὑπέστη, Σύλλαν ἀφήσειν ἐπὶ θάλασσαν ἀπαθῆ διελθεῖν, εἰ μέλλοι τῆς Ἀσίας, ἧς ἐστιν ὁ Σύλλας ἀνθύπατος, ἀποπλευσεῖσθαι. ὁ δὲ, εἰπὼν ἑτέραν ὁδὸν ἔχειν κρείττονα, ἐπανῆλθεν ἐς Πέργαμον, καὶ ἐς τὸ τοῦ Ἀσκληπιοῦ ἱερὸν παρελθὼν, ἐχρήσατο τῷ ξίφει. οὐ καιρίου δ' αὐτῷ τῆς πληγῆς γενομένης, ἐκέλευσε τὸν παῖδα ἐπερεῖσαι. ὁ δὲ καὶ τὸν δεσπότην ἔκτεινε, καὶ αὐτὸν ἐπὶ τῷ δεσπότῃ. Οὕτω μὲν καὶ Φιμβρίας ἀπέθανε, πολλὰ τὴν Ἀσίαν ἐπὶ Μιθριδάτῃ λε-

*Lin. 82. ἀνθ' αὐτοῦ (sic) Aug. puto pro ἀνθ' ἑαυτοῦ, quod repositum mallem. L. 86. μέλλει Reg. B. L. 92. καὶ αὐτὸν edit. 2. 3. invitis MSS.*

vicia in *Fimbriam* projiciebant, & *Athenionem* eum *vocitabant*; quo nomine aliquando ex fugitivis in Sicilia aliquis paucorum dierum regnum obtinuerat.

60. Quapropter *Fimbria*, spe omni abjecta, in vallum progressus, *Syllam* invitavit ad colloquium. Qui ubi pro se misit *Rutilium*, id primum contristavit Fimbriam, ne colloquium quidem sibi concedi, quod tamen nec hostibus soleat negari. Tum vero veniam roganti, si quid peccasset per ætatis imprudentiam, postquam *Rutilius* promisit, *Syllam permissurum, ut incolumis ad mare transeat, si velit ci Asia, cujus ipse Proconsul sit, decedere:* „habere se, respondit *Fimbria*, meliorem viam aliam;" simulque Pergamum rediit, &, ingressus templum Æsculapii, *gladio se trajecit:* Quumque letale non esset vulnus, servum jussit denuo adigere ferrum; qui & dominum primum, & mox se ipsum, interfecit. Talem exitum habuit *Fimbria*, quum multis post Mithridatem malis adfecisset Asiam. Corpus *Sylla*

A. U. 670. λυμασμένος. καὶ αὐτὸν ὁ Σύλλας ἐφῆκε τοῖς ἀπελευθέροις θάψαι· καὶ ἐπεῖπεν, οὐ μιμεῖσθαι Κίνναν καὶ Μάριον, ἐν Ῥώμῃ θάνατόν τε πολλῶν καὶ ἀταφίαν ἐπὶ τῷ θανάτῳ καταγνόντας. Τὸν δὲ στρατὸν τοῦ Φιμβρίου, προσιόντα οἱ, δεξιωσάμενός τε καὶ τῷ σφετέρῳ συναγαγὼν, Κουρίωνι προσέταξε Νικομήδην ἐς Βιθυνίαν, καὶ Αριοβαρζάνην ἐς Καππαδοκίαν, καταγαγεῖν. τῇ τε βουλῇ περὶ πάντων ἐπέστελλεν, οὐχ ὑποκρινόμενος ἐψηφίσθαι πολέμιος.

LXI. Αὐτὴν δὲ τὴν Ασίαν καθιστάμενος, Ιλιέας μὲν καὶ Χίους, καὶ Λυκίους, καὶ Ροδίους, καὶ Μαγνησίαν, καί τινας ἄλλους, ἢ συμμαχίας ἀμειβόμενος, ἢ ὧν διὰ προθυμίαν ἐπεπόνθεσαν οὗ ἕνεκα, ἐλευθέρους ἠφίει, καὶ Ρωμαίων ἀνέγραφε φίλους. Ες δὲ τὰ λοιπὰ πάντα στρατιὰν περιέπεμπε· καὶ τοὺς θεράποντας, οἷς ἐλευθερίαν ἐδεδώκει Μιθριδάτης, ἐκήρυττεν, αὐτίκα ἐς τοὺς δεσπότας ἐπανιέναι. Πολλῶν δὲ ἀπειθούντων, καὶ πόλεών τινων

*Lin. 99. duo verba* ἐς Βιθυνίαν *deſiderantur in Edd. cum Reg. A. & Cand. L. 4.* Ιλέας *edit. 1. L. 7.* ἐπεπόνθεισαν. οὗ ἕνεκα ἐλευθ. *Edd. Rectius Aug. quem ſecutus ſum.*

libertis defuncti ad ſepulturam conceſſit; adjiciens, nolle ſe imitari Cinnam Mariumque, qui multos in Urbe ſepultura ſimul cum vita privaſſent. Tum *exercitum Fimbriæ* ad ſe accedentem in fidem *recepit*, cum ſuoque conjunxit. Et mox miſſo *Curione*, ut Nicomedem in Bithyniam & Ariobarzanem in Cappadociam reduceret; ad Senatum omnia perſcripſit, hoſtem ſe judicatum eſſe, diſſimulans.

61. Hinc *Aſiam provinciam ordinans Sylla*, Ilienſes, Chios, Lycios, Rhodios, Magneſios, & alias nonnullas civitates, vel in auxiliorum præmium, vel in ſolatium malorum, quæ propter ipſum pertulerant, libertate donatos, adſcripſit inter populi Romani ſocios. Dein, dimiſſis circa reliqua omnia oppida militibus, per præconem edixit, ut quotquot mancipia libertatem a Mithridate accepiſſent, confeſtim in herilem redirent poteſtatem. Quod edictum quum multi contemnerent, & aliquot civitates deficerent; ſe-

A. U. 670.

ἀφισταμένων, ἐγίγνοντο σφαγαὶ κατὰ πλῆθος ἐλευθέρων τε καὶ θεραπόντων, ἐπὶ ποικίλαις προφάσεσι. τείχη τε πολλῶν καθῃρεῖτο, καὶ συχνὰ τῆς Ἀσίας ἠνδραποδίζετο καὶ διηρπάζετο. οἵ τε καππαδοκίσαντες, ἄνδρες ἢ πόλεις, ἐκολάζοντο πικρῶς, καὶ μάλιστα αὐτῶν Ἐφέσιοι, σὺν αἰσχρᾷ κολακείᾳ ἐς τὰ Ῥωμαίων ἀναθήματα ἐνυβρίσαντες. Ἐπὶ δὲ τοῖσδε καὶ κήρυγμα περιῄει, τοὺς ἐν ἀξιώσει κατὰ πόλιν ἐς ἡμέραν ῥητὴν πρὸς τὸν Σύλλαν ἀπαντᾶν ἐς Ἔφεσον. Καὶ συνελθοῦσιν αὐτοῖς, ἐπὶ βήματος ἐδημηγόρησεν οὕτως·

LXII. Ἡμεῖς στρατῷ πρῶτον ἐς Ἀσίαν παρήλθομεν, Ἀντιόχου τοῦ Σύρων βασιλέως πορθοῦντος ὑμᾶς. ἐξελάσαντες δ᾽ αὐτὸν, καὶ τὸν Ἅλυν καὶ Ταῦρον αὐτῷ θέμενοι τῆς ἀρχῆς ὅρον, οὐ κατέσχομεν ὑμῶν, ἡμετέρων ἐξ ἐκείνου γενομένων· ἀλλὰ μεθήκαμεν αὐτονόμους· πλὴν εἴ τινας Εὐμενεῖ καὶ Ῥοδίοις, συμμαχήσασιν ἡμῖν, ἔδομεν, οὐχ ὑποτελεῖς, ἀλλ᾽ ἐπὶ προστάταις εἶναι. τεκμήριον δ᾽, ὅτι

*Lin.* 15. καὶ διηρπάζετο *carent Edd. Ibid. sq.* ἄνδρες καὶ πόλεις *Edd. Prætuli Aug. L.* 18. ὑβρίσαντες *Aug. Vat. L.* 24. τιθέμενοι *Edd. L.* 25. οὐκ ἀντέσχομεν *Edd. invitis MSS.*

cutæ ſunt multiplices cædes, tam ſervorum, quam ingenuorum, ex variis occaſionibus: & multorum oppidorum diruta mœnia ſunt, alia oppida direpta, quorumdam cives ſub haſta venditi. Tum *qui factionis regiæ fuerant*, vel cives, vel populi, *ſevere mulctabantur*; præſertim *Epheſii*, qui per turpem adulationem donaria Romanorum cum ludibrio detraxerant. Poſt hæc præcones per provinciam dimiſſi ſunt, qui *optimates civitatum* juberent *ad certum diem apud Syllam adeſſe Epheſi.* Qui poſtquam convenere; ſic eos SYLLA pro tribunali adlocutus eſt:

62. „Nos primum in Aſiam exercitum adduximus, quum Antiochus Syriæ rex vos popularetur. Quo ultra Halym Taurumque, quos limites regni ei fiximus, compulſo; vos, qui noſtri facti eſtis, quum illi paruiſſetis, non retinuimus in poteſtate, ſed permiſimus eſſe liberos: exceptis aliquot populis, quos Eumeni Rhodiiſque, noſtris ſociis, adtribuimus, ut clientes eorum magis, quam tributarii, eſſent; cujus rei argumentum eſt, quod Lycios, de Rho-

A. U. 670.

Λυκίους, αἰτιωμένους τι, Ῥοδίων ἀπεστήσαμεν. Ἡμεῖς μὲν δὴ τοιοίδε περὶ ὑμᾶς γεγόναμεν. Ὑμεῖς δὲ, Ἀττάλου τοῦ Φιλομήτορος τὴν ἀρχὴν ἡμῖν ἐν διαθήκαις καταλιπόντος, Ἀριστονίκῳ καθ' ἡμῶν τέτταρσιν ἔτεσι συνεμαχεῖτε· μέχρι καὶ Ἀριστόνικος ἑάλω, καὶ ὑμῶν οἱ πλείους ἐς ἀνάγκην καὶ φόβον περιήλθετε. Καὶ ὧδε πράσσοντες, ὅμως, ἔτεσιν εἴκοσι καὶ τέτταρσιν ἐς μέγα περιουσίας καὶ κάλλους κατασκευῆς ἰδιωτικῆς τε καὶ δημοσίας προελθόντες, ὑπὸ εἰρήνης καὶ τρυφῆς ἐξυβρίσατε αὖθις· καὶ τὴν ἀσχολίαν ἡμῶν τὴν ἀμφὶ τὴν Ἰταλίαν φυλάξαντες, οἱ μὲν ἐπηγάγεσθε Μιθριδάτην, οἱ δ' ἐλθόντι συνέθεσθε. ὃ δ' ἐστὶ πάντων μιαρώτατον, ὑπέστητε αὐτῷ, μιᾶς ἡμέρας τοὺς Ἰταλιώτας ἅπαντας αὐτοῖς παισὶ καὶ μητράσιν ἀναιρήσειν. καὶ οὐδὲ τῶν ἐς τὰ ἱερὰ συμφυγόντων διὰ τοὺς ὑμετέρους θεοὺς ἐφείσασθε. Ἐφ' οἷς ἔδοτε μέν τινα καὶ αὐτῷ Μιθριδάτῃ δίκην, ἀπίστῳ τε ἐς ὑμᾶς γενομένῳ, καὶ φόνου καὶ δημεύσεων ἐμπλήσαντι ὑμᾶς, καὶ γῆς ἀναδασμοὺς ἐργασαμένῳ, καὶ χρεῶν ἀποκοπὰς, καὶ δού-

*Lin.* 35. καὶ τέσσαρσιν *Edd.* *L.* 43. ἐφ' ἧς *Aug. male.* *Ibid.* ἔδομεν τινὰ *Edd.* *L.* 44. ἀπίστῳ τε καὶ ἐς ὑμᾶς *Reg. B.*

„diis questos, exemimus eorum imperio. Hæc quidem *nostra* sunt *de vobis merita.* Pro quibus *vos*, postquam Attalus Philometor per testamentum nobis regnum suum reliquit, *Aristonico contra nos opem tulistis* per quadriennium; donec, illo capto, plerique vestrûm metu compulsi, redierunt ad officium. Sed iidem vos nihilominus, postquam per viginti quatuor annos publice privatimque opibus & ornamentis aucti eratis, ex otio deliciisque resumsistis contra nos petulantiam: & arrepta occa„sione e bello nostro sociali, partim *adduxistis adversus nos Mithridatem*, partim *venienti vos adjunxistis:* &, quod longe est scelestissimum, *sustinuistis* jussu ejus *uno die Italos omnes interficere* cum liberis & matribus; ac ne illis quidem pepercistis, qui ad ædes diis vestris sacratas confugerant. Quorum scelerum pœnam quidem aliquam ipsi Mithridati etiam dedistis; qui, erga vos perfidus, rapinis cædibusque vos exhausit, agris insuper & creditis pecuniis mulctavit, servos vestros in liberta-

A. U. 670.

λων ἐλευθερώσεις, καὶ τυράννους ἐπ᾽ ἐνίοις, καὶ λῃστήρια πολλὰ ἀνά τε γῆν καὶ θάλασσαν. ὡς εὐθὺς ὑμᾶς ἔχειν ἐν πείρᾳ καὶ παραβολῇ, οἵους ἀνθ᾽ οἵων προστάτας ἐπελέγεσθε. Ἔδοσαν δέ τινα καὶ ἡμῖν δίκην οἱ τῶνδε ἄρξαντες. ἀλλὰ δεῖ καὶ κοινὴν ὑμῖν ἐπιτεθῆναι, τοιάδε ἐργασαμένοις· ἣν εἰκὸς μὲν ἦν ὁμοίαν οἷς ἐδράσατε γενέσθαι. Μήποτε δὲ Ῥωμαῖοι σφαγὰς ἀσεβεῖς ἢ δημεύσεις ἀβούλους, ἢ δούλων ἐπαναστάσεις, ἢ ὅσα ἄλλα βαρβαρικὰ, μηδ᾽ ἐπὶ νοῦν λάβοιεν. Φειδοῖ δὲ γένους ἔτι καὶ ὀνόματος Ἑλληνικοῦ καὶ δόξης τῆς ἐπὶ τῇ Ἀσίᾳ, καὶ τῆς φιλτάτης Ῥωμαίοις εὐφημίας οὕνεκα, μόνους ὑμῖν ἐπιγράφω πέντε ἐτῶν φόρους ἐσενεγκεῖν αὐτίκα, καὶ τὴν τοῦ πολέμου δαπάνην, ὅση τε γέγονέ μοι, καὶ ἔσται καθισταμένῳ τὰ ὑπόλοιπα. διαιρήσω δὲ ταῦθ᾽ ἑκάστοις ἐγὼ κατὰ πόλεις, καὶ τάξω προθεσμίαν ταῖς ἐσφοραῖς. καὶ τοῖς οὐ φυλάξασιν ἐπιθήσω δίκην ὡς πολεμίοις.

*Lin.* 50. δίκην ὡς τῶνδε *Edd.* *L.* 52. ὁμοίαν *carent Edd.* *L.* 56. *verba* καὶ δόξης *&c. forsan cum seqq. jungenda, ut* gloriam *dicat*, qua Romani per Asiam fruuntur, ob beneficia in eam collata. *Ib. sq.* καὶ τοῖς φιλτάτοις Ῥωμαίοις, εὐφημίας *&c. Edd.* *L.* 57. εὐφημίας *caret Vat.* *L.* 60. ἐγὼ καὶ κατὰ πόλεις *Aug. Vat.*

„tem vindicavit, non nusquam & tyrannos constituit, mare denique replevit prædonibus: ut statim experimento conferre possetis, qualibus relictis quales vobis patronos optavéritis. Et nobis quoque aliquam pœnam jam luerunt auctores istorum malorum. Sed oportet etiam *publicam mulctam* vobis irrogari; quam æquum erat, ut parem penderetis vestris commeritis. Sed absint a Romanis cædes impiæ, publicationesque bonorum temerariæ, vel concitationes servitiorum, & id genus exempla barbarica, a quorum etiam cogi„tatione abhorret animus. Dabitur venia generi etiam nunc nominique Græco per Asiam celebrato; & ratio habebitur mansuetudinis, cujus carissima Romanis laus est. *Tributum* tantum *quinque annorum vobis impono* nunc statim repræsentandum, *sumtusque in bellum factos*, & si quos præterea sumtus postulabit constitutio provinciæ. Eamque collationem ego in singulas civitates dividam, & tempus conferendi definiam. Quos autem secus facere deprehendero, ii mihi, tamquam hostes, pœnas dabunt."

A. U. 670. LXIII. Τοσάδε εἰπὼν, ἐπιδιῄρει τοῖς πρέσβεσι τὴν ζημίαν, καὶ ἐπὶ τὰ χρήματα ἔπεμπεν. Αἱ δὲ πόλεις, ἀποροῦσαί τε, καὶ δανειζόμεναι μεγάλων τόκων, αἱ μὲν τὰ θέατρα τοῖς δανείζουσιν, αἱ δὲ τὰ γυμνάσια, ἢ τεῖχος, ἢ λιμένας, ἤ τι δημόσιον ἄλλο, σὺν ὕβρει στρατιωτῶν ἐπειγόντων, ὑπετίθεντο. τὰ μὲν δὴ χρήματα ὧδε τῷ Σύλλᾳ συνεκομίζετο. Καὶ κακῶν ἄδδην εἶχεν ἡ Ἀσία. Επέπλει δ᾽ αὐτὴν καὶ λῃστήρια πολύανδρα φανερῶς, στόλοις ἐοικότα μᾶλλον ἢ λῃσταῖς· Μιθριδάτου μὲν αὐτὰ πρώτου καθέντος ἐς τὴν θάλασσαν, ὅτε πάνθ᾽ ὡς οὐκ ἐς πολὺ καθέξων ἐλυμαίνετο· πλεονάσαντα δ᾽ ἐς τότε μάλιστα, καὶ οὐ τοῖς πλέουσι μόνοις, ἀλλὰ καὶ λιμέσι, καὶ χωρίοις, καὶ πόλεσιν ἐπιχειροῦντα φανερῶς. Ιασσός γέ τοι καὶ Σάμος, καὶ Κλαζομεναὶ, καὶ Σαμοθρᾴκη, Σύλλα παρόντος, ἐλήφθησαν· καὶ τὸ ἱερὸν ἐσυλήθη τὸ Σαμοθρᾴκιον, χιλίων ταλάντων κόσμον, ὡς ἐνομίζετο. ὁ δὲ, εἴτε ἑκὼν, ὡς ἁμαρτόντας ἐνυβρίζεσθαι καταλιπὼν,

*Lin.* 69. ἄδην *Edd. ut alibi, non male.* *L.* 75 *sq.* Ιασσὸς δέ τοι *Edd. ex Reg. A. qui tamen* δέ τι *dat.*

63. Hæc locutus *Sylla*, mulctam in legatos civitatum diſtribuit; ſimulque miſit, qui eam exigerent. At *civitates*, inopia preſſæ, magno fœnore mutuabantur pecunias, & aliæ *theatra fœneratoribus*, aliæ *gymnaſia*, aut *mœnia*, aut *portus*, aut aliud quid ex publicis poſſeſſionibus, *oppignerabant*, contumelioſe urgentibus militibus. Atque ita pecuniæ comportabantur ad Syllam; gemente ſub calamitatum pondere Aſia. Nam & *piratæ*, magno hominum numero ſtipati, propalam *per Aſiæ oras vagabantur*, juſtarum claſſium magis ſpeciem, quam piratarum, referentes. Qui primum a Mithridate fuerant mari immiſſi, quum omnia ille, tamquam brevi amiſſurus, vaſtaret: ſed tunc maxime & numero & viribus creverant; non navigantibus ſolum infeſti, verum & portus, & caſtella, & oppida propalam invadentes. Certe *Jaſſus*, *Samus*, *Clazomenæ*, *Samothrace*, præſente adhuc Sylla, *a piratis captæ ſunt*; & e fano Samothraciæ mille talentorum ornamenta ablata feruntur. At SYLLA, ſive quod propter peccata indignos exiſtimaret, quos tueretur, ſive

εἶτ' ἐπὶ τὴν ἐς Ῥώμην στάσιν ἐπειγόμενος, ἐς τὴν Ἑλλάδα, καὶ ἀπ' αὐτῆς ἐς τὴν Ἰταλίαν, μετὰ τοῦ πλείονος στρατοῦ διέπλει. Καὶ τὰ μὲν ἀμφὶ Σύλλαν ἐν τοῖς Ἐμφυλίοις ἀναγέγραπται. *A. U.*

LXIV. Ἄρχεται δὴ ὁ δεύτερος Ῥωμαίων τε καὶ Μι- 671.
θριδάτου πόλεμος, ἐνθένδε. Μουρήνας μὲν ὑπὸ Σύλλα σὺν δύο τέλεσι τοῖς Φιμβρίου καθίστασθαι τὰ λοιπὰ τῆς Ἀσίας ὑπελέλειπτο, καὶ πολέμων ἀφορμὰς ἠρεσχέλει, δι' ἐπιθυμίαν θριάμβου. Μιθριδάτης δὴ, ἐς τὸν Πόντον ἐσπλεύσας, Κόλχοις καὶ Βοσπορίανοῖς ἀφισταμένοις ἐπολέμει. ὧν Κόλχοι τὸν υἱὸν παρ' αὐτοῦ, Μιθριδάτην, βασιλέα σφίσιν ᾐτοῦντο δοθῆναι· καὶ λαβόντες, αὐτίκα ὑπήκουσαν. ὑποπτεύσας δὴ ὁ βασιλεὺς, τόδε πρὸς τοῦ παιδὸς αὐτοῦ, βασιλείας ἐπιθυμοῦντος, γενέσθαι· καλέσας αὐτὸν, ἔδησεν ἐν πέδαις χρυσαῖς· καὶ μετ' οὐ πολὺ ἀπέκτεινε, πολλὰ χρήσιμόν οἱ περὶ τὴν Ἀσίαν ἐν τοῖς πρὸς Φιμβρίαν ἀγῶσι γενόμενον. Ἐπὶ δὲ Βοσποριανοὺς ναῦς τε

*Lin.* 87. ἠρεσχήλει *edit.* 1. *cum quinque noſtris MSS.* ἠρεσχέλει *ed.* 2. 3. *Adhibui emendationem, quæ mihi neceſſaria viſa eſt, adſentiente Muſgrav.*

quod in Urbem propter ſeditiones properaret, in Græciam trajecit, & inde porro *in Italiam* cum majore parte exercitus *reverſus eſt.* Quæ vero ibi geſſit, commemorantur in *Bellorum Civilium Hiſtoria.*

64. Mox autem SECUNDUM BELLUM MITHRIDATICUM, hujuſmodi de cauſa, cepit initium. MURENA, *ad reliqua in Aſia ordinanda*, cum duabus Fimbrianis legionibus *a Sylla relictus*, bellorum occaſiones per varias cavillationes captabat, triumphi cupidine. *Mithridates*, in Pontum reverſus, cum Colchis & Boſporanis bellum gerebat, qui ab ejus imperio defecerant. Ex his *Colchi filium* ejus, *Mithridatem*, ſibi *regem poſtularunt:* quo impetrato, ſtatim redierunt ſub imperium. Id rex ſuſpicatus factum per ipſius filii ambitionem, vocatum ad ſe vinxit aureis compedibus, nec multo poſt necavit; cum egregia ejuſdem opera uſus fuiſſet in Aſia contra Fimbriam. Adverſus *Boſporanos* autem claſſem parabat &

A. U. 671.

συνεπήγνυτο, καὶ στρατὸν ἡτοιμάζετο πολύν· ὡς τὸ μέγεθος αὐτοῦ τῆς παρασκευῆς δόξαν ἐγεῖραι ταχεῖαν, οὐκ ἐπὶ Βοσποριανοῖς, ἀλλ᾽ ἐπὶ Ῥωμαίοις τάδε συλλέγεσθαι. οὐ γάρ πω οὐδ᾽ Ἀριοβαρζάνῃ πᾶσαν ἐβεβαίου Καππαδοκίαν, ἀλλ᾽ ἔστιν αὐτῆς ἃ καὶ τότε κατεῖχεν. Ἀρχέλαόν τε ἐν ὑποψίᾳ ἐτίθετο, ὡς πολλὰ πέρα τοῦ δέοντος κατὰ τὴν Ἑλλάδα ἐν ταῖς διαλύσεσιν ἐπιχωρήσαντα τῷ Σύλλᾳ. ὧν ὁ Ἀρχέλαος αἰσθανόμενός τε καὶ δείσας, ἐς Μουρήναν ἔφευγε. καὶ παροξύνας αὐτὸν, ἔπεισε, Μιθριδάτῃ προεπιχειρεῖν. Μουρήνας μὲν δὴ διὰ Καππαδοκίας αὐτίκα ἐσβαλὼν ἐς Κόμανα, κώμην ὑπὸ τῷ Μιθριδάτῃ μεγίστην, σεβάσμιον ἱερὸν καὶ πλούσιον ἔχουσαν, ἱππέας τινὰς ἔκτεινε τοῦ Μιθριδάτου· καὶ πρέσβεσιν αὐτοῦ, τὰς συνθήκας προτείνουσιν, οὐκ, ἔφη, συνθήκας ὁρᾷν. οὐ γὰρ συνεγέγραπτο Σύλλας· ἀλλ᾽ ἔργῳ τὰ λεχθέντα βεβαιώσας, ἀπήλλακτο.

Ταῦτα

*Lin.* 97 *sq.* μέγεθος αὐτῷ *Edd. Prætuli Aug.* *L.* 98 *sq.* Βοσποριανοὺς *Edd. invitis MSS.* *L.* 99. Ῥωμαίους *Edd. cum Reg. A. Aug. & Reg. B. ex emend. Secus Ven. & Reg. B. a pr. m.* *L.* 2. κατεῖχον *Edd. ex Reg. A.* *Ibid.* ἐν ὑποψίαις *Aug.* *L.* 8. Κόμενα *Reg. B.* Κώμανα *Aug.* Κόμμανα *Vat.* Cumas *Cand.* *Ibid. pro* κώμην, *quod ex Aug. & Vat. recepi, dant* πόλιν *Edd.* *L.* 11. συνέγραπτο *Aug. forte ex* συγγέγραπτο *corrupt.*

magnum exercitum; adeo ut *propter adparatuum magnitudinem* mox exorta ſit *opinio*, non in Boſporanos, ſed *in Romanos hæc parari.* Nam neque dum Ariobarzani ſolidam Cappadociæ reddiderat poſſeſſionem, retentis ſibi locis nonnullis: & Archelaum ſuſpectum habebat, quaſi ille in pacis conditionibus, de quibus cum Sylla in Græcia egerat, multo plura, quam neceſſe fuerat, Syllæ conceſſiſſet. Quod ubi ſenſit *Archelaus*, territus *ad Murenam confugit*; eumque irritando, effecit, ut prior Mithridati arma inferret. Itaque *Murena* ſtatim per Cappadociam *invaſit Comana*, vicum in Mithridatis ditione maximum, & religioſo opulentoque templo inſignem; equiteſque nonnullos regis interfecit. Quumque legati regis provocarent ad fœdera; *nulla ſe videre fœdera*, reſpondit: nulla enim conſcripſerat Sylla, ſed executione pactorum contentus diſceſſerat.

Ταῦτα δ' εἰπὼν ὁ Μουρήνας, εὐθέως ἐλεηλάτει· καὶ οὐδὲ τῶν ἱερῶν χρημάτων ἀποσχόμενος, ἐχείμαζεν ἐν Καππαδοκίᾳ. *A. U.* 671.

LXV. Μιθριδάτης δ' ἐς Ῥώμην ἔπεμπε πρός τε τὴν βουλὴν καὶ πρὸς Σύλλαν, αἰτιώμενος ἃ ποιεῖ Μουρήνας. Ὁ δ' ἐν τούτῳ τὸν Ἅλυν ποταμὸν περάσας, μέγαν τε ὄντα, καὶ δύσπορον τότε μάλιστα αὐτῷ γενόμενον ὑπὸ ὄμβρων, τετρακοσίας τοῦ Μιθριδάτου κώμας ἐπέτρεχεν· οὐκ ἀπαντῶντος ἐς οὐδὲν αὐτῷ τοῦ βασιλέως, ἀλλὰ τὴν πρεσβείαν ἀναμένοντος. λείας δὲ πολλῆς καταγέμων, ἐς Φρυγίαν καὶ Γαλατίαν ἐπανῄει. ἔνθα αὐτῷ Καλίδιος, ἐπὶ ταῖς Μιθριδάτου μέμψεσι πεμφθεὶς ἀπὸ Ῥώμης, ψήφισμα μὲν οὐδὲν ἐπέδωκεν· ἔφη δ' ἐς ἐπήκοον ἐν μέσῳ, τὴν βουλὴν αὐτῷ κελεύειν φείδεσθαι τοῦ βασιλέως, ὄντος ἐνσπόνδου. ταῦτα δ' εἰπὼν, ὤφθη διαλεγόμενος αὐτῷ μόνῳ. Καὶ ὁ Μουρήνας, οὐδὲν ἀνεὶς τῆς ὁρμῆς, καὶ τότε τὴν γῆν ἐπῄει τὴν τοῦ Μιθριδάτου. Ὁ δὲ, σαφῶς ὑπὸ Ῥωμαίων ἡγούμενος πολεμεῖσθαι, Γόρδιον ἐς τὰς κώμας 672.

*Lin.* 23. Κανίδιος *Vat.* *L.* 25. ἐνέδωκεν *Vat.* *L.* 26. αὐτὸν κελεύειν *Edd.* *Prætuli Aug.* *L.* 29. τὴν, *ante* τοῦ, *adjeci ex Aug. Ven.*

discesserat. Ea locutus *Murena*, nulla interposita mora prædas agebat, ac ne a sacris quidem pecuniis manum abstinebat. Quo facto in Cappadociam hibernatum secessit.

65. *Mithridates* interim ad senatum & ad Syllam misit, qui de Murena conquererentur. Qui priusquam redirent, *Murena, trajecto Haly* fluvio, magno & tum maxime imbribus tumido, CCCC. *Mithridatis vicos incursavit*; nusquam occurrente rege, sed exspectante reditum legatorum. Ille refertus præda, postquam in Phrygiam Gallogræciamque reversus est, invenit ibi *Calidium*, propter Mithridatis querelas Roma missum: qui nullum quidem ei Senatusconsultum obtulit; denunciavit tamen, audientibus omnibus, *jubere Senatum, ut a fœderato rege abstineat arma.* Quibus dictis, mox in conspectu aliorum seorsim cum eo collocutus est. Et *Murena*, nil remittens de vehementia, abhinc quoque incursavit fines *Mithridatis*. Qui, aperto jam bello peti se a Romanis existimans, *Gordium* jussit invadere finitimos

A. U. 672. ἐσβαλεῖν ἐκέλευσε. καὶ αὐτίκα ὁ Γόρδιος ὑποζύγιά τε πολλὰ καὶ σκευοφόρα καὶ ἀνθρώπους, ἰδιώτας τε καὶ στρατιώτας, συνήρπαζε· καὶ αὐτῷ Μουρήνᾳ, μέσον λαβὼν ποταμὸν, ἀντεκαθέζετο. μάχης δ' οὐδέτερος ἦρχεν, ἕως ἀφίκετο Μιθριδάτης σὺν τῷ πλείονι στρατῷ· καὶ εὐθὺς ἀμφὶ τῷ ποταμῷ μάχη γίγνεται καρτερά. καὶ βιασάμενος ὁ Μιθριδάτης ἐπέρα τὸν ποταμὸν, καὶ τἄλλα πολὺ κρείττων τοῦ Μουρήνα γενόμενος. ὁ δ' ἐς λόφον καρτερὸν ἀναφυγὼν, ἐπιχειροῦντος αὐτῷ τοῦ βασιλέως, πολλοὺς ἀποβαλὼν, ἔφευγε διὰ τῶν ὀρεινῶν ἐπὶ Φρυγίας, ὁδὸν ἀτριβῆ, βαλλόμενός τε καὶ χαλεπῶς.

LXVI. Ἥ τε νίκη, λαμπρὰ καὶ ὀξεῖα ἐξ ἐφόδου γενομένη, ταχὺ διέπτη, καὶ πολλοὺς ἐς τὸν Μιθριδάτην μετέβαλεν. Ὁ δὲ καὶ τὰ ἐν Καππαδοκίᾳ φρούρια τοῦ Μουρήνα πάντα ἐπιδραμών τε καὶ ἐξελάσας, ἔθυε τῷ Στρατίῳ Διῒ πάτριον θυσίαν ἐπὶ ὄρους ὑψηλοῦ, κορυφὴν μείζονα ἄλλην ἀπὸ ξύλων ἐπιτιθείς. Πρῶτοι δ' ἐς αὐτὴν

*Lin.* 31. ἐμβαλεῖν *Edd. Prætuli Aug.* *L.* 33. συνήρπασε *edit.* 3. *L.* 35. ἐν τῷ πλείονι *Edd.* *L.* 39. τοῦ, *ante* βασιλ. *caret Aug.* *L.* 41. χαλεπῶν *edit.* 1. *invit. MSS.* *L.* 47. ἐς αὐτὸν *Edd.*

vicos. Et mox *Gordius* jumenta multa & impedimenta virosque, cum paganos, tum milites, comprehendit; & *castra castris Murenæ*, interjecto fluvio, *opposuit*. Pugnæ vero neuter fecit initium: sed, postquam Mithridates advenit cum majori exercitu, mox circa fluvium acre commissum est prælium. Quo *prælio* quum *superior* discessisset *Mithridates*, & vi superasset fluvium; *Murena* in tumulum natura munitum se recepit. Ubi invasus a Mithridate, amissis multis, per montanos calles ægre, & hostium telis continue infestatus, *profugit in Phrygiam*.

66. Hæc tam præclara tamque celeriter & primo incursu parta victoria, præpeti fama ubique vulgata, multos rursus ad *Mithridatem* transtulit. Et *rex*, pulsis ex Cappadocia omnibus Murenæ præsidiis, *patrio more sacrificavit Jovi bellorum Præsidi*. Cujus instituti hæc ratio est. In excelsi montis cacumine altam lignorum congeriem exstruunt, ad quam primi reges ipsi compor-

οἱ βασιλεῖς ξυλοφοροῦσι· καὶ περιθέντες ἑτέραν ἐν κύκλῳ A. U.
βραχυτέραν, τῇ μὲν ἄνω γάλα, καὶ μέλι, καὶ οἶνον, 672.
καὶ ἔλαιον, καὶ θυμιάματα πάντα ἐπιφοροῦσι· τῇ δ' ἐπιπέδῳ σῖτόν τε καὶ ὄψον ἐς ἄριστον τοῖς παροῦσιν ἐπιτιθέντες, (οἷόν τι καὶ ἐν Πασαργάδαις ἐστὶ τοῖς Περσῶν βασιλεῦσι θυσίας γένος,) ἅπτουσι τὴν ὕλην. ἡ δ' αἰθομένη, διὰ τὸ μέγεθος, τηλοῦ τε χιλίων σταδίων γίγνεται τοῖς πλέουσι καταφανής· καὶ πελάσαι φασὶν ἐς πολλὰς ἡμέρας, αἰθομένου τοῦ ἀέρος, οὐ δυνατὸν εἶναι.
Ὁ μὲν δὴ τὴν θυσίαν ἦγε πατρίῳ νόμῳ. Σύλλα δ' οὐκ 673.
ἀξιοῦντος Μιθριδάτην ἔνσπονδον πολεμεῖσθαι, Αὖλος Γαβίνιος ἐπέμφθη, Μουρήνᾳ μὲν ἀληθῆ τήνδε προαγόρευσιν ἐρῶν, μὴ πολεμεῖν Μιθριδάτῃ· Μιθριδάτην δὲ καὶ Ἀριοβαρζάνην ἀλλήλοις συναλλάξων. Ὁ δὲ Μιθριδάτης ἐν τῇδε τῇ συνόδῳ παιδίον τετραετὲς ἐγγυήσας τῷ Ἀριοβαρζάνῃ, καὶ ἐπὶ τῇδε προφάσει λαβὼν ἔχειν Καππαδοκίας ὅσα τε

*Lin.* 49. μέλι καὶ γάλα *Edd. ex Reg. A.* *L.* 52. Παρσαργάδαις *Edd.* *L.* 53. γένος θυσίας *Edd. Prætuli Aug.* *L.* 55. τοῖς πλέοσι *edit.* 1. *L.* 59 *ſq.* προαγόρευσιν * ὧν (*ſic*) *Edd. In Reg. B. duarum literarum ſpatium relictum.* προαγόρευσιν σφῶν *Reg. A.* ἐρῶν *dederunt Aug. Ven. Vat.*

tant ligna. Tum circa eam congeriem conſtruunt aliam humiliorem: & in ſuperiorem lac & mel vinumque & oleum & aromatum omne genus ingerunt; in inferiori autem epulum præbetur præſentibus: quemadmodum & *Paſargadis* fieri conſueverat *in ſolennibus regum Perſarum ſacrificiis.* Deinde accenditur materia: & flamma, propter magnitudinem incendii, ad mille ſtadia ex mari conſpicitur: neque adpropinquare quemquam per complures dies, propter aëris fervorem, dicunt poſſe. Tali igitur inſtituto patrio ſacrificium celebravit *Mithridates.* Ceterum quoniam indignum cenſebat Sylla, Mithridatem bello infeſtari, qui fœdus non violaſſet; miſſus eſt *Aulus Gabinius*, qui ſimul Murenæ denunciaret, ſerium fuiſſe mandatum, quo ille abſtinere bellum a Mithridate fuerat juſſus; ſimul Mithridatem cum Ariobarzane reduceret in gratiam. In eo conventu *Mithridates*, deſponſata Ariobarzani filiola quadrienni, ſibique ſtipulato per eamdem occaſionem jure retinendi non ſolum eam par-

A. U. 673. εἶχε, καὶ ἕτερα ἐπ' ἐκείνοις, εἴσϑλία πάντας, καὶ χρυσίον ἐπί τε τῇ κύλικι, καὶ τῇ τροφῇ, καὶ ἐπὶ σκώμμασι, καὶ ἐπὶ ᾠδῇ, καὶ πᾶσιν, ὥσπερ εἰώθει, προὐτίθει· οὗ μόνος Γαβίνιος οὐχ ἥψατο. Ὁ μὲν δὴ δεύτερος Μιθριδάτῃ καὶ Ῥωμαίοις πόλεμος, τρίτῳ μάλιστα ἔτει, ἐς τοῦτο διελύετο.

674. LXVII. Καὶ σχολὴν ἄγων ὁ Μιθριδάτης, Βόσπορον ἐχειροῦτο, καὶ βασιλέα αὐτοῖς τῶν υἱέων ἕνα ἀπεδείκνυε Μαχάρην. ἐς δ' Ἀχαιοὺς τοὺς ὑπὲρ Κόλχους ἐσβαλὼν, (οἳ δοκοῦσιν εἶναι τῶν ἐκ Τροίας κατὰ τὴν ἐπάνοδον πλανηθέντων) δύο μέρη τοῦ στρατοῦ πολέμῳ τε καὶ κρύει καὶ ἐνέδραις ἀποβαλὼν, ἐπανῆλθε, καὶ ἐς Ῥώμην ἔπεμπε τοὺς συγγραψομένους τὰ συγκείμενα. ἔπεμπε δὲ καὶ Ἀριοβαρζάνης, εἴθ' ἑκὼν, εἴτε πρός τινων ἐνοχλούμενος, οὐκ ἀπολαμβάνειν Καππαδοκίαν, ἀλλὰ τὸ πλέον αὐτῆς ἔτι Μιθριδάτην ἀφαιρεῖσθαι. Μιθριδάτης μὲν οὖν, Σύλλα κελεύοντος αὐτῷ μεθεῖναι Καππαδοκίαν, μεθῆκε· καὶ

*Lin. 66. an delendum* καὶ *ante* πᾶσιν? *L. 68.* ἔτει *carent Edd. L. 74.* ἔπεμπε, *post* Ῥώμην, *carent Edd. L. 76.* οὔτε πρός τινων *edit.* I. *L. 78 ſq.* Σύλλᾳ, κελεύοντος αὐτοῦ μεθεῖναι *Edd. invitis MSS.*

tem Cappadociæ, quam jam tunc tenebat, ſed & aliam partem inſuper occupandi, *convivium præbuit* omnibus; in quo *certum auri pondus propoſuit his, qui bibacitate, vel edacitate, dicteriis, cantu, ceteriſque ſolennibus ludicris vincerent:* quorum pretiorum ſolus expers fuit *Gabinius.* Atque ita ALTERUM MITHRIDATICUM BELLUM tertio anno FINITUM eſt.

67. *Mithridates*, otium nactus, *ſubegit Boſporum*; & genti illi unum ex filiis, *Macharem*, *regem dedit.* Inde *Achæos* adgreſſus, qui ultra Colchos incolunt, & Græcorum a Troja revertentium atque errore in eas oras delatorum putantur reliquiæ, duas partes exercitus partim aperto bello, partim frigoris inclementia, partim inſidiis hoſtium, amiſit. Domum reverſus, miſit Romam, qui leges fœderis ſcripto conſignarent. Simul vero & *Ariobarzanes*, ſive ſponte, ſive incitatus ab aliis, miſit, qui Patres docerent, ſe non recepiſſe Cappadociam, & majorem ejus partem a Mithridate etiamnum teneri. Et Mithridates, juſſus a Sylla cedere Cappadocia, ceſſit: rurſuſque ad

ἑτέραν πρεσβείαν ἐπέπεμπεν ἐπὶ τὰς τῶν συνθηκῶν συγ- A. U.
γραφάς. Ἤδη δὲ Σύλλα τεθνεῶτος, οὐκ ἐπαγόντων αὐτὴν, 676.
ὡς ἐν ἀσχολίᾳ, τῶν προβούλων ἐπὶ τὸ κοινόν· Τιγράνη
τὸν γαμβρὸν Μιθριδάτης ἔπεισεν, ἐς Καππαδοκίαν ἐμ-
βαλεῖν, ὥσπερ ἀφ᾽ ἑαυτοῦ. καὶ τὸ μὲν σόφισμα οὐκ
ἔλαθε Ῥωμαίους. Ὁ δ᾽ Ἀρμένιος, Καππαδοκίαν σαγη- 678.
νεύσας, ἐς τριάκοντα μυριάδας ἀνθρώπων ἀνασπάστους
ἐς Ἀρμενίαν ἐποίησε, καὶ συνῴκιζεν αὐτοὺς μεθ᾽ ἑτέρων
ἔς τι χωρίον, ἔνθα πρῶτον Ἀρμενίας τὸ διάδημα αὐτὸς
περιεθήκατο, καὶ Τιγρανόκερταν ἀφ᾽ ἑαυτοῦ προσεῖπε·
δύναται δ᾽ εἶναι Τιγρανόπολις.

LXVIII. Καὶ τάδε μὲν ἦν ἐν Ἀσίᾳ. Σερτώριος δ᾽, Ἰβη-
ρίας ἡγούμενος, αὐτήν τε Ἰβηρίαν καὶ τὰ περίοικα πάντα
ἐπὶ Ῥωμαίους ἀνίστη, καὶ βουλὴν ἐκ τῶν οἱ συνόντων, ἐς
μίμημα τῆς συγκλήτου, κατέλεγε. Δύο δ᾽ αὐτοῦ τῶν 679.
στασιωτῶν, Λούκιοι, Μάγιός τε καὶ Φάννιος, Μιθριδάτην

*Lin.* 80. πρεσβείαν ἔπεμπεν *Edd. Prætuli Aug.* *L.* 82. Τιγράνῃ *ed.* 1. 2. *L.* 83. Μιθριδ. ἔπεμπεν ἐς Καππ. *Edd.* *L.* 86. ἀνασπαστοὺς *edit.* 2. 3. *L.* 89. *Rectius* Τιγρανόκερτα, *neutro genere, infra vocatur.* *L.* 95. Μάγνιός τε *edit.* 1. *cum MSS.* Μάνιός τε *edit.* 2. 3. *Cand. & (ni fallor) Ven. & sic iidem mox iterum. Restitui verum nomen.* *Ibid.* Φάνιος *Edd. Vat. & sic deinceps. Rectius Aug. Ven.*

conſcribendas fœderis leges aliam legationem miſit. Quæ quoniam, *mortua* nuper *Sylla*, ſenatuque aliis negotiis diſtricto, a prætoribus in ſenatum non eſt introducta; TIGRANEM generum *concitavit Mithridates*, *ut*, tamquam proprio conſilio, *invaderet Cappadociam*; quod quidem commentum non latuit Romanos. *Tigranes*, *Cappadocia* veluti indagine cincta, *ad trecenta millia hominum abſtraxit in Armeniam*; & agros eis cum aliis ad incolendum in eo loco adtribuit, ubi primum ſibi impoſuerat regni Armeniæ diadema, urbemque a ſuo nomine *Tigranocertam*, quaſi dicas *Tigranis urbem*, denominaverat.

68. Hæc dum in Aſia geruntur; SERTORIUS, *Hiſpaniam* provinciam obtinens, & ipſam & adcolas omnes *adverſus Romanos concitavit*: & ex amicis, quos circa ſe habebat, ſenatum ad imitationem Romani Senatus inſtituit. Hujus factionis duo ſocii, *L. Magius* & *L. Fannius*, Mithridatem

A. U. 679. ἔπειθον συμμαχῆσαι τῷ Σερτωρίῳ, πολλὰ περὶ τῆς Ἀσίας αὐτὸν καὶ τῶν ἐγγὺς ἐθνῶν ἐπελπίζοντες. Ὁ μὲν δὴ, πεισθεὶς, ἐς τὸν Σερτώριον ἔπεμψεν· ὁ δὲ, τοὺς πρέσβεις ἐς τὴν ἑαυτοῦ σύγκλητον παραγαγών τε, καὶ μεγαλοφρονησάμενος, ὅτι τὸ κλέος αὐτοῦ καὶ ἐς τὸν Πόντον διίκετο, καὶ Ῥωμαίους ἕξοι πολιορκεῖν ἀπό τε δύσεως καὶ ἐξ ἀνατολῆς, συνετίθετο τῷ Μιθριδάτῃ, δώσειν Ἀσίαν τε καὶ Βιθυνίαν, καὶ Παφλαγονίαν, καὶ Καππαδοκίαν, καὶ Γαλατίαν· στρατηγόν τε αὐτῷ Μάρκον Οὐάριον, καὶ συμβούλους τοὺς Λουκίους, Μάγιόν τε καὶ Φάννιον, ἔπεμψε. Μεθ' ὧν ὁ Μιθριδάτης ἐξέφαινε τὸν τρίτον καὶ τελευταῖόν οἱ γενόμενον ἐς Ῥωμαίους πόλεμον· ἐν ᾧ πᾶσαν ἀπώλεσε τὴν ἀρχὴν, Σερτωρίου μὲν ἀποθανόντος ἐν Ἰβηρίᾳ, ἐπιπεμφθέντων δέ οἱ στρατηγῶν ἀπὸ Ῥώμης, προτέρου Λουκούλλου τοῦδε, τοῦ νεναυαρχηκότος Σύλλᾳ, ὑστέρου δὲ Πομπηΐου· ἐφ' ὅτου πάντα ὅσα ἦν Μιθριδάτου, καὶ ὅσα

*Lin.* 96. τῆς, *ad* Ἀσίας, *adjeci ex Aug. Vat.* *Ibid. ſq.* Ἀσίας αὐτῷ *Edd.* *L.* 99. τὴν αὐτοῦ σύγκλητον *Reg. B.* *L.* 1. καὶ, *ante* ἐς τὸν Ποντ. *caret Vat.* *L.* 5. Μάρκιον *edit.* 1. *Aug. Vat. Cand. Retinui correct. H. Stephan. quam neſcio an confirmet Ven.* *Ibid.* Οὐάρον *Vat. Cand.* M. Marium *Plut. Oroſ.*

ad fœdus percutiendum cum Sertorio invitarunt; ſpem ei facientes, Aſiam & finitimas provincias præmia ſocietatis fore. Et perſuaſus *Mithridates, legatos ad Sertorium miſit.* Quibus in ſenatum ſuum introductis, *Sertorius*, multum ſibi gratulatus, quod in Pontum uſque penetraverit nominis ſui fama, ut jam poſſit Romanos ab occidente ac oriente oppugnare pariter, *fœdus cum Mithridate percuſſit;* in quo ei conceſſit Aſiam, Bithyniam, Paphlagoniam, Cappadociam, Gallogræciam. Ducem quoque ad eum miſit *M. Varium;* cui duos *Lucios*, *Magium*, *Fannium*que, adtribuit conſiliarios. Quibus auctoribus *Mithridates* TERTIUM ET ULTIMUM BELLUM *Romanis intulit;* in quo totum amiſit imperium, Sertorio mortuo in Hiſpania, contra ipſum vero miſſis ab Urbe ducibus, primum *Lucullo* eo, qui ſub Sylla claſſi præfuerat; deinde *Pompejo*, cujus auſpiciis univerſa Mithridatis ditio, & vicinæ huic regiones uſque ad

αὐτοῖς γειτονεύοντα, μέχρι ἐπὶ ποταμὸν Εὐφράτην, προφάσει καὶ ὁρμῇ τοῦ Μιθριδατείου πολέμου ἐς Ῥωμαίους ἅπαντα περιηνέχθη. A. U. 679.

LXIX. Μιθριδάτης μὲν οὖν, οἷα Ῥωμαίων πολλάκις ἐς πεῖραν ἐλθών· καὶ τόνδε μάλιστα τὸν πόλεμον ἡγούμενος, ἀπροφασίστως δὴ καὶ ὀξέως γενόμενον, ἄπειστον ἕξειν· πᾶσαν ἐπενόει παρασκευὴν, ὡς ἄρτι δὴ κριθησόμενος περὶ ἁπάντων. καὶ τὸ λοιπὸν τοῦ θέρους καὶ τὸν χειμῶνα ὅλον ὑλοτομῶν, ἐπήγνυτο ναῦς καὶ ὅπλα, καὶ σίτου διακοσίας μεδίμνων μυριάδας ἐπὶ θαλάσσῃ διετίθει. σύμμαχοί τε αὐτῷ προσεγίγνοντο, χωρὶς τῆς προτέρας δυνάμεως, Χάλυβες, Ἀρμένιοι, Σκύθαι, Ταῦροι, Ἀχαιοὶ, Ἡνίοχοι, Λευκόσυροι, καὶ ὅσοι περὶ Θερμώδοντα ποταμὸν γῆν ἔχουσι τὴν Ἀμαζόνων λεγομένην. Τοσαῦτα μὲν ἐπὶ τοῖς προτέροις αὐτῷ περὶ τὴν Ἀσίαν προσεγίγνετο· περάσαντι δ᾽ ἐς τὴν Εὐρώπην, Σαυροματῶν οἵ τε Βασίλειοι καὶ Ἰάζυγες, καὶ Κόραλλοι, καὶ Θρακῶν ὅσα γένη

*Lin.* 13. *vulgatum* μέχρις, *in* μέχρι *mutavi, ut paſſim alibi.* *L.* 17. ἡγησάμενος *Edd. invit. MSS. & omittunt diſtinct. poſt hanc vocem.* *L.* 18. ἄπειστον *edit.* 1. *ex Reg. B.* *L.* 25. Ἡνίοχοι *Reg. B. Aug. Cand.* *Ibid.* Θερμόδοντα *edit.* 1. *Regii.* *L.* 26. γῆν καὶ ἔχουσι *Aug. forte pro* κατέχουσι. *L.* 28. περάσαντα *Edd.*

flumen Euphratem, uno impetu per occaſionem hujus belli ſub imperium Populi Romani redactæ ſunt.

69. *Mithridates* igitur, jam ſæpius vires Romanas expertus; & hujus maxime belli, temere & repente moti, nullam ſperans veniam; *totus erat in adparatu*, de ſumma quippe rerum jam jacturus aleam. Æſtatis reliquum & integram hiemem conſumſit materie cædenda, fabricandiſque navibus & armis: frumentique CC. medimnorum myriadas, ad mare delatas, paſſim per oras diſpoſuit. *Auxilia* præſto ei fuere, præter veteres copias, Chalybes, Armenii, Scythæ, Tauri, Achæi, Heniochi, Leucoſyri, & qui circa Thermodontem fluvium terram colunt quam vocant Amazonum: hæc ex Aſia acceſſerunt priſtinæ potentiæ. Trans mare vero ex Europa, ſocios tunc ſibi adſcivit, ex Sarmaticis populis, Baſilidas & Jazyges, tum Corallos, & Thra-

A. U. 679. παρὰ τὸν Ἴστρον ἢ Ῥοδόπην ἢ τὸν Αἷμον οἰκοῦσι, καὶ ἐπὶ τοῖσδε Βαστάρναι, τὸ ἀλκιμώτατον αὐτῶν γένος. τοσάδε μὲν δὴ καὶ τῆς Εὐρώπης τότε προσελάμβανεν ὁ Μιθριδάτης. καὶ μυριάδες ἐκ πάντων ἐς τὸ μάχιμον αὐτῷ συνελέγοντο τεσσαρεσκαίδεκα μάλιστα πεζῶν, καὶ ἱππεῖς ἐπὶ μυρίοις ἑξακισχίλιοι. πολὺς δὲ καὶ ἄλλος ὅμιλος ὁδοποιῶν καὶ σκευοφόρων εἵπετο καὶ ἐμπόρων.

680. LXX. Ἀρχομένου δ' ἦρος, ἀπόπειραν τοῦ ναυτικοῦ ποιησάμενος, ἔθυε τῷ Στρατίῳ Διῒ τὴν συνήθη θυσίαν· καὶ Ποσειδῶνι λευκῶν ἵππων ἅρμα καθεὶς ἐς τὸ πέλαγος, ἐπὶ Παφλαγονίας ἠπείγετο, στρατηγούντων αὐτῷ Ταξίλου τε καὶ Ἑρμοκράτους. Ὡς δ' ἀφίκετο, ἐδημηγόρησε τῷ στρατῷ περί τε τῶν προγόνων μάλα σεμνολόγως, καὶ περὶ αὐτοῦ μεγαληγόρως· ὅτι τὴν ἀρχὴν ἐκ βραχέος ἐπὶ πλεῖστον παραγαγὼν, οὔποτε Ῥωμαίων ἡττηθείη παρών. εἶτα κατηγόρησεν αὐτῶν ἐς πλεονεξίαν καὶ ἀμετρίαν· ὑφ' ἧς, ἔφη, καὶ τὴν Ἰταλίαν καὶ τὴν

*Lin.* 30. Αἶμον *Edd.* *Prætuli Aug.* *L.* 31. Βασλέρναι *Edd.* *Aug.* *Rectius Vat. Cand.* *L.* 41. Taxillo *Cand.* τε *caret Vat.* *Ibid.* Εὐμοκράτους *Edd. Cand.* *L.* 43. περὶ αὐτοῦ *edit.* 2. 3. *Reg. B.*

cum quicumque Istrum flumen & Rhodopen Hæmumque montes adcolunt, & insuper fortissimos horum omnium Bastarnas. E quibus universis legit in militiam CXL. peditum, equitum XVI. millia. Sequebatur autem castra & alia magna turba eorum qui vias muniebant, aut deferebant sarcinas, atque etiam negotiatorum.

70. Ineunte autem vere *Mithridates*, decursione facta classium, *Sacra* more consueto *Jovi bellorum Præsidi* fecit; & *Neptuno quadrigas alborum equorum* demisit in mare. Quibus peractis, properavit in Paphlagoniam, *ducibus* exercitus *Taxile* & *Hermocrate*. Quo postquam ventum est, concionem ad milites habuit magniloquam, cum de suis majoribus, tum maxime de seipso; quod exigua regni pomœria in immensum auxisset, nec umquam præsens victus esset a Romanis. Hinc Romanorum accusavit avaritiam, adeo immoderatam, ut & Italiam & ipsam patriam in

πατρίδα αὐτὴν δεδούλωνται. καὶ τὰς γενομένας οἱ τελευταίας συνθήκας ἐπέφερεν, ὡς οὐκ ἐθέλουσιν ἀναγράψασθαι, καιροφυλακοῦντες αὖθις ἐπιθέσθαι. καὶ τοῦτο αἴτιον τοῦ πολέμου τιθέμενος, ἐπῆγε τὴν ἑαυτοῦ στρατιὰν ὅλην καὶ παρασκευὴν, καὶ Ῥωμαίων ἀσχολίαν, πολεμουμένων ὑπὸ Σερτωρίου κατακράτος ἐν Ἰβηρίᾳ, καὶ στασιαζόντων ἐς ἀλλήλους ἀνὰ τὴν Ἰταλίαν. διὸ καὶ τῆς θαλάσσης, ἔφη, καταφρονοῦσι λῃστευομένης πολὺν ἤδη χρόνον, καὶ σύμμαχος αὐτοῖς οὐδείς ἐστιν, οὐδ' ὑπήκοος ἑκούσιος ἔτι. Οὐχ ὁρᾶτε δ' αὐτῶν, ἔφη, καὶ τοὺς ἀρίστους (ἐπιδεικνὺς Οὐάριόν τε καὶ τοὺς Λουκίους) πολεμίους μὲν ὄντας τῇ πατρίδι, συμμάχους δ' ἡμῖν; A. U. 680.

LXXI. Ταῦτ' εἰπὼν, καὶ τὸν στρατὸν ἐρεθίσας, ἐνέβαλεν ἐς Βιθυνίαν, Νικομήδους ἄρτι τεθνεῶτος ἄπαιδος, καὶ τὴν ἀρχὴν Ῥωμαίοις ἀπολιπόντος. Κόττας δ' ἡγούμενος αὐτῆς, ἀσθενὴς τὰ πολέμια πάμπαν, ἔφυγεν ἐς Χαλκηδόνα μεθ' ἧς εἶχε δυνάμεως. καὶ Βιθυνία μὲν ἦν

*Lin.* 50. ἐπῆρε *maluit Musgr. quod & Gelenius expressit.* *L.* 57. Οὐάρόν τε *Vat. Cand. ut supra.* *L.* 58. δ' ἡμῶν *Reg. B.*

servitutem redegissent. Tum de fœdere, postremo loco secum inito, eosdem accusavit; ideo eos nolle fœdus illud scripto consignare, ut observato commodo tempore bellum sibi denuo possint inferre. His belli causis commemoratis, exposuit copias suas omnes, reliquumque adparatum; & quantis negotiis premantur Romani, a Sertorio tunc gravissimo bello infestati in Hispania, & in Italia seditionibus domesticis laborantes. Quapropter & mare, inquit, jam dudum a piratis infestari patiuntur, nec ulla sociorum habent auxilia, nec subditos ullos, qui libenter ipsorum pareant imperio. Annon vero, inquit, eorum optimates, (*Varium* ostendens & *Lucios*,) hostes quidem patriæ, nostros vero socios esse, videtis?"

71. His dictis irritato exercitu, *Bithyniam invasit Mithridates*, *a Nicomede*, nuper sine liberis defuncto, *per testamentum relictam populo Romano*. Cujus præses *Cotta*, vir *imbellis* admodum, *fugit Chalcedonem* cum suis copiis: atque ita Bithynia rursum sub

A. U. 680. αὖθις ὑπὸ τῷ Μιθριδάτῃ, τῶν πανταχοῦ Ῥωμαίων ἐς Χαλκηδόνα πρὸς Κόττα συνθεόντων. ἐπιόντος δὲ καὶ τῇ Χαλκηδόνι τοῦ Μιθριδάτου, Κόττας μὲν ὑπὸ ἀπραξίας οὐ προῄει. Νοῦδος δέ, ὁ ναύαρχος αὐτοῦ, σὺν μέρει τινὶ στρατοῦ τὰ ὀχυρώτατα τοῦ πεδίου καταλαβών, καὶ ἐξελαθεὶς, ἔφυγεν ἐπὶ τὰς πύλας τῆς Χαλκηδόνος διὰ θριγκίων πολλῶν, πάνυ δυσχερῶς. ἀμφί τε τὰς πύλας ὠθισμὸς ἦν ἐσπηδώντων ὁμοῦ· ὅθεν οὐδὲν τοῖς διώκουσιν αὐτοὺς βέλος ἠτύχει. ὡς δὲ καὶ περὶ τῶν πυλῶν δείσαντες οἱ φύλακες τὰ κλεῖθρα καθῆκαν ἐς αὐτὰς ἀπὸ μηχανῆς, Νοῦδον μὲν καὶ τῶν ἄλλων ἡγεμόνων τινὰς ὑπὸ καλωδίοις ἀνιμήσαντο· οἱ δὲ λοιποὶ μεταξὺ τῶν τε φίλων καὶ τῶν πολεμίων ἀπώλλυντο, τὰς χεῖρας ἐς ἑκατέρους ὀρέγοντες. Ὅ τε Μιθριδάτης, τῇ φορᾷ τῆς εὐτυχίας χρώμενος, ἐπῆγεν αὐτῆς ἡμέρας ἐπὶ τὸν λιμένα τὰς ναῦς· καὶ τὸ κλεῖθρον ἁλύσει χαλκῇ δεδεμένον ἀποῤῥήξας, τέσσαρας μὲν ἐνέπρησε τῶν πολεμίων, τὰς δὲ λοιπὰς ἑξήκοντα

*Lin.* 68. τὰ ὀχυρώματα *Reg. A.* *L.* 69. θριγγίων *Edd. Prætuli Aug. Vat.* *L.* 71. ὅθεν οὐδ' ἐν τοῖς διώκουσιν αὐτοῖς βέλος *Edd.* *L.* 74. *abundare videtur* ὑπὸ *ante* καλωδίοις. *L.* 76, ἀπώλυντο *Regii.* ἀπόλλυντο *Aug.* *Ibid.* ἐς ἑτέρους *Edd. ex Reg. A.* χεῖρας ἑτέρους *Reg. B.*

Mithridatis imperium rediit; Romanis undique Chalcedonem ad Cottam confluentibus. Quam urbem quum & ipſam rex peteret; *Cotta*, negotiis bellicis minime adſuetus, non prodiit: ſed claſſis ejus præfectus, nomine *Nudus*, cum parte exercitus munitiora quædam campi loca occupavit. Quibus mox depulſus, refugit *ad portam Chalcedonis*, laborioſe multa ſepta ſuperans. Et ad ipſam portam fit compreſſio ſimul irruentium; quo factum eſt, ut perſecutores nullum in eos telum fruſtra mitterent. Ut vero portæ cuſtodes, timentes urbi, demiſerunt ex machina clathros; *Nudum* quidem, cum aliis nonnullis ex præfectis ſubduxerunt funibus: reliqui vero amicos inter & hoſtes contrucidati ſunt, incaſſum manus tendentes ad utroſque. *Mithridates*, utendum fortuna ratus, eodem die claſſem ad portum admovit: perruptaque ferrea catena, quæ claudebat oſtium, *quatuor hoſtiles naves incendit*, reliquas ſe-

ἀνεδήσατο, οὐδὲν οὔτε Νούδου κωλύοντος ἔτι, οὔτε Κόττα, ἀλλ' ἐς τὰ τείχη συγκεκλεισμένων. ἀπέθανον δὲ Ῥωμαίων μὲν ἐς τρισχιλίους, καὶ Λούκιος Μάλλιος, ἀνὴρ ἀπὸ βουλῆς· Μιθριδάτου δὲ, Βασταρνῶν τῶν πρώτων ἐσπεσόντων ἐς τὸν λιμένα, εἴκοσι. A. U. 680.

LXXII. Λούκιος δὲ Λούκουλλος ὑπατεύειν καὶ στρατηγεῖν αἱρεθεὶς τοῦδε τοῦ πολέμου, τέλος μέν τι στρατιωτῶν ἦγεν ἐκ Ῥώμης· δύο δ' ἄλλα τὰ Φιμβρίου, καὶ ἐπ' αὐτοῖς ἕτερα δύο, προσλαβὼν, σύμπαντας ἔχων πεζοὺς τρισμυρίους, καὶ ἱππέας ἐς χιλίους ἐπὶ ἑξακοσίοις, παρεστρατοπέδευε τῷ Μιθριδάτῃ περὶ Κύζικον. καὶ δι' αὐτομόλων ἐπιγνοὺς, εἶναι τῷ βασιλεῖ στρατιὰν μὲν ἀνδρῶν ἀμφὶ μυριάδας τριάκοντα, ἀγορὰν δὲ, εἴ τι σιτολογοῦντες ἢ ἐκ θαλάσσης λάβοιεν· ἔφη πρὸς τοὺς ἀμφ' αὐτὸν, ἀμαχεὶ λήψεσθαι τοὺς πολεμίους αὐτίκα· καὶ τοῦ ἐπαγγέλματος αὐτοῖς ἐνεκελεύετο μνημονεύειν. Ὄρος δὲ ἰδὼν εὔκαιρον ἐς στρατοπεδείαν, ὅθεν αὐτὸς μὲν εὐπορήσειν

*Lin.* 81. ἀνεδύσατο *Aug. perperam.* *L.* 83. μὲν *caret Aug.* *Ibid.* Μάλιος *Regii, Vat. Cand.* *L.* 84. Βαστερνῶν *Edd. Aug.* *L.* 90. ἐς, *ante* χιλίους, *caret Vat.* *L.* 95. λήψεσθε *Edd. ex Reg. A.* *L.* 97 *ſq.* ἔμελλ. εὐπορήσ. *Edd. Prætuli Aug.*

*xaginta* ad puppes ſuarum religatas *abſtraxit*; nec *Nudo* prohibente, nec *Cotta*, qui intra mœnia ſeſe continebant. Perierunt Romanorum ad tria millia, & in his *L. Manlius* ſenator. Mithridates e Baſtarnis, qui primi portum intraverant, viginti amiſit.

72. Jam vero L. LUCULLUS conſul, ad hoc bellum miſſus, adjunctis ad unam legionem ex Urbe ſecum eductam duabus Fimbrianis, & duabus item aliis, ut in univerſum haberet XXX. M. peditum, M. DC. equites, *circa Cyzicum caſtra cum Mithridate contulit.* Ubi quum ex transfugis cognoviſſet, regem habere circiter trecenta virorum millia; commeatus autem his non alios eſſe, niſi qui partim a frumentatoribus, partim mari, ſubvectarentur; converſus ad ſuos, ait, ſe protinus abſque certamine in poteſtatem redacturum hoſtes; juſſitque eos promiſſi hujus meminiſſe. Conſpicatus autem montem caſtris opportunum, quo occupato ipſe copiam habiturus eſ-

A. U. 680. ἔμελλεν ἀγορᾶς, τοὺς δὲ πολεμίους ἀποκλείσειν· ἐπεχείρει καταλαβεῖν, ὡς ἐν τῷδε τὴν νίκην ἀκίνδυνον ἕξων. μιᾶς δ᾽ οὔσης ἐς αὐτὸ διόδου στενῆς, ὁ Μιθριδάτης αὐτὴν ἐφύλαττεν ἐγκρατῶς, ὧδε καὶ Ταξίλου καὶ τῶν ἄλλων ἡγεμόνων αὐτῷ παραινούντων. Λούκιος δὲ Μάγιος, ὁ Σερτωρίῳ καὶ Μιθριδάτῃ τὰ ἐς ἀλλήλους διαιτήσας, ἀνῃρημένου τοῦ Σερτωρίου, πρὸς Λούκουλλον ἐπεπόμφει κρύφα· καὶ πίστιν λαβὼν, μετέπειθε τὸν Μιθριδάτην, ὑπεριδεῖν Ῥωμαίων παροδευόντων τε καὶ στρατοπεδευόντων ὅπη θελήσειαν. τὰ γὰρ Σερτωρίου ὑπὸ Φιμβρίᾳ γενόμενα δύο τέλη, βουλεύειν αὐτομολίαν, καὶ αὐτίκα τῷ βασιλεῖ προσέσεσθαι. τί οὖν χρήζειν αὐτὸν ἀγῶνος καὶ φόνου, δυνάμενον ἀμαχεὶ κρατῆσαι τῶν πολεμίων; οἷς ὁ Μιθριδάτης συνθέμενος ἀνοήτως μάλα καὶ ἀνυπόπτως, περιεῖδε Ῥωμαίους διὰ στενοῦ παροδεύοντας ἀδεῶς, καὶ ἐπιτειχίζοντας αὐτῷ μέγα ὄρος· οὗ κρατοῦντες, αὐτοὶ μὲν ὄπισθεν ἔμελλον ἀγορὰν ἀδεῶς ἐπάξεσθαι, Μιθριδάτην

*Lin.* 99. ἕξειν *Edd.* *L.* 2. Taxillus *Cand. ut ſupra.* *L.* 3. Μάνιος *Edd. & MSS. Correxi, ut ſupra.* *L.* 8. Σερτωνίου *Aug. Aut mendoſum omnino hoc nomen, aut (ni forte excidit aliquid) plane delendum, videtur.* *L.* 15. ἐπάξασθαι *edit.* 1.

ſet commeatuum, hoſtibus vero intercludere commeatum poſſet, eum occupare adgreſſus eſt, ut maximi momenti futurum ad victoriam ſine periculo parandam. Quumque unicus, iſque anguſtus, eſſet in eum aditus; *Mithridates* hunc tenebat valido præſidio, a *Taxile* ducibuſque aliis ita admonitus. At *L. Magius*, qui ſocietatem inter Sertorium Mithridatemque conciliarat, poſt Sertorii mortem clam ad *Lucullum* miſerat nuncium; a quo accepta fide, perſuaſit regi, ſineret Romanos tranſire & caſtra metari ubicumque voluiſſent: „Fimbrianas enim legiones Sertorianarum eſſe partium, & moliri tranſitionem, propediemque ad regem ſigna translaturas. Quid igitur opus eſſe ſudore & ſanguine, quando ſine certamine vincere liceat." Huic conſilio *Mithridates* imprudenter admodum adſenſus, nihilque ſuſpicans, *paſſus eſt Romanos*, ſecure ſuperatis faucibus, *contra ſe magnum montem munire*: quo in poteſtatem redacto, ipſis a tergo libere ſubvehi commeatus poterant: *Mi-*

δὲ λίμνῃ καὶ ὄρεσι καὶ ποταμοῖς ἀποκλείσειν τῶν κατὰ γῆν ἁπάντων, ὅ τι μὴ γλίσχρως ποτὲ λάβοι, οὔτε ἐξόδους εὐρείας ἔτι ἔχοντα, οὔτε βιάζεσθαι δυνάμενον ἔτι Λούκουλλον ὑπὸ τῆς δυσχωρίας· ἧς κρατῶν κατεφρόνησεν. ὅ τε χειμὼν ἤδη πλησιάζων ἔμελλε καὶ τῶν ἀπὸ τῆς θαλάσσης αὐτὸν ἐν ἀπορίᾳ καταστήσειν. ἃ θεωρῶν ὁ Λούκουλλος, τοὺς φίλους ἀνεμίμνησκε τῆς ὑποσχέσεως, καὶ τὸ ἐπαγγελθὲν, ὡς παρὸν, ἐδείκνυεν. A. U. 680.

LXXIII. Ὁ δὲ Μιθριδάτης, δυνηθεὶς ἂν ἴσως καὶ τότε διὰ τὸ πλῆθος διὰ μέσων ὤσασθαι τῶν πολεμίων, τούτου μὲν ὑπερεῖδε, Κυζίκῳ δὲ οἷς παρεσκεύασε πρὸς πολιορκίαν ἐπετίθετο· νομίσας ἐν τῷδε διορθώσειν τὴν δυσχωρίαν ὁμοῦ καὶ τὴν ἀπορίαν. οἷα δὲ εὐπορῶν στρατοῦ πολλοῦ, πᾶσιν ἔργοις ἐπεχείρει, τόν τε σταθμὸν ἀποτειχίζων τείχει διπλῷ, καὶ τὰ λοιπὰ τῆς πόλεως ἀποταφρεύων. χώματά τε πολλὰ ἤγειρε, καὶ μηχανὰς ἐπήγνυτο, πύργους, καὶ χελώνας κριοφόρους· ἑλέπολίν τε

*Lin.* 19. *κρατῶν in κρατεῖν mutatum voluit Musgr.* *L.* 25. *διὰ ante τὸ πλῆθος carent Edd. cum Reg. A.* *L.* 28. *οἷα δὲ καὶ εὐπορῶν Edd.* *L.* 32. *χρυσοφορ. edit.* 1. *Ibid. τε, post ἑλεπολ. adjeci ex Aug.*

*thridates* contra lacu, montibus, & fluviis ab *importationibus* omnibus terreſtribus, niſi ſi quid parce & ægre interdum ei adveniret, erat *excluſus*; quum jam neque ei pateret exitus, neque vi repellere poſſet *Lucullum*, ob locorum difficultatem; quam rex, quum in poteſtate ſua habuiſſet, contemſerat. Jamque imminens hiems maritimas quoque importationes erat impeditura. Quæ videns *Lucullus*, amicis ſuum promiſſum revocabat in memoriam, & rem quaſi jam confectam eis oſtendebat.

73. *Mithridates*, quamvis fortaſſe tunc quoque potuiſſet, propter ſuorum multitudinem, per medios hoſtes erumpere, id tamen neglexit; & *oppugnare Cyzicum inſtituit* adparatu eo, quem inſtruxerat: ratus, hoc remedium fore ſimul difficultati locorum & anguſtiis rei frumentariæ. Itaque quoniam abundabat milite, omnibus operibus rem adgreſſus, navale urbis duplici muro circumdat, reliquam urbem circumvallat, aggeres multos excitat, turres, arietes teſtudinibus tectos, aliaſ-

A. U. 680. ἑκατὸν πήχεων, ἐξ ἧς ἕτερος πύργος ἐπῆρτο, καταπέλτας καὶ λίθους καὶ βέλη ποικίλα ἀφιείς. κατὰ δὲ τοὺς λιμένας δύο πεντήρεις ἐζευγμέναι πύργον ἕτερον ἔφερον, ἐξ οὗ γέφυρα, ὁπότε προσπελάσειαν ἐς τὸ τεῖχος, ὑπὸ μηχανῆς ἐξήλλετο. ὡς δ' ἕτοιμα αὐτῷ πάντα γεγένητο, πρῶτα μὲν τρισχιλίους αἰχμαλώτους Κυζικηνοὺς ἐπὶ νεῶν τῇ πόλει προσῆγεν· οἳ χεῖρας ἐς τὸ τεῖχος ὀρέγοντες, ἐδέοντο, σφῶν κινδυνευόντων φείσασθαι τοὺς πολίτας· μέχρι Πεισίστρατος αὐτοῖς, ὁ στρατηγὸς ὁ τῶν Κυζικηνῶν, ἀπὸ τοῦ τείχους ἐκήρυξε, φέρειν τὸ συμβαῖνον ἐγκρατῶς, αἰχμαλώτους γεγονότας.

LXXIV. Ὁ δὲ Μιθριδάτης, ὡς ἀπέγνω τῆσδε τῆς πείρας, ἐπῆγε τὴν ἐπὶ τῶν νεῶν μηχανήν· καὶ ἥ τε γέφυρα ἐς τὸ τεῖχος ἐξήλατο ἄφνω, καὶ τέσσαρες ἀπ' αὐτῆς ἄνδρες ἐξέδραμον. ᾧ δὴ καὶ μάλιστα καινοτρόπῳ φανέντι καταπλαγέντες οἱ Κυζικηνοὶ, ἐπὶ μέν τι ὑπεχώρησαν· οὐκ ὀξέως δὲ ἑτέρων ἐπιδραμόντων, ἀνεθάῤῥησάν τε, καὶ

*Lin.* 33. ἐφ' ἧς *maluit Musgravius.* *L.* 34. μετὰ δὲ τ. λιμ. *Edd.* *L.* 35. ἐζευγμένας *Edd. ex Reg. A.* *Ibid.* προσεῖχεν *Edd. ex Reg. A.* *L.* 39. τῇ πύλει *Aug. mend.* *L.* 47. καὶ, *ante* μάλιστα, *caret Vat.*

que *machinas*, construit: in his *helepolin* centum cubitorum, supra quam alia turris adsurgebat, catapultis instructa, e quibus saxa telaque cujusque generis evibrabantur. Ad portum autem duæ conjunctæ quinqueremes aliam inferebant turrim, unde pons in murum injiceretur. Quibus omnibus paratis, primum *tria millia Cyzicenorum captivorum* in navibus ad urbem admovit; qui, manus tendentes ad mœnia, *orabant*, ut *sibi periclitantibus parcerent cives.* Sed *Pisistratus*, *prætor Cyzicenorum*, e muro per præconem eos monuit, ut, semel in alienam potestatem redacti, fortunam ferrent fortiter.

74. *Mithridates*, hoc conatu frustratus, impositam navibus machinam admovit: & repente dimisso ponte, quatuor milites prosiluerunt in murum. Ibi rei novitate perculsi *Cyziceni* cesserunt nonnihil: verum ceteris subsequi cunctantibus, receperunt animos, & quatuor illos ejecerunt. Tum vero perfusis pice

A. U. 680.

τοὺς τέσσαρας κατέωσαν ἐς τὸ ἔξω. ταῖς τε ναυσὶ πῦρ καὶ πίσσαν ἐπιχέαντες, ἠνάγκασαν πρύμναν τε κρούσασθαι, καὶ ὑποχωρεῖν ὀπίσω μετὰ τοῦ μηχανήματος. ὧδε μὲν δὴ τῶν κατὰ θάλασσαν ἐπενεχθέντων ἐκράτουν οἱ Κυζικηνοί. Τρίτα δ' αὐτοῖς ἐπήγετο τῆς αὐτῆς ἡμέρας τὰ ἐν τῇ γῇ μηχανήματα ὁμοῦ πάντα, πονουμένοις τε καὶ μεταθέουσιν ἐς τὸ αἰεὶ βιαζόμενον. τοὺς μὲν οὖν κριοὺς λίθοις ἀπεκαύλιζον, ἢ βρόχοις ἀνέκλων, ἢ φορμοῖς ἐρίων τῆς βίας ἐξέλυον. τῶν δὲ βελῶν τοῖς μὲν πυρφόροις ὑπήντων ὕδατι καὶ ὄξει· τὰ δ' ἄλλα προβολαῖς ἱματίων, ἢ ὀθόναις κεχαλασμέναις τῆς φορᾶς ἀνέλυον· ὅλως τε οὐδὲν προθυμίας ἀνδρὶ δυνατῆς ἐξέλιπον. Καὶ τάδε αὐτοῖς φερεπονώτατα δὴ κακοπαθοῦσιν, ὅμως γε τοῦ τείχους ἐκαύθη τι καὶ συνέπεσεν ἐς ἑσπέραν. οὐ μὴν ἔφθασέ τις ἐσαλάμενος ἔτι θερμόν· ἀλλ' αὐτὸ νυκτὸς αὐτίκα περιῳκοδόμησαν οἱ Κυζικηνοί. Τῶν δὲ αὐτῶν ἡμερῶν πνεῦμα

*Lin.* 50. ἐξέωσαν *Edd. Prætuli Aug. Vat.* *L.* 52. ἀπιχωρ. *edit.* 3. *temere.* *L.* 53. θάλατταν *Aug.* *L.* 55. τε *ad* πονουμ. *inſerui ex Aug. Vat.* *L.* 59. ὄξει καὶ ὕδατι *Edd.* *L.* 60. κεκλασμέναις *Edd. ex Reg. A.* *L.* 61. ἐξέλειπον *edit.* 2. 3. *L.* 64. ἐλασάμενος *ora Aug. male.* *Ibid.* αὐτοὶ νυκτὸς *Edd. ex Reg. A.* αὐτὸς νυκτος *Reg. B.*

navibus hoſtium, & injecto igne, coëgerunt eas una cum machina retro ſe recipere. Atque ita repulſa eſt oppugnatio maritima. Eodem vero die, tertio conatu, a terra quoque omnes ſimul admotæ ſunt machinæ, laborantibus oppidanis, & ultro citroque, quacumque maxime inſtabat hoſtis, circumcurſantibus. Et *arietes* quidem aut ſaxis immiſſis præfringebant, aut injectis laqueis deflectebant, aut ictus eorum molliebant objectis cratibus lana refertis. *Tela* vero *ignita* excipiebant centonibus aqua & aceto madidis; ceterorum impetum ciliciis aut linteis laxe oppanſis infringebant. In ſumma, nihil inexpertum relinquebant, quod humana conferre poteſt induſtria. Neque tamen, omnem licet laborem patientiſſime ferentes, efficere potuerunt, quin pars mœnium exuſta corrueret ſub veſperam. Sed propter calorem incendii nemo protinus irrumpere auſus eſt; ideoque ipſi *Cyziceni* noctu munitionem ibi aliam ſubſtruxerunt. Per eoſdemque dies procella vehemens coorta

A. U. 680. σφοδρὸν ἐπιγενόμενον περιέκλασε τὰ λοιπὰ τῶν μηχανημάτων τοῦ βασιλέως.

LXXV. Λέγεται δ' ἡ πόλις ἐμπροίκιον ὑπὸ Διὸς τῇ Κόρῃ δοθῆναι· καὶ σέβουσιν αὐτὴν οἱ Κυζικηνοὶ μάλιστα θεῶν. ἐπελθούσης δὲ τῆς ἑορτῆς, ἐν ᾗ θύουσι βοῦν μέλαιναν, οἱ μὲν, οὐκ ἔχοντες, ἔπλαττον ἀπὸ σίτου. μέλαινα δὲ βοῦς ἐκ πελάγους πρὸς αὐτοὺς διενήχετο, καὶ τὸ κλεῖθρον τοῦ στόματος ὑποδῦσά τε, καὶ ἐς τὴν πόλιν ἐσδραμοῦσα, ὥδευσεν ἀφ' ἑαυτῆς ἐς τὸ ἱερὸν, καὶ τοῖς βωμοῖς παρέστη. ταύτην μὲν οὖν οἱ Κυζικηνοὶ μετὰ χρηστῆς ἐλπίδος ἔθυον. Οἱ δὲ φίλοι τῷ Μιθριδάτῃ συνεβούλευον, ὡς ἱερᾶς τῆς πόλεως ἀποπλεῦσαι. ὁ δ' οὐ πεισθεὶς, ἐπὶ τὸ Δίνδυμον ὄρος ὑπερκείμενον ἀνῄει, καὶ χῶμα ἀπ' αὐτοῦ ἐς τὴν πόλιν ἔχου, πύργους τε ἐφίστη, καὶ ὑπονόμοις τὸ τεῖχος ἀνεκρήμνη. τοὺς δ' ἵππους ἀχρείους οἱ τότε ὄντας, καὶ ἀσθενεῖς δι' ἀτροφίαν, καὶ χωλεύοντας ἐξ

*Lin.* 72. ὑπενήχετο *Vat.* *L.* 75. οὖν, *post* μὲν, *caret Aug.* *L.* 79. πόλιν ἔχων *Edd. ex Reg. A.* ἔχον *Reg. B.* *L.* 80. ἀνεκρήμνει *Edd.* *Prætuli Aug. a pr. manu.*

reliquas regis machinas ſic laceravit, ut inutiles redderentur.

75. *Cyzicum* urbem perhibent *in dotem a Jove datam Proſerpinæ*: eamque deam Cyziceni venerantur præ omnibus numinibus. Cujus ſolenni redeunte, in quo atram bovem ſolent immolare; illi, nullam talem habentes, e paſta finxerunt hoſtiam. Interim *atra bos* ex alto *ad urbem pernatavit*, & in ore portus *per clauſtra ſub aquis evaſit*; atque ita per mediam urbem curſu ad deæ templum delata, *ante aram conſtitit*: quam *Cyziceni*, egregia ſpe concepta, immolarunt. Quo facto *Mithridati* conſulebant amici, ut ab urbe ſacrata claſſem ſolveret. Sed rex, nihil motus, adſcendit imminentem urbi *montem Dindymum*, & ab eo duxit continentem ad muros urbis aggerem, cui turres impoſuit; ſimulque mœnia cuniculis ſuffoſſa ſuſpendit. Equos vero, quorum nullus ei tunc erat uſus, infirmos præterea ex inedia, & ob longam moram

ἐξ ὑποτριβῆς, ἐς Βιθυνίαν περιέπεμπεν. οἷς ὁ Λούκουλλος περῶσι τὸν Ῥύνδακον ἐπιπεσὼν, ἔκτεινε πολλοὺς, καὶ αἰχμαλώτους ἔλαβεν ἄνδρας μὲν ἐς μυρίους καὶ πεντακισχιλίους, ἵππους δ' ἐς ἑξακισχιλίους, καὶ σκευοφόρα πολλά. καὶ τάδε μὲν ἦν περὶ Κύζικον. Τῷ δ' αὐτῷ χρόνῳ Φρυγίαν Εὔμαχος Μιθριδάτου στρατηγὸς ἐπιτρέχων, ἔκτεινε Ῥωμαίων πολλοὺς μετὰ παίδων καὶ γυναικῶν. Πισίδας τε καὶ Ἰσαύρους ὑπήγετο, καὶ Κιλικίαν· μέχρι τῶν τις Γαλατικῶν τετραρχῶν Δηϊόταρος ἐπιπολάζοντα αὐτὸν συνεδίωξε, καὶ πολλοὺς διέφθειρε. καὶ περὶ μὲν Φρυγίαν τοιάδε ἐγίγνετο. A. U. 680.

LXXVI. Μιθριδάτου δὲ χειμὼν ἐπιγενόμενος ἀφῄρητο καὶ τὴν ἐκ τῆς θαλάττης ἀγορὰν, εἴ τις ἦν. ὥστε πάμπαν ὁ στρατὸς ἐλίμωττε· καὶ πολλοὶ μὲν ἀπέθνησκον· εἰσὶ δ' οἳ καὶ σπλάγχνων ἐγεύοντο βαρβαρικῶς· οἱ δ' ἄλλοι, ποηφαγοῦντες, ἐνόσουν· καὶ τὰ νεκρὰ σφῶν ἀγ-

*Lin.* 82. *an, deleta præp.* ἐξ, *legendum* ὑπὸ τριβῆς? *L.* 83. πρῶσι *edit.* 3. *vit. Ibid. vulgo* τὴν Ῥύνδακον. *Sed Aug. utramque dat lectionem; &* τὸν *quidem a prima (ni fallor) manu. L.* 85. ἐς *post* δ' *caret Vat. L.* 90. ἐπιπολάσοντα *edit.* 3. *L.* 91. μὲν *ante* Φρυγ. *caret edit.* 3. *L.* 94. ἐκ θάλαττης *Edd. L.* 95. στρατηγὸς *text. Aug.* στρατὸς *ora ejusd.*

moram claudicantes, aversis ab hoste itineribus misit in Bithyniam. Quos *Lucullus* adortus in trajectu *Rhyndaci*, magna edita strage, cepit virorum ad quindecim millia, equorum millia sex, cum impedimentorum magno numero. Quæ dum ad Cyzicum geruntur, *Eumachus*, Mithridatis dux, incursionibus *infestans Phrygiam*, multos Romanos interfecit cum liberis & conjugibus; Pisidasque & Isauros & Ciliciam subegit; donec *Deiotarus*, unus e tetrarchis Gallogræciæ, ferocius vagantem repressit, magnaque clade adfecit.

76. Interim *Mithridates*, hieme superveniente, maritimis quoque commeatibus, si quos habuerat, privatus est. Itaque omnino *fame premebatur exercitus:* ac multi quidem emoriebantur; alii extis mortuorum more barbarico vescebantur; alii herbas radicesque varii generis in cibum vertendo, morbos sibi contrahebant; denique & mortuorum cadavera, in propinquo

A. U. χοῦ ἄταφα ῥιπτούμενα λοιμὸν ἐπῆγεν ἐπὶ τῷ λιμῷ.
680. Διεκαρτέρει δ᾽ ὅμως ὁ Μιθριδάτης, ἐλπίζων ἔτι τὴν Κύζικον αἱρήσειν τοῖς χώμασι τοῖς ἀπὸ τοῦ Δινδύμου. ὡς δὲ καὶ ταῦθ᾽ ὑπεσύροντο οἱ Κυζικηνοὶ, καὶ τὰς ἐπ᾽ αὐτῶν μηχανὰς ἐπίμπρασαν, καὶ αἰσθήσει τοῦ λιμοῦ πολλάκις ὑπεκθέοντες τοῖς πολεμίοις ἀσθενεστάτοις γεγονόσιν
681. ἐπετίθεντο· δρασμὸν ὁ Μιθριδάτης ἐβούλευε. Καὶ ἔφευγε νυκτὸς, αὐτὸς μὲν ἐπὶ τῶν νεῶν ἐς Πάριον, ὁ δὲ στρατὸς αὐτοῦ κατὰ γῆν ἐς Λάμψακον. περῶντας δ᾽ αὐτοὺς τὸν Αἴσηπον, ὅτε ποταμὸς, τότε μάλιστα ἀρθεὶς μέγιστος, καὶ ἐπὶ τῷ ποταμῷ Λούκουλλος ἐπιδραμὼν, ἔφθειρεν. Ὧδε μὲν οἱ Κυζικηνοὶ πολλὴν βασιλέως παρασκευὴν διέφυγον, αὐτοί τε γενναίως ἀγωνισάμενοι, καὶ λιμῷ πιεσθέντος ὑπὸ Λουκούλλου. ἀγῶνά τε αὐτῷ θέμενοι, μέχρι νῦν τελοῦσι, τὰ Λουκούλλεια καλούμενα. Μιθριδάτης δὲ τοὺς μὲν ἐς Λάμψακον ἐσφυγόντας, ἔτι τοῦ Λουκούλλου παρακαθημένου, ναῦς ἐπιπέμψας, ἐξεκόμισε σὺν αὐτοῖς

*Lin. 9ª.* ἐπῆγον *Edd. ex Reg. A.* *L. 5.* ἐπεκθέοντες *Aug.* *L. 9.* ἀρθεὶς μέγας *Aug. Vat. Mallem* μέγιστα *vel* ἐπὶ μέγα. *L. 12 ſq.* πιεσθέντες *Edd.* πιεσθέντος *dederunt Reg. B. & Aug. a pr. m. Sed ante* λιμῷ *deſiderari videtur* αὐτοῦ *vel* Μιθριδάτου. *L. 16.* περικαθημένου *Aug. Ven.*

ſine ſepultura projecta, *peſtem* invexerunt inſuper. *Durabat* tamen *Mithridates*; *ſperans* etiam tunc, *expugnari poſſe Cyzicum* aggeribus, quos ducebat a *Dindymo*. Ut vero & hos ſuffoderunt Cyziceni, incenderuntque machinas, &, non ignari hoſtem fame eſſe debilitatum, crebris eum eruptionibus vexabant; *Mithridates* fugam meditatus eſt. *Profugit*que *noctu*; & ipſe quidem cum claſſe provectus eſt *Parium*: reliquæ copiæ terreſtri itinere petierunt *Lampſacum*. Quæ dum *fluvium* trajiciunt *Æſepum*, ſolito tunc maxime tumidiorem, multos ipſe fluvius, multos item *Lucullus*, ad fluvium eos inſecutus, abſumſit. Ita *Cyziceni* tantos adparatus conatuſque regis *evaſerunt*, cum ſuapte virtute, tum beneficio Luculli, qui eum fame preſſerat. Qua de cauſa hodieque *ludos in honorem Luculli* celebrant, quos *Lucullea* adpellant. Mithridates ſuos, Lampſacum profugos & obſeſſos ibi a Lucullo, claſſe illuc miſſa ex-

Λαμψακηνοῖς. Μυρίους δ᾽ ἐπιλέκτους ἐπὶ νεῶν πεντήκοντα Οὐαρίῳ, πεμφθέντι οἱ στρατηγεῖν ὑπὸ Σερτωρίου, καὶ Ἀλεξάνδρῳ τῷ Παφλαγόνι, καὶ Διονυσίῳ τῷ εὐνούχῳ καταλιπὼν, ταῖς πλέοσιν αὐτῶν ἐς Νικομήδειαν ἔπλει. καὶ χειμὼν ἐπιγενόμενος πολλὰς ἑκατέρων διέφθειρε.

A. U. 681.

LXXVII. Λούκουλλος δ᾽ ἐπεὶ τὸ κατὰ γῆν εἴργαστο διὰ τοῦ λιμοῦ, ναῦς ἐκ τῆς Ἀσίας ἀγείρας, διέδωκε τοῖς ἀμφ᾽ αὐτὸν στρατηγοῦσι. καὶ Τριάριος μὲν Ἀπάμειαν εἷλεν ἐπιπλεύσας· καὶ πολλὴ τῶν Ἀπαμέων συμφυγόντων ἐς τὰ ἱερὰ ἐγίγνετο σφαγή. Βάρβας δὲ Προυσιάδα εἷλε τὴν πρὸς τῷ ὄρει, καὶ Νίκαιαν ἔλαβε, τῶν Μιθριδάτου φρουρῶν ἐκφυγόντων. Λούκουλλος δὲ περὶ τὸν Ἀχαιῶν λιμένα τρισκαίδεκα ναῦς εἷλε τῶν πολεμίων. Οὐάριον δὲ καὶ Ἀλέξανδρον καὶ Διονύσιον περὶ Λῆμνον ἐν ἐρήμῃ νήσῳ καταλαβὼν, (ἔνθα δείκνυται βωμὸς Φιλοκτήτου, καὶ χάλκεος ὄφις, καὶ τόξα, καὶ θώραξ ταινίαις περίδετος,

*Lin.* 18. στρατηγῷ *a pr. m. fuiſſe videtur in Aug.* *Ib.* Σερτωρίῳ *Edd.* *L.* 20. ταῖς πλέουσιν *edit.* 1. *L.* 22. τὸ, *poſt* ἐπεὶ, *caret Vat.* *L.* 26. ἐγένετο *Vat.* *L.* 28. δὲ *poſt* Λουκουλ. *caret edit.* 1. *Ibid.* περὶ τῶν Ἀχαιῶν *Aug.* *L.* 29. Οὐάρον *Vat. conſtanter.* *L.* 30. ἐρήμῳ *Edd.* *Prætuli Aug.*

portavit una cum ipſis *Lampſacenis*. Tum relictis decem millibus ſelectorum, cum navibus quinquaginta, ſub *Vario*, duce ſibi a Sertorio miſſo, & *Alexandro Paphlagone*, & *Dionyſio* eunucho; ipſe cum majore parte navium petiit Nicomediam. Verum ex utriſque complures, coorta inox tempeſtate, perierunt.

77. *Lucullus* poſtquam terra hoſtem, fame adjutus, devicit; jam naves, ex Aſia contractas, legatis ſuis diſtribuit. Ex his *Triarius*, *Apameam* adpulſus, urbem *vi cepit*; & Apamenorum magnam cædem edidit, ne his quidem, qui in templa confugerant, venia data. *Barba* vero *Pruſiadem ſub monte* ſitam & *Nicæam* occupavit, deſertas a Mithridatis præſidiis. *Lucullus* apud *Achæorum portum* cepit tredecim naves hoſtium. Idem *Varium* & *Alexandrum* & *Dionyſium* nactus in *deſerta inſula prope Lemnum*, (ubi monſtratur *ara Philoctetis*, cum æneo ſerpente, arcuque & thorace revincto faſciis,

A. U. 681. μνῆμα τῆς ἐκείνου πάθης) ἐπέπλει μὲν αὐτοῖς ῥοθίῳ τε πολλῷ, καὶ μετὰ καταφρονήσεως. εὐσταθῶς δ' ἐκείνων ὑπομενόντων, ἔστησε τὴν εἰρεσίαν, καὶ κατὰ δύο ναῦς ἐπιπέμπων, ἠρέθιζεν ἐς ἔκπλουν. οὐ σαλευόντων δ' ἐκείνων, ἀλλ' ἀπὸ γῆς ἀμυνομένων, περιέπλευσε τὴν νῆσον ἑτέραις ναυσὶ, καὶ πεζοὺς ἐς αὐτὴν ἐκβιβάσας, συνήλασε τοὺς ἐχθροὺς ἐπὶ τὰς ναῦς. οἱ δ' ἐς μὲν τὸ πέλαγος οὐκ ἠφίεσαν, τὸν Λουκούλλου στρατὸν δεδιότες· παρὰ δὲ τὴν γῆν πλέοντες, ἔκ τε τῆς γῆς καὶ τῆς θαλάσσης ἀμφίβολοι γιγνόμενοι, κατετιτρώσκοντο· καὶ φόνος πολὺς ἦν αὐτῶν καὶ φυγή. Ελήφθησαν δ' ἐν σπηλαίῳ κρυπτόμενοι Οὐάριός τε, καὶ Ἀλέξανδρος, καὶ Διονύσιος ὁ εὐνοῦχος. καὶ αὐτῶν ὁ μὲν Διονύσιος, πιὼν ὅπερ ἦγετο φάρμακον, αὐτίκα ἀπέθανεν. Οὐάριον δὲ ἀναιρεθῆναι προσέταξε Λούκουλλος· οὐ γὰρ ἐδόκει, Ῥωμαῖον ἄνδρα βουλευτὴν θριαμβεύειν. Ἀλέξανδρος δὲ ἐς τὴν πομπὴν ἐφυλάσσετο. Καὶ Λεύκουλλος περὶ τῶνδε Ῥωμαίοις ἐπέστελλε, τὰ γράμμα-

*Lin.* 33. μίνυμα *edit.* 1. μήνυμα *edit.* 2. 3. *utrumque invitis MSS.* μίνημα *Reg. A.* μίμημα *Aug. Vat. Reg. B.* monimentum *Cand. quem ſecutus ſum.* *L.* 40. *pro* στρατὸν *mallem* στόλον.

monumenta calamitatis, quæ illum ibi olim tetigerat;) concitatis navibus contemtim in eos invectus eſt. Quibus conſtanter manentibus; inhibuit remigium, & binas naves ex agmine in eoſdem immittens, elicere in pugnam tentavit. Quum vero mari ſe non committerent illi, ſed a terra ſeſe defenderent; circummiſſis aliis navibus, quæ diverſa parte pedites in inſulam exponebant, in naves compulit hoſtes. Qui ne tum quidem altum petere *Luculli* metu auſi, oram legebant; & utrimque terra ac mari impugnati, multis acceptis vulneribus, cæſoque magno ſuorum numero, in fugam tandem ſunt conjecti. Et mox ipſi tres duces in ſpeluncæ latebris capti ſunt: e quibus *Dionyſius* eunuchus, epoto quod ſecum habebat veneno, mox exſpiravit; *Varium Lucullus*, quoniam in triumpho duci Romanum ſenatorem non placebat, *occidi juſſit; Alexander* ad triumphi pompam ſervatus eſt. Et LUCULLUS *de rebus a ſe geſtis*

τα δάφνη περιβαλὼν, ὡς ἔθος ἐστὶν ἐπὶ νίκαις· αὐτὸς δὲ ἠπείγετο ἐς Βιθυνίαν. A. U. 681.

LXXVIII. Μιθριδάτη δ᾽ ἐς Πόντον ἐσπλέοντι, χειμὼν ἐς δὶς ἐπιγίγνεται· καὶ τῶν ἀνδρῶν ἀμφὶ τοὺς μυρίους, καὶ νῆες ἀμφὶ τὰς ἑξήκοντα διεφθάρησαν· αἱ δὲ λοιπαὶ διεῤῥίφησαν, ὡς ἑκάστην ὁ χειμὼν ἐξήνεγκεν. αὐτὸς δὲ, ῥηγνυμένης τῆς στρατηγίδος, ἐς λῃστῶν σκάφος, ἀπαγορευόντων τῶν φίλων, ὅμως ἐνέβη· καὶ ἐς Σινώπην αὐτὸν οἱ λῃσταὶ διέσωσαν. ὅθεν ὁ μὲν ἐς Ἀμισὸν ἀπὸ κάλω διαπλέων, πρός τε τὸν κηδεστὴν Τιγράνην τὸν Ἀρμένιον, καὶ ἐς Μαχάρην τὸν υἱὸν, ἄρχοντα Βοσπόρου, περιέπεμπεν, ἐπικουρεῖν ἐπείγων ἑκάτερον. εἴς τε Σκύθας τοὺς ὁμόρους χρυσὸν καὶ δῶρα πολλὰ Διοκλέα φέρειν ἐκέλευεν. ἀλλ᾽ ὁ μὲν, αὐτοῖς τε δώροις καὶ αὐτῷ χρυσίῳ, πρὸς Λούκουλλον ηὐτομόλησεν. Λούκουλλος δ᾽ ἐπὶ τῇ νίκῃ θρασέως 682. προϊὼν ἐς τὸ πρόσθεν, καὶ τὰ ἐν ποσὶν ἅπαντα χειρούμενος, προὐνόμευεν. οἷα δ᾽ εὐδαίμονος χώρας καὶ πολὺν

*Lin.* 51. ὑπείγετο *edit.* 1. *ex Reg. A.* ἐπείγετο *Reg. B.* ἐπίγετο *Aug.* *L.* 58. Ἀμινσὸν *Vat. conſtanter.* *Ibid.* ἀποκάλω *conjunctim Aug.* *L.* 62. τοὺς ὁμήρους *Edd.* *L.* 64. ἐπὶ τῆς νίκης *Edd.* *L.* 66. προὐνόμευσεν *Reg. B.*

*laureatas literas*, ut mos eſt victoribus, *ad Senatum miſit;* protinuſque *Bithyniam* petiit.

78. *Mithridates* vero Pontum repetens, *iterum tempeſtatem paſſus*, virorum circiter decem millia amiſit, & naves ad ſexaginta: reliquæ diſjectæ ſunt, ut quamque ventus abſtulit. Ipſe, prætoria rimis fatiſcente, *in piraticum navigium*, vetantibus licet amicis, *inſcendit:* atque ita *Sinopem* a prædonibus pervectus eſt incolumis. Inde *Amiſum* remulco ſubvectus, protinus ad generum *Tigranem*, Armeniæ regem, & ad *Macharem* filium, regnantem in Boſporo, miſit, qui propere ab utroque contraherent auxilia. Ad Scythas quoque finitimos, cum multis donis & magno auri pondere, *Dioclem* ire juſſit: ſed ille cum donis & cum auro ad Lucullum transfugit. *Lucullus*, victoria uſus, magno impetu in interiora regionis promovebat exercitum; & obiter omnia ſubigens deprædabatur. Moxque, ut in regio-

A. U. 682. χρόνον ἀπολεμήτου, τὸ μὲν ἀνδράποδον, τετλάρων δραχμῶν αὐτίκα ἐγίγνετο· ὁ δὲ βοῦς, μιᾶς· αἶγες δὲ καὶ πρόβατα, καὶ ἐσθὴς, καὶ τὰ λοιπὰ, τούτων κατὰ λόγον. Λούκουλλος δ᾽ Ἀμισόν τε καὶ Εὐπατορίαν, ἥν τινα τῇ Ἀμισῷ παρῳκοδόμησεν ὁ Μιθριδάτης, Εὐπατορίαν τε ὠνόμαζεν ἀφ᾽ ἑαυτοῦ, καὶ βασίλεια ἡγεῖτο, περικαθήμενος ἐπολιόρκει· καὶ ἑτέρῳ σἲρατῷ Θεμίσκυραν, ἣ τῶν Ἀμαζόνων τινὸς ἐπώνυμος οὖσα παρὰ τὸν Θερμώδοντα ποταμόν ἐσἲι. τούτων δ᾽ οἱ μὲν τοῖς Θεμισκυρίοις ἐπικαθήμενοι, πύργους ἐπῆγον αὐτοῖς, καὶ χώματα ἐχώννυον, καὶ ὑπονόμους ὤρυτλον, οὕτω δή τι μεγάλους, ὡς ἐν αὐτοῖς ὑπὸ τὴν γῆν ἀλλήλοις κατὰ πλῆθος ἐπιχειρεῖν. καὶ οἱ Θεμισκύριοι ὀπὰς ἄνωθεν ἐς αὐτοὺς ὀρύτλοντες, ἄρκλους τε καὶ θηρία ἕτερα καὶ σμήνη μελισσῶν ἐς τοὺς ἐργαζομένους ἐνέβαλλον. Οἱ δ᾽ ἀμφὶ τὴν Ἀμισὸν ἕτερον τρόπον ἐμόχθουν, ἀπομαχομένων αὐτοὺς τῶν Ἀμισέων, καὶ πολλάκις ἐκθεόντων, καὶ ἐς μονομαχίας προκαλου-

*Lin.* 71. παρῳκοδόμισεν *edit.* 1. *L.* 72. βασιλ. ἡρεῖτο *maluit Musgr. Ibid.* παρακαθήμενος *Edd. L.* 75. Θεμισκυρεῦσιν *Edd. Prætuli Aug. Vat. Ibid. sq.* Θεμισκ. περικαθημ. *Vat. L.* 77. δή τοι μεγ. *Edd. ex Reg. A. L.* 78. κατὰ το πλῆθος *Edd. ex Reg. B. L.* 79. ἐς ἑαυτοὺς *Edd. ex Reg. A. L.* 80. μελιτλῶν *Aug. L.* 81. Ἀμισσὸν *h. l. Aug. L.* 83. *post* μονομαχίας *inserunt* ἔτι *Edd. ex Reg. A. in quo tamen lineola subducta notatur ista particula.*

ne fortunata & diu bello intacta, *mancipium vendebatur drachmis quatuor*, *bos drachma*; capræ, oves, vestes, & reliqua, pari vilitate pretii. Deinde *Lucullus* oppugnavit *Amisum*, & *Eupatoriam*, quam juxta Amisum Mithridates condidit, & de suo cognomine adpellatam pro regia sua habuit. Pars vero exercitus ad *Themiscyram* oppugnandam missa est, ad Thermodontem fluvium sitam, quæ ab *Amazone* quadam nomen habet. Hi contra Themiscyrios turribus utebantur & aggeribus, & cuniculos tam amplos fodiebant, ut in eis pugnæ multorum hominum committerentur subterraneæ. Eos cuniculos *Themiscyrii* superne aperiebant, & per foramina ursas aliasque bestias & apum examina demittebant in operarios. Qui autem *Amisum* obsidebant, aliis laborabant difficultatibus; Amisensibus strenue repugnantibus, & sæpe erumpentibus, atque etiam ad singularia cer-

μένων. Μιθριδάτης δ' αὐτοῖς πολλὴν ἀγορὰν καὶ ὅπλα καὶ στρατιὰν ἔπεμπεν ἐκ Καβείρων, ἔνθα χειμάζων στρατὸν ἄλλον συνέλεγε. καὶ συνῆλθον αὐτῷ πεζοὶ μὲν ἐς τετρακισμυρίους, ἱππεῖς δὲ ἐς τετρακισχιλίους. A. U.

LXXIX. Ἱσταμένου δ' ἔαρος, ὁ μὲν Λούκουλλος διὰ τῶν ὀρῶν ἐπὶ τὸν Μιθριδάτην ἐχώρει. προφυλακαὶ δ' ἦσαν ἐκείνῳ, κωλύειν τε Λούκουλλον, καὶ διαπυρσεύειν οἱ συνεχῶς, εἴ τι γίγνοιτο. καὶ ἦρχε τῆσδε τῆς φυλακῆς ἐκ Μιθριδάτου τις ἀνὴρ τοῦ βασιλείου γένους, ὄνομα Φοῖνιξ· ὃς, ἐπεὶ Λούκουλλος ἐπέλαζε, Μιθριδάτῃ μὲν διεπύρσευεν, ἐς δὲ Λούκουλλον ηὐτομόλησε μετὰ τῆς δυνάμεως. Καὶ ὁ Λούκουλλος ἀδεῶς ἤδη τὰ ὄρη διεξελθὼν, ἐς Κάβειρα κατέβη. γενομένης δ' αὐτῷ τε καὶ Μιθριδάτῃ τινὸς ἱππομαχίας, ἡττώμενος, αὖθις ἐς τὸ ὄρος ἀνέθορεν. Ὁ δὲ ἵππαρχος αὐτοῦ Πομπώνιος ἐς Μιθριδάτην τετρωμένος ἀνήχθη· καὶ πυθομένῳ βασιλεῖ, τίνα χάριν οἱ περισωθεὶς δύναιτο ἀποδοῦναι· Εἰ μὲν, ἔφη, σὺ φίλος γένοιο Λουκούλλῳ, πάνυ πολλοῦ ἀξίαν· εἰ δ' ἐχθρὸς εἴης, οὐδὲ βουλεύσο- 683.

*Lin.* 85. Βαβείρων *Aug. mend. Sed mox recte* Κάβειρα. *L.* 93. διεπύρσευσεν *Reg. A. L.* 96. τε *ad* αὐτῷ *recepi ex Aug. L.* 98. & *pag. sq. l.* 3. Πομπήιος *Edd. ac MSS. noſtri. Sed* Pomponius *recte Cand. Ibid.* τεθρωμένος *edit.* 1. *L.* 1. Λουκούλλου *Edd. Prætuli Aug. Vat.*

tamina provocantibus hoſtem. Eo *Mithridates* large commeatus, arma, milites ſubmittebat e *Cabiris*; ubi hibernans novum colligebat exercitum. Et convenerunt ad eum peditum XL, equitum IV, millia.

79. Ineunte autem vere, *Lucullus* per montana contra regem profectus eſt; qui ſtationes diſpoſuerat eum prohibituras, & ignibus regi ſignificaturas, ſi quid accideret. His præerat *Phœnix*, vir regii generis; qui dedit quidem ex pacto ſignum adventus Luculli, verum ipſe ad eum transfugit cum ſuis copiis. Et *Lucullus*, ſuperatis jam ſecure montibus, deſcendit ad *Cabira:* ſed ibi equeſtri prælio victus a regiis, retro ad montes ſe recepit. Ejus equitum præfectus *Pomponius, ad Mithridatem adductus ſaucius*, rogatuſque a rege, *quam gratiam pro ſalute poſſet reddere:* „ Magnam, inquit, ſi Luculli amicus fueris: ſin minus, ne deliberatione quidem opus

A. U. 683.

μαι. Ὧδε μὲν ὁ Πομπώνιος ἀπεκρίνατο. καὶ αὐτὸν τῶν βαρβάρων κτείνειν ἀξιούντων, ὁ βασιλεὺς εἶπεν, οὐκ ἐξυβρίσειν ἐς ἀτυχοῦσαν ἀρετήν. Ἐκτάσσων δὲ συνεχῶς, οὐ κατιόντος ἐς μάχην τοῦ Λουκούλλου, περιϊὼν, ἀνάβασιν ἐπ' αὐτὸν ἐζήτει. Καί τις ἀνὴρ ἐν τούτῳ Σκύθης, ὄνομα Ὀλκάβας, αὐτόμολος ὢν ἐς Λούκουλλον ἐκ πολλοῦ, καὶ παρὰ τήνδε τὴν ἱππομαχίαν πολλοὺς περισώσας, καὶ δι' αὐτὸ παρὰ τοῦ Λουκούλλου τραπέζης τε καὶ γνώμης καὶ ἀποῤῥήτων ἀξιούμενος, ἧκεν ἐπὶ τὴν σκηνὴν αὐτοῦ περὶ μεσημβρίαν ἀναπαυομένου, καὶ ἐσελθεῖν ἐβιάζετο, βραχὺ καὶ σύνηθες ἐπὶ τοῦ ζωστῆρος ἐγχειρίδιον περικείμενος. κωλυόμενος δ', ἠγανάκτει, καὶ χρείαν τινὰ ἐπείγειν ἔλεγεν ἐξαναστῆσαι τὸν στρατηγόν. τῶν δὲ θεραπευτήρων, οὐδὲν, εἰπόντων, χρησιμώτερον εἶναι Λουκούλλῳ τῆς σωτηρίας· ἐπέβη τὸν ἵππον αὐτίκα, καὶ ἐς τὸν Μιθριδάτην ἐξήλασεν· εἴ τε ἐπιβουλεύων, καὶ δόξας ὑποπτεύεσθαι· εἴτε σὺν ὀργῇ, περιϋβρίσθαι νομίζων. ἕτερόν

*Lin.* 15. ἐξαναστήσειν *Vat. sed superscr.* αι. *L.* 16. εἶναι χρησιμ. *Edd. Prætuli Aug.* *L.* 17. *aut* ἀνέβη *puto legendum, aut* τοῦ ἵππου. *L.* 19. περιϋβρίζεσθαι *Edd.*

habeo." Propter quod responsum quum occidere eum vellent barbari; *nequaquam se sæviturum*, ait Rex, *in virtutem a fortuna destitutam.* Deinde per continuos aliquot dies productis in aciem copiis, quum *Lucullus* in æquum locum non descenderet, ipse circuitum, quo adscenderet montem, circumspiciebat. Interim *Olcaba*, homo *Scytha*, qui dudum *ad Lucullum transfugerat*, & in proximo equestri prælio multos servaverat, ob eamque causam ad mensæ consiliorumque ac secretorum societatem erat admissus, venit ad eum, meridiantem in tentorio, volebatque irrumpere, brevi pugione pro more accinctus: quumque prohiberetur, indignatus dixit, necessitatem quamdam postulare, ut excitetur imperator. Famulis autem negantibus quidquam magis necessarium Lucullo, quam salutem; Scytha protinus conscenso equo ad Mithridatem transcurrit; sive quod revera insidias fuerit molitus, & nunc suspectum se credidit; sive iratus, quod contumelia sese

τε Σκύθην, ὄνομα Σοβάδακον, ἐνέφηνε τῷ Μιθριδάτῃ, βουλεύειν ἐς Λούκουλλον αὐτομολίαν. Σοβάδακος μὲν δὴ συνελαμβάνετο. A. U. 683.

LXXX. Λούκουλλος δὲ τὴν κάθοδον τὴν ἐς τὸ πεδίον, ἱπποκρατούντων τῶν πολεμίων, ἐκτρεπόμενος, καὶ περίοδον ἑτέραν οὐχ ὁρῶν, εὗρεν ἐν σπηλαίῳ κυνηγὸν θηρίων, ἀτραπῶν ἐπιστήμονα· ᾧ χρώμενος ἡγεμόνι, κατὰ ὁδοὺς ἀτριβεῖς περιῆλθεν ὑπὲρ κεφαλῆς τοῦ Μιθριδάτου· καὶ κατῄει μὲν, ἐκκλίνας καὶ τότε τὸ πεδίον διὰ τοὺς ἵππους, χαράδραν δὲ ὕδατος ἐν προβολῇ θέμενος ἐστρατοπέδευσεν. Απορῶν δ' ἀγορᾶς, ἐς Καππαδοκίαν ἔπεμπεν ἐπὶ σῖτον, καὶ ἐς τοὺς πολεμίους ἠκροβολίζετο· μέχρι, φευγόντων ποτὲ τῶν βασιλικῶν, ὁ Μιθριδάτης ἀπὸ τοῦ χάρακος ἐπιδραμὼν, καὶ ἐπιπλήξας, ἐπέστρεφεν αὐτούς· καὶ Ῥωμαίους οὕτω κατεφόβησεν, ὡς ἄνω διὰ τῶν ὀρῶν φεύγοντας οὐδ' ἀποστάντων αἰσθέσθαι τῶν πολεμίων ἐς πολὺ, ἀλλ' ἕκαστον ἡγεῖσθαι τὸν συμφεύγοντά οἱ καὶ ἐπιόν-

*Lin.* 21. βουλ. αὐτομολ. ἐς Λουκ. *Edd. Prætuli Aug.* *L.* 24. πάροδον *edit.* 2. 3. *& Regii.* παρ' ὁδὸν *edit.* 1. *L.* 25. ἐκ σπηλαίῳ *edit.* 3. *op. vit. Ibid.* κυνηγὸν, θηρίων ἀτραπῶν *sic disting. Aug. Puto & Cand. An* θηρίων *ex* ὀρεινῶν *vel* ὀρείων *corruptum?* *L.* 33. ἐκδραμὼν *Edd. ex Reg. B.*

adfectum putaret. Apud regem autem detulit alium Scytham, nomine *Sobadacum*, quod de transfugiendo ad Lucullum cogitaret: qui & statim comprehensus est.

80. *Lucullus* descensum in campos cavens, præpollentibus equitatu hostibus, neque aliam viam, qua circumire posset, videns, reperit in spelunca venatorem, peritum montanorum callium: quo ductore usus, per vias nulli tritas supra caput Mithridatis circumivit; descenditque tunc, vitatis quidem etiamnunc campis propter equites, & post torrentem aquis turgidum castra posuit. Ibi vero deficiente commeatu, frumentatum misit in Cappadociam, & crebro interim velitatus est cum hostibus. Fugientibus autem aliquando regiis, *Mithridates*, e castris adcurrens, suos objurgatos e fuga revertere coëgit; tantumque *pavorem incussit Romanis*, *ut*, in montana refugientes, *diu ne sentirent quidem*, *destitisse regios a persequendo*, & quis-

A. U. 683. τα ὄπισθεν, εἶναι πολέμιον· οὕτω πάνυ κατεπεπλήγεσαν. καὶ ὁ Μιθριδάτης περὶ τῆσδε τῆς νίκης πανταχοῦ γράφων περιέπεμπε. τῶν δ' ἱππέων πολὺ μέρος, καὶ μάλιστα δὴ τὸ μαχιμώτατον, ἐφεδρεύειν ἔταξε τοῖς ἐκ τῆς Καππαδοκίας τὴν ἀγορὰν τῷ Λουκούλλῳ φέρουσιν· ἐλπίζων, ἐν ἀπορίᾳ τροφῶν αὐτὸν γενόμενον, πείσεσθαι οἷον αὐτὸς ἔπαθε περὶ Κύζικον.

LXXXI. Καὶ τὸ μὲν ἐνθύμημα μέγα ἦν, ἀποκλεῖσαι τροφῶν Λούκουλλον, ἐκ μόνης ἔχοντα Καππαδοκίας. Οἱ δ' ἱππεῖς οἱ βασιλέως τοῖς προδρόμοις τῶν σιτοφόρων ἐν στενῷ περιτυχόντες, καὶ οὐκ ἀναμείναντες ἐς εὐρυχωρίαν προελθεῖν, ἀχρεῖον, ὡς ἐν στενῷ, σφίσι τὴν ἵππον ἐποίησαν. ἐν ᾧ καὶ Ῥωμαῖοι φθάσαντες ἐξ ὁδοιπορίας ἐς μάχην παρασκευάσασθαι, τοὺς μὲν ἔκτειναν τῶν βασιλικῶν, βοηθούσης, οἷα πεζοῖς, τῆς δυσχωρίας· τοὺς δὲ ἐς τὰς πέτρας κατήραξαν· τοὺς δὲ διέρριψαν ὑποφεύγοντας. ὀλίγοι δὲ νυκτὸς ἐς τὸ στρατόπεδον διαδραμόντες τε,

*Lin.* 37. ὄπισθεν *carent Edd. Dederunt Aug. Vat.* *L.* 41. τῆς *ad* Καππ. *adjeci ex Aug.* *L.* 46. ἱππεῖς τοῦ βασιλ. *Edd. Prætuli Aug.* *L.* 52. ἐς τὰς πρώτας κατ. *Edd.*

que proximum a tergo fugæ socium pro insequente hoste haberet: tantus pavor omnes occupaverat. Ejus victoriæ nuncios *Mithridates* circa omnes regiones dimisit. Equitatus autem magnam partem, & eam quidem bellicosissimam, jussit insidiari frumentatoribus, e Cappadocia Lucullo commeatus adferentibus; sperans, se eum ad talem redacturum inopiam, qualem ipse ad Cyzicum passus fuerat.

81. Et erat id quidem egregium *Mithridatis commentum, Lucullum commeatibus,* quos sola Cappadocia suppeditabat, *excludere.* Verum equites regii, quum in primum agmen frumentatorum in ipsis montium faucibus incidissent, neque exspectarent dum in patentiora loca hostis procederet; inutiles sibi equos, ut in angustiis, fecerunt. *Romani* interim, celeriter ex itinere structis ordinibus, *alios ex regiis occiderunt*, adjuti, utpote pedites, locorum asperitate; alios per rupes impulerunt præcipites; *alios in fugam dispersserunt.* Ex quibus pauci noctu in castra evase-

καὶ μόνοι περιγενέσθαι λέγοντες, μέγα ὂν σφίσι τὸ συμβὰν μειζόνως διεθρόησαν. Μιθριδάτης δ' αὐτὸ πρὸ τοῦ Λουκούλλου πυθόμενός τε, καὶ Λούκουλλον ἐλπίσας ἐπὶ τοσῇδε ἱππέων ἀπωλείᾳ αὐτίκα οἱ προσπεσεῖσθαι, φυγὴν ὑπ' ἐκπλήξεως ἐπενόει, καὶ τόδε τοῖς φίλοις εὐθὺς ἐξέφερεν ἐν τῇ σκηνῇ. Οἱ δὲ, πρίν τι γενέσθαι παράγγελμα, νυκτὸς ἔτι, σπουδῇ τὰ ἴδια ἕκαστος ἐξέπεμπεν ἐκ τοῦ στρατοπέδου· καὶ ὠθουμένων περὶ τὰς πύλας σκευοφόρων πολὺ τὸ πλῆθος ἦν. ὅπερ ἡ στρατιὰ θεωμένη, καὶ τοὺς φέροντας ἐπιγιγνώσκουσα, καὶ τοπάζουσα πολλὰ ἀτοπώτερα· σὺν δέει, καὶ ἀγανακτήσει τοῦ μηδὲν αὐτοῖς ἐπηγγέλθαι, τὸν χάρακα σφῶν ἐπιδραμόντες ἔλυον, καὶ διέφευγον ὡς ἐκ πεδίου πάντοθεν ἀκόσμως, ὅπῃ δύναιτο ἕκαστος αὐτῶν, ἄνευ στρατηγοῦ καὶ ἐπιστάτου παραγγέλματος. Ὧν ὁ Μιθριδάτης ὀξύτερόν τε καὶ σὺν ἀταξίᾳ γιγνομένων αἰσθόμενος, ἐξέδραμεν ἐκ τῆς σκηνῆς

A. U. 683.

*Lin.* 54. παραγενέσθαι *Edd.* *Ibid.* ὂν φύσει τὸ συμβὰν *Edd. Aug. Praetuli Vat.* *L.* 57. ἱππέων ἀπορίᾳ αὐτ. *Edd.* *L.* 58. ὑπενόει *Vat.* *L.* 59. πρίν τε γεν. *Edd. ex Reg. A.* *L.* 62. πολὺ πληθ. *Aug.* & *caret* τὸ. *L.* 67. *mallem* στρατ. ἢ ἐπιστ. aut *Cand.* *L.* 68. τε *post* ὀξυτ. *dedit Aug.*

runt; qui, quum ſolos ſe dicerent ſupereſſe incolumes, cladis ſatis quidem magnæ majorem quam pro re famam fecerunt. Ea fama non tam cito ad Lucullum quam ad *Mithridatem* pervenit: *qui*, ratus Lucullum in ſe poſt tantam equitatus cladem quamprimum impetum facturum, *de fuga cogitavit præ metu*, & id conſilium amicis ſtatim aperuit in prætorio Illi, non exſpectato ſigno vaſa colligendi, pro ſe quiſque ante lucem magna feſtinatione e caſtris emittebant ſarcinas; adeo ut ad portas jumenta cum impedimentis præ multitudine ſe invicem comprimerent. Id conſpicati *milites*, quum etiam eos agnoſcerent, qui impedimenta devehebant, pavore augente ſuſpicionem, indigne ferentes non ſibi quoque ſignum datum, *vallo* cum ira uno impetu *perrupto*, paſſim totis campis nullo ordine, qua quiſque poterat, *diffugerunt*, non exſpectatis imperatoris aut præfectorum imperiis. Quæ ubi *rex* ſenſit tumultuarie præpropereque fieri, procurrit e tentorio, commo-

A. U. 683.

ἐς αὐτοὺς, καὶ λέγειν τι ἐπεχείρει. οὐδενὸς δὲ ἐσακούοντος ἔτι, συνθλιβεὶς, ὡς ἐν πλήθει, κατέπεσε· καὶ ἐς τὸν ἵππον ἀναβληθεὶς, ἐς τὰ ὄρη σὺν ὀλίγοις ἐφέρετο.

LXXXII. Λούκουλλος δὲ, τῆς περὶ τὴν ἀγορὰν εὐπραγίας πυθόμενος, καὶ τὴν φυγὴν τῶν πολεμίων ἰδὼν, ἐπὶ μὲν τοὺς ἐκφυγόντας ἔπεμπε διώκειν ἱππέας πολλούς· τοῖς δὲ συσκευαζομένοις ἔτι κατὰ τὸ στρατόπεδον τοὺς πεζοὺς περιστήσας, ἐκέλευε μὴ διαρπάζειν ἐν τῷ τότε μηδὲν, ἀλλὰ κτείνειν ἀφειδῶς. οἱ δὲ, σκεύη τε χρύσεα καὶ ἀργύρεα πολλὰ καὶ ἐσθῆτας πολυτελεῖς θεώμενοι, ἐξέστησαν τοῦ παραγγέλματος. Αὐτόν τε τὸν Μιθριδάτην οἱ καταλαμβάνοντες, ἡμίονόν τινα τῶν χρυσοφόρων ἐς τὸ σάγμα πατάξαντες, προπεσόντος τοῦ χρυσίου, περὶ τόδε γενόμενοι, διαφυγεῖν ἐς Κόμανα περιεῖδον· ὅθεν ἐς Τιγράνην ἔφυγε σὺν ἱππεῦσι δισχιλίοις. Ὁ δὲ αὐτὸν ἐς ὄψιν οὐ προσέμενος, ἐν χωρίοις ἐκέλευσε διαίτης βασιλικῆς ἀξιοῦσθαι. ὅτε δὴ καὶ μάλιστα τῆς ἀρχῆς ἀπογνοὺς

*Lin.* 72. ἐς τὸ ὄρος *Vat.* *L.* 75. ἐκφεύγοντας *Reg. B.* *L.* 80. αὐτόν τε Μιθρ. *Edd.* τὸν *dederunt Aug. Ven.* *L.* 83. Κόμενα *Reg. B. ut supra.* *L.* 85. προσιέμενος *Edd. invit. MSS.* *L.* 86. ὁ δὴ *Edd. ex Reg. A.*

niturus ſuos. Sed quum audiretur a nemine, & compreſſus etiam in turba equoque fuiſſet excuſſus; mox in equum rurſus ſublatus, cum paucis *et ipſe ad montes* propere *profugit.*

82. *Lucullus* de frumentatorum victoria certior factus, videnſque fugam hoſtium, miſit magnam manum equitum, quæ fugientes perſequeretur. Eos vero, qui in caſtris adhuc reliqui vaſa colligebant, circumdedit legionibus; edixitque, ut tantiſper a rapinis abſtinerent, dum cædibus eſſet cumulate ſatisfactum. At miles, conſpectis multis vaſis aureis & argenteis, pretioſiſque veſtibus, edicti oblitus eſt. Et alii ipſum quoque *Mithridatem*, quem *jam in manibus pæne habebant*, conciſa muli aurum ferentis ſarcina, *dum aurum* prolapſum *colligunt*, *paſſi ſunt in Comana evadere.* Hinc ille cum duobus millibus equitum *profugit ad Tigranem:* qui, ne in conſpectum quidem admiſſum, procul a regia, regio tamen more, ali juſſit. Tunc nimirum maxime *Mithridates de regno*

ὁ Μιθριδάτης, Βάκχον εὐνοῦχον ἔπεμψεν ἐς τὰ βασίλεια, τὰς ἀδελφὰς αὐτοῦ καὶ τὰς γυναῖκας καὶ παλλακὰς, ὅπη δύναιτο, ἀνελοῦντα. αἱ μὲν δὴ διεφθείροντο ξίφεσι, καὶ φαρμάκοις, καὶ βρόχοις, δεινὰ ποιοῦσαι. Ταῦτα δ' ὁρῶντες οἱ φρούραρχοι τοῦ Μιθριδάτου, ἀθρόως ἐς τὸν Λούκουλλον μετετίθεντο, χωρὶς ὀλίγων. καὶ ὁ Λούκουλλος αὐτοὺς ἐπιὼν καθίστατο, καὶ τὰς ἐπὶ τοῦ Πόντου πόλεις περιπλέων, ᾕρει Ἄμαστρίν τε καὶ Ἡράκλειαν, καὶ ἑτέρας.

A. U. 684.

LXXXIII. Σινώπη δ' ἀντεῖχεν ἔτι καρτερῶς, καὶ διεναυμάχησεν οὐ κακῶς. πολιορκούμενοι δὲ, τὰς ναῦς τὰς βαρυτέρας σφῶν διέπρησαν, καὶ ἐς τὰς κουφοτέρας ἐμβάντες ἀπέδρασαν. Λούκουλλος δὲ τὴν πόλιν εὐθὺς ἐλευθέραν ἠφίει, δι' ἐνύπνιον, ὃ τοιόνδε ἦν· Αὐτόλυκόν, φασιν, ἐπὶ τὰς Ἀμαζόνας Ἡρακλεῖ συστρατεύοντα, ὑπὸ χειμῶνος ἐς Σινώπην καταχθῆναι, καὶ τῆς πόλεως κρατῆσαι· ἀνδριάς τε σεβάσμιος τοῖς Σινωπεῦσιν ἔχρα. ὃν οἱ μὲν Σι-

*Lin.* 87. Βακχίδην *Plutarchus adpellat.* *L.* 90. δεινοπαθοῦσαι *maluit Musgr.* *L.* 93. αὐτὸν ἐπιὼν *Edd.* *L.* 94. ᾕρει *caret Reg. B.* *L.* 97. κατέπρησαν *Reg. B.* *L.* 3. ἀνδρίας τε *Edd.*

*desperans*, Bacchum eunuchum ad suam regiam misit, ut sorores, uxores, concubinasque suas, quocumque modo posset, interimeret. Et illæ, mira constantia, gladiis, venenis, laqueis, sponte vitam finierunt. Quæ intelligentes *præfecti præsidiorum Mithridatis*, simul omnes, paucis exceptis, *ad Lucullum transierunt.* Reliquos *Lucullus*, admoto singulis exercitu, subegit; & ad maritimas quoque Ponti urbes classe adpulsa, cum alias nonnullas *cepit*, tum *Amastrim* & *Heracleam.*

83. *Sinopenses* vero adhuc resistebant constanter, & satis prospere depugnarunt navali prælio. Sed postquam oppugnari cœperunt; tum vero, concrematis gravioribus navibus, leviores conscenderunt, aufugeruntque. Captæ hinc civitati statim *Lucullus* libertatem reddidit, somnio tali admonitus: *Autolycum* ferunt, expeditionis ab Hercule in Amazonas susceptæ socium, tempestate adpulsum *Sinopem*, ibi regnum occupasse: & *statua ejus*, singulari religione culta, *oracula ede-*

A. U. 684. νωπεῖς, οὐ φθάσαντες ἐς φυγὴν ἐπαγαγέσθαι, ὀθόναις καὶ καλωδίοις περιέδησαν. οὐδὲν δ᾽ ὁ Λούκουλλος εἰδώς, οὐδὲ προμαθών, ἔδοξεν ὑπ᾽ αὐτοῦ κληθεὶς ὁρᾶν αὐτόν· καὶ τῆς ἐπιούσης τὸν ἀνδριάντα τινῶν περιβεβλημένον παραφερόντων, ἐκλῦσαι κελεύσας, ἰδεῖν οἷον ἔδοξε νυκτὸς ἑωρακέναι. τὸ μὲν δὴ ἐνύπνιον τοιόνδε ἦν. Λούκουλλος δὲ καὶ Ἀμισὸν ἐπὶ τῇ Σινώπῃ συνῴκιζεν· ἐκφυγόντων μὲν ὁμοίως τῶν Ἀμισέων διὰ θαλάσσης, πυνθανόμενος δ᾽ ὑπ᾽ Ἀθηναίων αὐτοὺς θαλασσοκρατούντων συνῳκίσθαι, καὶ, δημοκρατίᾳ χρησαμένους, ἐπὶ πολὺ τοῖς Περσικοῖς βασιλεῦσιν ὑπακοῦσαι· συναγαγόντος δ᾽ αὐτοὺς ἐς τὴν δημοκρατίαν ἐκ προστάγματος Ἀλεξάνδρου, πάλιν δουλεῦσαι τοῖς Ποντικοῖς. ἐφ᾽ οἷς ἄρα συμπαθὴς ὁ Λούκουλλος γενόμενός τε, καὶ φιλοτιμούμενός γε καὶ ὧδε ἐπὶ Ἀλεξάνδρῳ περὶ γένος Ἀττικόν, αὐτόνομον ἠφίει τὴν πόλιν· καὶ τοὺς Ἀμισέας κατὰ τάχος συνεκάλει. ὧδε μὲν δὴ

*Lin.* 4. Σινωπεῖς ὡς φθάσαντες *Edd.* *L.* 10. Ἀμισσὸν *h. l. Edd. cum Regiis, & mox iterum.* Ἀμινσον *Vat. ut alibi.* *L.* 11. Ἀμισσέων *h. l. Edd.* *L.* 14. *an* ἀναγαγόντος? *L.* 19. τοὺς Σινωπέας *Edd. & Aug. Puto & Vat. & Ven. Sed* Amisinos *Cand.*

*bat Sinopensibus.* Hanc tunc *Sinopenses* adsciturі fugæ comitem, pannis obvolutam constrinxerant funiculis, sed præ festinatione deportare in navem non potuerant. *Lucullus* ignarus rei, nec a quoquam monitus, visus est sibi videre *Autolycum* sese vocantem: & postero die, quum obvoluta statua præter eum forte gestaretur; solutis ipsius jussu involucris, talem videre sibi visus est, qualis species ei noctu fuerat obversata. Sic *Sinopensibus somnium Luculli profuit.* Post Sinopem, *Amisum* etiam *Lucullus restituit suis civibus,* qui pariter per mare profugerant. Quum enim audisset, deductam eo ab Atheniensibus, dum maris imperium tenebant, coloniam, & reipublicæ administrationem olim ibi penes populum fuisse; dein diu quidem Persarum regibus paruisse civitatem, sed rursus ex mandato Alexandri libertati pristinæ fuisse restitutam, donec servire denuo Ponticis regibus esset coacta: miseratus eam *Lucullus*, & Alexandri erga Atticos favorem æmulans, jussit esse liberam; civesque protinus in patriam, ab ipsis relictam, convocavit. Ita Sino-

Σινώπην καὶ Ἀμισὸν Λούκουλλος ἐπόρθει τε καὶ συνῴκιζε. A. U. Καὶ Μαχάρῃ τῷ παιδὶ τῷ Μιθριδάτου, Βοσπόρου τε βασιλεύοντι, καὶ στέφανόν οἱ πέμψαντι ἀπὸ χρυσοῦ, φιλίαν συνετίθετο. Μιθριδάτην δ' ἐξήτει παρὰ Τιγράνους. 684. Καὶ ἐς τὴν Ἀσίαν αὐτὸς ἐπανελθὼν, ὀφλοῦσαν ἔτι τῶν Συλλείων ἐπιβολῶν, τέταρτα μὲν ἐπὶ τοῖς καρποῖς, τέλη δ' ἐπὶ τοῖς θεράπουσιν καὶ ταῖς οἰκίαις ὥριζε. καὶ ἐπινίκια ἔθυεν, ὡς δὴ τὸν πόλεμον κατωρθωκώς.

LXXXIV. Ἐπὶ δὲ ταῖς θυσίαις, ἐπὶ τὸν Τιγράνην, οὐκ ἐκδιδόντα οἱ τὸν Μιθριδάτην, ἐστράτευε σὺν δύο τέλεσιν ἐπιλέκτοις, καὶ ἱππεῦσι πεντακοσίοις. καὶ τὸν Εὐφράτην περάσας, μόνα τὰ χρήσιμα τοὺς βαρβάρους αἰτῶν διώδευεν. οἱ γὰρ ἄνδρες οὐκ ἐπολέμουν, οὐδ' ἠξίουν τι πάσχειν, ἔς τε Λούκουλλον καὶ Τιγράνην ἐπ' ἀλλήλοις δια- 685.

*Lin.* 21. παιδὶ τοῦ Μιθρ. *Edd. Secutus sum Aug. Ven. L.* 23. συνέθετο *Aug. Vat. non male. Ibid.* Μιθριδ. δ' ἐζήτει παρὰ Τιγράνη *edit.* 1. Τιγράνῃ *edit.* 2. 3. Τιγράνους *dederunt Aug. Ven. Vat.* ἐξήτει *ex conject. reposui. L.* 25. ἐπιβουλῶν *Aug. mend. Ibid.* τέτταρα μὲν *Edd. ex Reg. B.* τετραμμένων *Reg. A. Verum dedit Aug. ex quo & hypostigmen recepi ante* τέταρτα, *qua carent Edd. L.* 26. ἐπὶ ταῖς οἰκίαις καὶ τοῖς θεραπ. *Edd. L.* 29. οἱ Μιθριδ. *Edd.* τὸν *ded. Aug. Ven. Ibid.* ἐστράτευσε *Reg. B. L.* 31. μόνα τὰ χρήματα *Edd. Ibid. sq.* διώδευσεν *Reg. B.*

pen Amisumque idem *Lucullus* desolavit restituitque. Inde in amicitiam recepto *Machare*, Mithridatis filio, Bospori rege, qui auream victori coronam miserat; & missis ad *Tigranem* legatis, qui *Mithridatem* ab eo repeterent; in Asiam *Lucullus* regressus est. Quæ quum mulctæ partem a Sylla irrogatæ adhuc deberet; censum ei imposuit quartam partem fructuum, & tributa pro ædium modo servorumque numero solvenda statuit. Jamque votiva sacra, ob res feliciter gestas, diis immortalibus persolvit.

84. Peractis sacris, *contra Tigranem*, non dedentem exposcenti Mithridatem, *Lucullus movit*, cum duabus selectis legionibus & equitibus quingentis. Superatoque Euphrate, a barbaris, per quorum fines transibat, ea solum exigebat, quæ ad usum erant necessaria. Nam regionum earum incolæ abhorrebant ab armis, neque belli calamitatibus sese objicere volebant, aut inter Lucullum atque Ti-

*A. U.* 685.

κριθῆναι. Τιγράνῃ δ᾽ οὐδεὶς ἐμήνυεν ἐπιόντα Λούκουλλον. ὁ γάρ τοι πρῶτος εἰπὼν κεκρέμαστο ὑπ᾽ αὐτοῦ, συνταράσσειν αὐτὸν τὰς πόλεις νομίσαντος. Ὡς δέ ποτε ᾔσθετο, Μιθροβαρζάνην προὔπεμπε μετὰ δισχιλίων ἱππέων, Λούκουλλον ἐπισχεῖν τοῦ δρόμου. Μαγκαίῳ δὲ Τιγρανόκερτα φυλάττειν ἐπέτρεψεν· ἥν τινα πόλιν (ὥς μοι προείρηται) ἐπὶ τῇ τιμῇ τῇ ἑαυτοῦ βασιλεὺς ἐν ἐκείνῳ γενέσθαι τῷ χωρίῳ συνῴκιζε· καὶ τοὺς ἀρίστους ἐς αὐτὴν συνεκάλει, ζημίαν ἐπιτιθεὶς, ὅσα μὴ μεταφέροιεν, δεδημεῦσθαι. τείχη τε αὐτοῖς περιέβαλε πεντηκονταπήχη τὸ ὕψος, ἱπποστασίων ἐν τῷ βάθει γέμοντα· καὶ βασίλεια καὶ παραδείσους κατὰ τὸ προάστειον ἐποίει μακροὺς, καὶ κυνηγέσια πολλὰ καὶ λίμνας· ἀγχοῦ δὲ καὶ φρούριον ἀνίστη καρτερόν. καὶ πάντα τότε Μαγκαίῳ ταῦτ᾽ ἐπιτρέψας, περιῄει στρατιὰν ἀγείρων. Μιθροβαρζάνην μὲν οὖν ὁ Λούκουλλος

*Lin.* 37. Μιθροβουζάνην *& sic mox iterum Edd. & MSS.* Metrobarzanem *Cand. Emendavi nomen cum Gelenio, ut est apud Plutarch.* *L.* 38. Mazeo *Cand. & sic deinceps.* *L.* 40. ἐπὶ τιμῇ *Aug. & caret priori* τῇ. *L.* 43. τείχη τε αὐτοῦ *Edd. Prætuli Aug. Ven. Ibid.* πεντηκοντάπηχυ τὸ ὕψος *Vat.* *L.* 44. ἱπποστασιῶν *Edd. ex Reg. A. Prætuli Aug. Reg. B.* *L.* 47. Μαγγαίῳ *& mox* Μαγγαῖον *Edd.* *L.* 48. οὖν *post* μὲν *carent Edd.*

granem medios ſeſe ingerere. Et nemo adventum Luculli indicavit Tigrani: nam qui primus ejus mentionem fecerat, ſuſpenſus eſt, tamquam populi turbator. Ut vero tandem cognovit *Tigranes*, *Mithrobarzanem præmiſit*, cum duobus millibus equitum, *qui Luculli curſum inhiberet.* *Mancæum* vero *Tigranocertæ* juſſit eſſe præſidio: quam urbem, ut ſupra dixi, rex in honorem ſuum in ea regione condiderat, nec dum plane abſolverat; optimatibus autem eodem convocatis mulctam impoſuerat, ut bona quæcumque illuc non transferrentur, fierent publica. Urbem circumdederat mœnibus quinquaginta cubitorum altitudine, quæ in imo referta erant equorum ſtabulis. In ſuburbiis autem regiam inſtituerat, & hortos amplos, & ferarum vivaria, piſcinaſque. Arcem quoque in proximo validam exſtruxerat. Quibus omnibus tunc *Mancæi* commiſſis fidei, regionem obibat *Tigranes*, exercitum colligens. Ceterum

Λούκουλλος εὐθὺς ἐκ τῆς πρώτης συμβολῆς τρεψάμενος ἐδίωκε. Μαγκαῖον δὲ Σεξτίλιος ἐς Τιγρανόκερτα κατακλείσας, τὰ μὲν βασίλεια αὐτίκα, ἀτείχιστα ὄντα, διήρπασε· τὴν δὲ πόλιν καὶ τὸ Φρούριον ἀπετάφρευε, καὶ μηχανὰς ἐφίστη, καὶ ὑπονόμοις ἀνεκρήμνη τὸ τεῖχος. καὶ Σεξτίλιος μὲν ἀμφὶ ταῦτα ἐγίγνετο. A. U. 685.

LXXXV. Τιγράνης δὲ, πεζῶν ἐς πέντε καὶ εἴκοσι μυριάδας ἀγείρας, καὶ ἱππέας ἐς πεντακισμυρίους, προὔπεμψεν αὐτῶν ἐς Τιγρανόκερτα περὶ ἑξακισχιλίους· οἳ διὰ μέσων Ῥωμαίων ἐς τὸ Φρούριον ὠσάμενοί τε, καὶ τὰς παλλακὰς τοῦ βασιλέως ἐξαρπάσαντες, ἐπανῆλθον. τῷ δὲ λοιπῷ στρατῷ Τιγράνης αὐτὸς ἤλαυνεν ἐπὶ Λούκουλλον. καὶ αὐτῷ τότε πρῶτον Μιθριδάτης ἐς ὄψιν ἐλθὼν, συνεβούλευε, μὴ συμπλέκεσθαι Ῥωμαίοις, ἀλλὰ τῷ ἱππικῷ μόνῳ περιτρέχοντα, καὶ τὴν γῆν λυμαινόμενον, ἐς λιμὸν αὐτοὺς, εἰ δύναιτο, περικλεῖσαι· ᾧ τρόπῳ καὶ αὐτὸς ὑπὸ Λουκούλλου περὶ Κύζικον ἀμαχεὶ κάμνων τὸν

*Lin.* 49. προσβολῆς *Edd. Secus Aug. Ven. Vat.* *L.* 50. Τιγρανόκερταν *Edd. Prætuli Aug. Ven.* *L.* 51. αὐτίκα *caret Reg. B.* *L.* 53. ἀνεκρήμνει *Edd.* *L.* 57. ἐς Τιγρανόπετραν *Edd. Rectius Aug. Cand.* *L.* 58. ἐς τὸ φρούριον *carent Edd.* *L.* 59. παλακὰς *Vat.* *L.* 64. περικλείσειν *edit.* 1. περικλύσειν *Aug. Tenui emendationem H. Steph. quam (ni fallor) confirmant Vat. & Ven.*

rum *Mithrobarzanem Lucullus* primo congreſſu ſuperatum, in fugam conjecit. *Sextilius* vero, *Mancæo* intra *Tigranocertam* compulſo, regiam mox extra mœnia ſitam diripuit, urbique & arci aggeres & machinas admovit, & cuniculis ſuffodit mœnia.

85. Quibus rebus dum occupatur Sextilius; *Tigranes*, coactis ferme CCL. peditum, equitum L. millibus, præmiſit Tigranocertam circiter ſex millia; qui per medios Romanos in arcem perruperunt, & ereptas reduxerunt regias concubinas. Cum reliquo exercitu *Tigranes ipſe contra Lucullum* profectus eſt. Cui *Mithridates*, tum primum in conſpectum admiſſus, ſuadebat, ne ſigna cum Romanis conferret; ſed, cum equitatu tantum circumcurſando, agroſque vaſtando, ad famem eos, ſi poſſet, redigeret: quemadmodum ipſe a *Lucullo* preſſus ad Cyzicum, ſine certamine amiſiſſet exercitum.

A. U. 685. στρατὸν ἀπολέσαι. ὁ δὲ, γελάσας αὐτοῦ τὴν στρατηγίαν, προήει συνεσκευασμένος ἐς μάχην· καὶ τὴν Ῥωμαίων ὀλιγότητα ἰδὼν, ἐπέσκωψεν οὕτως· Εἰ μὲν πρέσβεις εἰσὶν οἵδε, πολλοί· εἰ δὲ πολέμιοι, πάμπαν ὀλίγοι. Λούκουλλος δὲ λόφον εὔκαιρον ἰδὼν ὄπισθεν τοῦ Τιγράνους, τοὺς μὲν ἱππέας ἐκ μετώπου προσέτασσεν, ἐνοχλεῖν αὐτῷ, καὶ περισπᾶν ἐφ' ἑαυτοὺς, καὶ ὑποχωρεῖν ἑκόντας· ἵνα τῶν βαρβάρων, διωκόντων, ἡ τάξις παραλυθείη. τοῖς δὲ πεζοῖς αὐτὸς ἐς τὸν λόφον, περιοδεύσας, ἀνῄει λαθών. καὶ ὡς εἶδε τοὺς πολεμίους ὑπὸ τῆς διώξεως, οἷα νικῶντας, ἐς πολλὰ διεσκεδασμένους, τὰ δὲ σκευοφόρα αὐτῶν πάντα ὑποκείμενα, ἀνεβόησε, Νικῶμεν, ὦ ἄνδρες· καὶ ἐπὶ τὰ σκευοφόρα πρῶτος ἵετο δρόμῳ. τὰ δὲ, αὐτίκα σὺν θορύβῳ φεύγοντα, τοῖς πεζοῖς ἐνέπιπτε, καὶ τοῖς ἱππεῦσιν οἱ πεζοί. Τροπή τε ἦν εὐθὺς ὁλοσχερής. οἵ τε γὰρ ἐν τῇ διώξει μακρὰν ἀπεσπασμένοι, τῶν Ῥωμαϊκῶν ἱππέων ἐπιστρεψάντων ἐς αὐτοὺς, ἀπώλλυντο· καὶ τὰ σκευοφόρα τοῖς ἄλλοις ἐνέπιπτεν, ὡς ἐνοχλούμενα. πάν-

*Lin.* 66. γελάσας αὐτῷ *edit.* 3. *L.* 67. συνεσκευαμένος *eadem, vitiose utrumque.* *L.* 74. πεζοῖς αὐτοῖς *Aug. male.* *L.* 78. ἴετο *edit.* 1. *ex Reg. A.*

Id consilium irridens *Tigranes*, procedebat instructa acie: conspicatusque *Romanorum paucitatem*, illudens, ait: „*Si legati sunt hi, multi sunt: sin hostes, oppido pauci. Lucullus*, postquam animadvertit a tergo *Tigranis* opportunum tumulum, equites in frontem immisit, qui lacesserent hostem & in sese verterent, atque etiam ultro cederent, ut barbari persequendo turbarent ordines suos: ipse, peditibus circa tumulum circumductis, adscendit non sentientibus hostibus. Ut vero vidit eos, quasi jam victores, dispersos in persequendo, & impedimenta eorum omnia sub tumulo locata; exclamavit: *Vicimus, milites!* primusque cursu impedimenta eorumque custodes invasit: qui, magno impetu fugientes, incurrerunt in pedites, & hi rursum in equites. Moxque *effusa omnium fuga* facta est. Nam & illi, qui persequendo longius a suis procurrerant, a Romano equitatu, in eos jam sese convertente, cædebantur; & jumenta cum impedimentis in alteros, exagitata quip-

των τε ὡς ἐν τοσῷδε πλήθει θλιβομένων, καὶ τὸ ἀκριβὲς οὐκ εἰδότων, ὁπόθεν ἡ ἧσσα αὐτοῖς ἄρχοιτο, πολὺς ἦν φόνος, οὐδενὸς σκυλεύοντος οὐδέν· ἀπηγόρευτο γὰρ ἐκ Λουκούλλου μετὰ ἀπειλῆς. ὥστε καὶ ψέλλια καὶ περιαυχένια παροδεύοντες, ἔκτεινον ἐπὶ σταδίους ἑκατὸν καὶ εἴκοσιν, ἕστε νὺξ ἐπελάβετο. τότε δ᾽ ἀναστρέφοντες, ἐσκύλευον· ἐδίδου γὰρ ὁ Λούκουλλος ἤδη. A. U. 685.

LXXXVI. Γιγνομένην δὲ τὴν ἧτταν ὁ Μαγκαῖος ἐφορῶν ἀπὸ Τιγρανοκέρτων, τοὺς Ἕλληνας, οἳ ἐμισθοφόρουν αὐτῷ, πάντας ἐξώπλισεν, ὑποπτεύων· οἳ σύλληψιν δεδιότες, ἀθρόοι σκυτάλας ἔχοντες ἐβάδιζόν τε καὶ ηὐλίζοντο. Μαγκαίου δὲ τοὺς βαρβάρους ἐπάγοντος αὐτοῖς ὡπλισμένους, διαδησάμενοι τὰ ἱμάτια ταῖς λαιαῖς ἀντὶ ἀσπίδων, μετὰ τόλμης ἐσέδραμον ἐς αὐτούς· καὶ ὅσους ἀνέλοιεν, εὐθὺς ἐμερίζοντο τὰ ὅπλα. ὡς δὲ ἐκ τῶν δυνατῶν εἶχον αὐτάρκως, μεσοπύργιά τινα κατέλαβον, καὶ

*Lin.* 88. περιοδεύοντες *edit.* 1. 2. *invitis MSS.* περιδεύοντες *edit.* 3. *oper. err.* *L.* 98. ἐμέριζον τὰ ὅπλα *Edd.* *Ibid.* οὐκ τῶν δυνατ. *edit.* 3. *vit.* *L.* 99. αὐτάρκη *Reg. B.*

pe, incurrebant. Comprimentibusque se, ut in tanta multitudine, omnibus; neque plane scientibus, unde esset cladis initium; ingens cædes patrabatur. Neque quisquam ad spoliandum sese vertebat: id enim *Lucullus* edicto vetuerat, gravem interminatus pœnam secus facientibus. Itaque & armillas & torques prætereundo, continuarunt cædem per CXX. stadia; donec nox supervenit. Ac tum demum ad spoliandum, permittente jam Lucullo, conversi sunt.

86. Eam cladem quum *Mancæus* ex *Tigranocerta* prospexisset; *milites mercenarios Græcos*, ut sibi suspectos, exarmavit omnes. Qui, veriti, ne comprehenderentur, arreptis fustibus incedebant & quiescebant congregati. *Mancæo* vero cum armatis barbaris eos invadente, obvolutis veste brachiis vice clypei, audenter in eos fecerunt impetum: & quotquot occidissent, eorum arma statim inter se partiebantur. Quumque satis armorum viderentur nacti pro tempore; occupatis aliquot muri partibus, vocabant ad

A. U. 685. Ῥωμαίους ἔξωθεν ἐκάλουν τε, καὶ ἀναβαίνοντας ἐσεδέχοντο. Οὕτω μὲν ἑάλω Τιγρανόκερτα· καὶ πλοῦτος διηρπάζετο πολὺς, οἷα πόλεως νεοκατασκεύου, φιλοτίμως συνῳκισμένης.

686. LXXXVII. Τιγράνης δὲ καὶ Μιθριδάτης στρατὸν ἄλλον ἤθροιζον περιϊόντες, οὗ τὴν στρατηγίαν ἐπετέτραπτο Μιθριδάτης· ἡγουμένου Τιγράνους αὐτῷ γεγονέναι τὰ παθήματα διδάγματα. ἔπεμπον δὲ καὶ ἐς τὸν Παρθυαῖον, ἐπικουρεῖν σφίσι παρακαλοῦντες. ἀντιπρεσβεύοντος δὲ Λουκούλλου, καὶ ἀξιοῦντος, ἢ οἱ συμμαχῆσαι, ἢ ἀμφοτέροις ἐκστῆναι τοῦ ἀγῶνος· ὁ μὲν, κρύφα συντιθέμενος ἑκατέροις, οὐκ ἔφθασεν οὐδετέροις ἀμῦναι. Ὁ δὲ Μιθριδάτης ὅπλα τε εἰργάζετο κατὰ πόλιν ἑκάστην, καὶ ἐστρατολόγει σχεδὸν ἅπαντας Ἀρμενίους. ἐπιλεξάμενος δ᾽ αὐτῶν τοὺς ἀρίστους, ἐς ἑπτακισμυρίους πεζοὺς καὶ ἱππέας ἡμίσεας, τοὺς μὲν ἄλλους ἀπέλυσε· τοὺς δ᾽ ἐς ἴλας τε καὶ σπείρας ἀγχοτάτω τῆς Ἰταλικῆς συντάξεως

*Lin.* 1. ἔξω ἐκάλουν *Edd.* *Ibid. ſq.* ἐδέχοντο *Aug. Ven.* *L.* 10. συμμαχήσειν *edit.* 1. *Aug. Ven. quod retineri forſitan poterat.* *L.* 12. ἀμύνας *Edd. ex Reg. B.* *L.* 15. ἐς *ad* ἑπτακ. *inſerui ex Aug. Ven.* *L.* 17. ἀγχοτάτου *Edd. ex Reg. A.*

ſe Romanos obſeſſores, eoſque adſcendentes recipiebant intra mœnia. Ita *Tigranocerta capta* eſt, & ingenti præda ditavit exercitum, utpote urbs recens condita, & ambitioſe contractis undique incolis frequentata.

87. Jamque *Tigranes* & *Mithridates*, obeundo regiones, *alium colligebant exercitum; cujus præfectura Mithridati* eſt *credita*, quem jam ſatis edoctum ſuis calamitatibus Tigranes exiſtimavit. Ad *Parthos* quoque miſerunt, qui ab his auxilia peterent. Sed quum *Lucullus* ſimiliter per legatos regem eorum ſolicitaſſet, ut aut ſibi potius auxiliaretur, aut neutri ſe adjungeret; ille, utrique clam pollicitus, miſit neutri. At *Mithridates* oppidatim inſtruxerat armorum fabricas; &, delectus habens, conſcripſit ferme omnes Armenios: e quibus, ſelectis fortiſſimorum ad LXX. millibus peditum, & dimidio numero equitum, reliquos dimiſit. Hos vero, in turmas & cohortes, proxime diſcipli-

καταλέγων, Ποντικοῖς ἀνδράσι γυμνάζειν παρεδίδου. *A. U.* προσιόντος δ' αὐτοῖς τοῦ Λουκούλλου, ὁ μὲν Μιθριδάτης 686. τὸ πεζὸν ἅπαν, καὶ μέρος τι τῶν ἱππέων ἐπὶ λόφου συνεῖχε· τῇ λοιπῇ δ' ἵππῳ Τιγράνης τοῖς σιτολογοῦσι Ῥωμαίοις περιπεσὼν, ἡσσᾶτο. καὶ μᾶλλον ἀδεῶς ἀπὸ τοῦδε οἱ Ῥωμαῖοι πλησίον αὐτοῦ Μιθριδάτου ἐσιτολόγουν τε καὶ ἐστρατοπέδευον. Κονιορτὸς δ', αὖθις ἠγείρετο πολὺς, ὡς ἐπιόντος τοῦ Τιγράνους· καὶ τὸ ἐνθύμημα ἦν, ἐν μέσῳ Λούκουλλον ἀμφοῖν γενέσθαι. ὁ δ', αἰσθόμενος, τοὺς μὲν ἀρίστους τῶν ἱππέων προὔπεμψε πορρωτάτω συμπλέκεσθαι τῷ Τιγράνῃ, καὶ κωλύειν αὐτὸν ἐξ ὁδοιπορίας ἐς τάξιν καθίστασθαι. αὐτὸς δὲ τὸν Μιθριδάτην προκαλούμενος ἐς μάχην, καὶ περιταφρεύων, οὐκ ἠρέθιζεν· ἕως χειμὼν ἐπιπεσὼν διέλυσε τὸ ἔργον ἅπασι.

LXXXVIII. Καὶ Τιγράνης μὲν ἐξ ὅλης Ἀρμενίας ἐς τὰ ἐντὸς ἀνεζεύγνυεν, ὁ δὲ Μιθριδάτης ἐς τὸν Πόντον ἐπὶ τὰ

*Lin.* 20. τι *carent Edd. Dederunt Aug. Vat. Ib.* ἐπὶ λόφον *Aug. Ven. L.* 28. Τιγράνει *Aug. L.* 31. ἕως λιμὸς ἐπιπεσὼν *Edd. ex Reg. A. Cand.* (*puto & Ven.*) *L.* 32. *vocem* ὅλης *commode omisit Cand.* ad interiora Armeniæ se contulit. *An pro* ἐξ ὅλης *legendum* ἐκ τῆς ἄλλης?

nam Italicam, digestos, tradidit exercendos viris Ponticis. Contra quos adventante *Lucullo*, *Mithridates* peditatum omnem & partem equitatus in colle continuit: cum reliquis *Tigranes* Romanos adortus frumentatores, repulsus est. Unde postea securius hi frumentabantur, etiam ex propinquis locis Mithridati: & castra admoverunt propius. Tigranem vero rursus adventantem plurimus coortus pulvis indicavit: & decreverant reges, *Lucullum* includere in medio. Quod ille intelligens, præmisit robur equitum; ut quam longissime provecti, cum *Tigrane* confligerent, priusquam agmen ejus ex itinere instrueretur in aciem. Ipse autem *Mithridatem* ad certamen provocavit; neque vero, quamquam & fossa valloque eum cingere instituit, potuit elicere. Ad extremum, incidens hiems omnes infecta re abire coëgit.

88. Et *Tigranes* quidem *in interiorem Armeniam* se recepit; *Mithridates in Pontum*

A. U. 686. λοιπὰ τῆς ἰδίας ἀρχῆς ἠπείγετο, τετρακισχιλίους οἰκείους ἔχων, καὶ τοσούσδε ἑτέρους παρὰ Τιγράνους λαβών. 3 ἐφείπετο δ' αὐτῷ καὶ ὁ Λούκουλλος, ἀναζευγνὺς καὶ ὅδε διὰ τὴν ἀπορίαν. Φθάσας δ' αὐτὸν ὁ Μιθριδάτης, ἐπέθετο Φαβίῳ τῷ δεῦρο ἐκ Λουκούλλου στρατηγεῖν ὑπολελειμμένῳ· καὶ τρεψάμενος αὐτὸν, ἔκτεινε πεντακοσίους. ἐλευθερώσαντος δὲ τοῦ Φαβίου θεράποντας, ὅσοι ἦσαν ἐν τῷ στρατοπέδῳ, καὶ δι' ὅλης ἡμέρας αὖθις ἀγωνιζομένου, παλίντροπος ἦν ὁ ἀγών· μέχρι τὸν Μιθριδάτην, πληγέντα λίθῳ τε ἐς τὸ γόνυ καὶ ὑπὸ τὸν ὀφθαλμὸν βέλει, κατὰ σπουδὴν ἀποκομισθῆναι, καὶ πολλὰς ἡμέρας τοὺς μὲν φόβῳ τοῦ βασιλέως τῆς σωτηρίας, τοὺς δὲ ὑπὸ πλή- 4 θους τραυμάτων ἠρεμῆσαι. Μιθριδάτην μὲν οὖν ἐθεράπευον Ἄγαροι, Σκυθικὸν ἔθνος, ἰοῖς ὄφεων ἐς τὰς θεραπείας χρώμενοι, καὶ ἐπὶ τῷδε αἰεὶ βασιλεῖ συνόντες. Φαβίῳ δὲ Τριάριος, ἕτερος Λουκούλλου στρατηγὸς, ἐπελθὼν μετ' οἰκείου στρατοῦ, τήν τε ἀρχὴν παρὰ τοῦ Φαβίου 5

*Lin.* 34. ἰδίους, *pro* οἰκείους, *dant Edd. Prætuli Aug. Ven.* *L.* 36. ὑφείπετο *Edd. Prætuli Aug.*

ad regni ſui reliquias properavit. Hunc ſequebantur propriorum militum quatuor millia, & totidem a Tigrane accepti. Et mox eum *Lucullus* quoque ſecutus eſt, coactus & ipſe reverti propter rei frumentariæ anguſtias. Sed *Mithridates*, celerius confecto itinere, adgreſſus eſt *Fabium*, ducem ibi a Lucullo relictum, & *in fugam vertit*, quingentis in pugna occiſis. *Fabius* poſtero die, liberatis ſervis quotquot caſtra ſequebantur, rurſus per totum diem pugnavit: ſed & tunc rurſus inclinavit Romanorum acies; donec *Mithridates* ſaxo ictus in genu, & telo ſub oculo *ſaucius*, e prælio celeriter elatus eſt. Ex eo tempore per complures dies ceſſatum eſt, ſolicitis de ſalute regis hoſtibus, & Romanis propter multitudinem vulnerum quieſcentibus. *Curabant* autem *regem Agari*, *remediis e ſerpentum viru* confectis. *Scythica* ea *gens* eſt, ex qua ſemper nonnulli, artis medicæ cauſa, regem comitantur. Ad Fabium autem mox alius ex Luculli legatis, *Triarius*, cum proprio exercitu acceſſit; cui Fabius reliquias copiarum ſuarum & dignitatem,

καὶ τὸ ἀξίωμα παρελάμβανε. Καὶ μετ᾽ οὐ πολὺ χωρούντων ἐς μάχην αὐτοῦ τε καὶ Μιθριδάτου, πνεῦμα, οἷον οὐκ ἐμνημονεύετο γενέσθαι, τάς τε σκηνὰς ἀμφοτέρων διέῤῥιψε, καὶ τὰ ὑποζύγια παρέσυρε, καὶ τῶν ἀνδρῶν ἔστιν οὓς κατεκρήμνισε. καὶ τότε μὲν ἀνεχώρουν ἑκάτεροι. A. U.

LXXXIX. Απαγγελλομένου δὲ Λουκούλλου προσιέναι, προλαβεῖν τὸ ἔργον ὁ Τριάριος ἐπειγόμενος, ἔτι νυκτὸς ἐπεχείρει ταῖς Μιθριδάτου προφυλακαῖς. ἰσομάχου δ᾽ ἐς πολὺ τοῦ ἀγῶνος ὄντος, ὁ βασιλεὺς, ἐς τὸ καθ᾽ αὐτὸν μέρος ἐπιβαρήσας, ἔκρινε τὴν μάχην· καὶ διασπάσας τοὺς πολεμίους, τὸ πεζὸν αὐτῶν κατέκλεισεν ἐς διώρυχα πηλοῦ, ἔνθα διεφθείροντο, στῆναι μὴ δυνάμενοι. τοὺς δ᾽ ἱππέας ἀνὰ τὸ πεδίον ἐδίωκεν, ἐκθύμως τῇ φορᾷ τῆς εὐτυχίας καταχρώμενος. ἔστε τις αὐτὸν Ρωμαῖος λοχαγὸς, οἷα θεράπων αὐτῷ συντροχάζων, ἐς τὸν μηρὸν ἐπάταξε ξίφει πληγὴν βαρεῖαν, οὐκ ἐλπίσας ἐς τὰ νῶτα διὰ τοῦ θώρακος ἐφίξεσθαι. καὶ τόνδε μὲν εὐθὺς 687.

*Lin.* 55. *κατεκρήμνιζε Edd. ex Reg. A. κατεκρέμνισε (sic) Aug. Reg. B.* *L.* 61. *διώρυγα Aug. Vat.* *L.* 64. *χρώμενος Edd.*

quam ipſe geſſerat, tradidit. Non multo poſt, in aciem progredientibus *Triario* & *Mithridate*, procella, qualis nulla poſt hominum memoriam exorta eſt, utriſque in caſtris disjecit tentoria, jumenta tranſverſum egit per devia, nonnulloſque etiam militum ſtravit præcipites. Et tunc quidem utrique retroceſſerunt.

89. Poſtquam autem nunciatum eſt, adventare Lucullum; *Triarius*, abſente illo depugnare cupiens, ante lucem *invaſit ſtationes Mithridatis.* Ubi quum diu pari virtute certaſſent, tandem *rex* in hos, qui contra ipſum erant locati, magno impetu irruens, *incepit victoriam;* &, diſtractis hoſtibus, peditatum eorum in foſſam quamdam cœnoſam compulit, ubi cædebantur impune, fallente milites veſtigio. Animoſe deinde uſus victoria, perſequebatur per campos equites; donec quidam *Romanus centurio*, qui ſpecie famuli curſu æquabat equitantem *regem*, *in femur* eum *percuſſit* graviter, quod tergum ejus non ſperaret ſe per thoracem poſſe perfodere. Et hunc quidem ſtatim in fruſta conciderunt pro-

A. U. 687. οἱ πλησίον συνέκοπτον· ὁ δὲ Μιθριδάτης ἀπεφέρετο ὀπίσω· καὶ οἱ φίλοι τὴν στρατιὰν ἀπὸ νίκης λαμπρᾶς ἀνεκάλουν σὺν ἐπείξει βαθείᾳ. ἐνέπιπτε δὲ τοῖς μαχομένοις ἐπὶ τῷ παραλόγῳ τῆς ἀνακλήσεως θόρυβός τε, καὶ ἀπορία, μή τι δεινὸν ἑτέρωθεν εἴη· μέχρι μαθόντες, εὐθὺς ἐν τῷ πεδίῳ τὸ σῶμα περιίσταντο, καὶ ἐθορύβουν· ἕως Τιμόθεος αὐτοῖς ὁ ἰατρὸς, ἐπισχὼν τὸ αἷμα, ἐπέδειξεν αὐτὸν ἐκ μετεώρου. οἷόν τι καὶ Μακεδόσιν ἐν Ἰνδοῖς, ὑπὲρ Ἀλεξάνδρου δεδιόσιν, ὁ Ἀλέξανδρος αὐτὸν ἐπὶ νεὼς θεραπευόμενον ἐπέδειξεν. Ὁ δὲ Μιθριδάτης, ὡς ἀνήνεγκεν, αὐτίκα τοῖς ἀνακαλέσασιν ἐκ τῆς μάχης κατεμέμφετο, καὶ τὸν στρατὸν αὐτῆς ἡμέρας ἦγεν αὖθις ἐπὶ τὸ Ῥωμαίων στρατόπεδον. οἱ δὲ καὶ ἐκ τοῦδε ἐπεφεύγεσαν ἤδη σὺν δέει. σκυλευομένων δὲ τῶν νεκρῶν, ἐφαίνοντο χιλίαρχοι μὲν τέσσαρες καὶ εἴκοσι, ἑκατόνταρχοι δὲ πεντήκοντα καὶ ἑκατόν· ὅσον ἡγεμόνων πλῆθος οὐ ῥᾳδίως συνέπεσε Ῥωμαίοις ἐν ἥττῃ μιᾷ.

*Lin.* 75. ἐπέδειξεν αὐτοὺς *edit.* 1. αὐτοῖς *edit.* 2. 3. *L.* 76. Ἀλεξ. αὐτὸν *edit.* 2. 3. *invit. MSS.* *L.* 79. τὸν στρατηγὸν *Edd. ſed vera lectio ad oram edit.* 3. *L.* 80. ἐκ τούτου *Edd. Prætuli Aug.* *L.* 82. εἴκοσι καὶ τέσσαρες *Aug.*

ximi. Mithridates vero in extremam aciem relatus eſt. Jamque amici regii ſuis, egregie vincentibus, ſignum præpropere dederunt receptui. Id, ut inopinatum, trepidationem injecit pugnantibus; veritis, ne forte aliunde mali aliquid accidiſſet. Dein, re cognita, ſtatim ibi in campo, conſternati, circumſteterunt corpus regium; donec *Timotheus medicus*, cohibito ſanguine, ſublimem eis regem oſtendit: ſicut olim in India Macedonibus, de Alexandro ſolicitis, rex, dum curabatur, e navi ſe ſpectandum præbuerat. *Mithridates* poſtquam *recollegit animum*, ſtatim reprehendit eos qui ſignum receptui dederant, & *eo ipſo die caſtris* hoſtium *admovit exercitum*: ſed jam ex illis quoque trepidi profugerant Romani. Dum ſpoliantur cadavera, reperti ſunt *cæſi tribuni* XXIV. *centuriones* CL. quantus præfectorum numerus haud facile umquam in una Romanorum clade deſideratus eſt.

XC. Ὁ δὲ Μιθριδάτης ἐς Ἀρμενίαν, ἣν δὴ νῦν Ῥωμαῖοι βραχυτέραν Ἀρμενίαν καλοῦσιν, ἀνεζεύγνυε, τὰ μὲν εὐκόμιστα πάντα σιτολογῶν, τὰ δὲ δυσχερῆ διαφθείρων τε, καὶ Λούκουλλον ἐπιόντα προαφαιρούμενος. καί τις ἀνὴρ Ῥωμαῖος, ἀπὸ βουλῆς, Ἀτίδιος ὄνομα, διὰ δίκην φυγὼν ἐκ τῆς πατρίδος ἐς Μιθριδάτην πρὸ πολλοῦ, καὶ φιλίας ἀξιούμενος, ἑάλω τότε ἐπιβουλεύων αὐτῷ. καὶ τόνδε μὲν ὁ βασιλεὺς, οὐ δικαιῶν βασανίσαι, Ῥωμαίων ποτὲ βουλευτὴν γενόμενον, ἔκτεινε· τοὺς δὲ συναμαρτόντας ᾐκίσατο δεινῶς. ἀπελεύθεροι δ᾽ ὅσοι τῷ Ἀτιδίῳ συνεγνώκεσαν, ἀπαθεῖς ἀφῆκεν, ὡς δεσπότῃ διακονησαμένους. Λουκούλλου δ᾽ ἤδη τῷ Μιθριδάτῃ παραστρατοπεδεύοντος, ὁ τῆς Ἀσίας στρατηγὸς περιπέμπων, ἐκήρυσσε, Ῥωμαίους ἐπικαλεῖν Λουκούλλῳ πέρα τοῦ δέοντος πολεμοῦντι, καὶ τοὺς ὑπ᾽ αὐτῷ τῆς στρατείας ἀφιέναι, καὶ

A. U. 687.

*Lin.* 85. νῦν *carent Edd. Dederunt Aug. Vat.* *L.* 89. Ἀτίλιος, *&* *mox* Ἀτιλίῳ, *Edd. cum Cand. invitis omnibus noſtris MSS. Ibid.* διὰ θήκην *Reg. B.* *L.* 90. πρὸ *caret Vat.* πρὸς πολλοῦ *edit.* 1. *L.* 92. Ῥωμαῖον ποτὲ *Edd. Prætuli Aug.* *L.* 98. πέρας *Edd. inv. MSS.* *L.* 99. καὶ ὑφ᾽ αὐτῷ τῆς στρατιᾶς *Edd.* τοὺς *dederunt Aug. Ven. Vat.* αὐτῷ *ded. Aug. Vat.* ὑπ᾽ *pro* ὑφ᾽ *correxi.* στρατίας *dat Aug.* στρατείας *deder. Reg. B. Vat.*

90. Hinc *Mithridates* in *Armeniam*, quam *minorem* nunc Romani vocant, regreſſus eſt; commeatus omnes, qui quidem deportari poterant, ſecum auferens; ceteris vero corruptis, ne Lucullo venienti eſſent uſui. Quo tempore *Attidius Romanus ſenator*, qui, judicii metu dudum *profugus ad Mithridatem*, in amicitiam ejus fuerat receptus, deprehenſus eſt regi ſtruere inſidias. Quem ille, pro dignitatis priſtinæ reverentia, vetuit torqueri, ſimplicique morte necavit; conſcios autem excruciavit graviter. Libertos vero, cum quibus *Attidius* communicarat conſilium, illæſos dimiſit, ut qui patrono miniſterium negare non potuiſſent. Ubi vero Lucullus jam cum Mithridate contulit caſtra; *Aſiæ proconſul*, dimiſſis per provinciam præconibus, edixit, *incuſari Lucullum a ſenatu, quod bellum diutius juſto protraheret: proinde ſenatum miſſum facere ejus exercitum; et bona eorum, qui non paruiſſent,*

A. U. 687. τῶν οὐ πειθομένων τὰ ὄντα δημεύσειν. ὧν ἐξαγγελθέντων, ὁ στρατὸς αὐτίκα διελύετο, χωρὶς ὀλίγων· ὅσοι, πάνυ πένητες ὄντες, καὶ τὴν ζημίαν οὐ δεδιότες, τῷ Λουκούλλῳ παρέμενον.

XCI. Ὧδε μὲν δὴ καὶ ὁ Λουκούλλου πρὸς Μιθριδάτην πόλεμος ἐς οὐδὲν βέβαιον, οὐδὲ κεκριμένον τέλος, ἔληξεν. Ἀφισταμένης γὰρ τῆς Ἰταλίας, ἐνοχλούμενοι, καὶ λῃστευομένης τῆς θαλάσσης, λιμῷ πιεζόμενοι, οὐκ ἐν καιρῷ σφίσιν ἡγοῦντο πολεμεῖν ἄλλον τοσόνδε πόλεμον, πρὶν τὰ ἐνοχλοῦντα διαθέσθαι. ὧν καὶ ὁ Μιθριδάτης αἰσθανόμενος, ἐς Καππαδοκίαν ἐσέβαλε, καὶ τὴν ἰδίαν ἀρχὴν ὠχύρου. καὶ τάδε αὐτὸν πράσσοντα οἱ Ῥωμαῖοι περιεώρων, ἐφ' ὅσον αὐτοῖς ἡ θάλασσα ἐκαθαίρετο. Ὡς δὴ' ἐκεκάθαρτο, καὶ ὁ καθήρας Πομπήϊος ἔτι ἦν ἐν Ἀσίᾳ, τὸν Μιθριδάτειον πόλεμον ἀνελάμβανον αὐτίκα, καὶ ἐπέστελλον καὶ τοῦδε τῷ Πομπηΐῳ στρατηγῆσαι. Διό μοι δοκεῖ, μέρος ὄντα τῆς Πομπηΐου στρατείας τὰ περὶ τὴν θάλασσαν αὐτῷ πρὸ Μιθριδάτου κατειργασμένα, καὶ ἐς οὐδεμίαν συγγραφὴν

*Lin.* 11. *post* Καππαδοκίαν *insertam mallem partic.* αὖθις. *L.* 13. ὡς δὴ' ἐκάθαρτο *edit.* 1. ὡς δὲ κεκάθαρτο *Vat. non male.* *L.* 14. ἔτι *carent Edd. dederunt Aug. Vat.*

*publicaturum.* Quibus ad exercitum perlatis, mox diffluebant milites; exceptis paucis, qui, admodum pauperes, ideoque mulctam non timentes, maluerunt apud Lucullum permanere.

91. Atque ita nec Luculli ductu bellum Mithridaticum finem ullum certum firmumve habuit. Etenim *ob defectionem Italiæ laborantes Romani*, & *fame* præterea *pressi propter occupata a piratis maria*, intempestivum duxerunt, tanto bello involvi, priusquam amotæ essent præsentes molestiæ. Quod etiam *Mithridates* intelligens, *rursus invasit Cappadociam*, *et proprium regnum munivit*; dissimulantibus Romanis, donec repurgata essent maria. Quibus perpurgatis, dum *PIRATARUM PROFLIGATOR POMPEJUS* in Asia adhuc versabatur, statim *resumtum est bellum Mithridaticum*, *et Pompejo imperatori commissum.* Quapropter, quum pars sint Pompejanæ expeditionis, *QUÆ ILLE IN MARI GESSIT ANTE BELLUM MITHRIDATICUM*, nec in ulla alia histo-

οἰκείαν ἄλλην ἀπαντῶντα, ἐς τόδε τὸ μέρος συναγαγεῖν τε, καὶ ἐπιδραμεῖν, ὡς ἐγένετο. *A. U.*

XCII. Μιθριδάτης, ὅτε πρῶτον Ῥωμαίοις ἐπολέμει, καὶ τῆς Ἀσίας ἐκράτει, Σύλλα περὶ τὴν Ἑλλάδα πονουμένου, ἡγούμενος οὐκ ἐς πολὺ καθέξειν τῆς Ἀσίας, τά τε ἄλλα (ὥς μοι προείρηται) πάντα ἐλυμαίνετο, καὶ ἐς τὴν θάλασσαν πειρατὰς καθῆκεν· οἳ τὸ μὲν πρῶτον ὀλίγοις σκάφεσι καὶ μικροῖς, οἷα λῃσταὶ, περιπλέοντες ἐλύπουν. ὡς δὲ ὁ πόλεμος ἐμηκύνετο, πλέονες ἐγίγνοντο, καὶ ναυσὶ μεγάλαις ἐπέπλεον. γευσάμενοι δὲ κερδῶν μεγάλων, οὐδ᾽, ἡττωμένου καὶ σπενδομένου τοῦ Μιθριδάτου, καὶ ἀναχωροῦντος, ἔτι ἐπαύοντο. Οἱ γὰρ βίου καὶ πατρίδων διὰ τὸν πόλεμον ἀφῃρημένοι, καὶ ἐς ἀπορίαν ἐμπεσόντες ἀθρόαν, ἀντὶ τῆς γῆς ἐκαρποῦντο τὴν θάλασσαν, μυοπάρωσι πρῶτον καὶ ἡμιολίαις, εἶτα δικρότεις καὶ τριήρεσι, κατὰ μέρη περιπλέοντες, ἡγουμέ-

666 *sqq.* 669 *sqq.*

*Lin.* 19. τόδε μέρος *Edd. Rectius Aug.* *L.* 24. ἐλυμαιν. πάντα *Edd. Prætuli Aug.* *L.* 27. ὁ πολ. ἐμηνύετο *Edd.* *Ibid.* πλείονες *Edd. invit. MSS.* *L.* 28. δὲ καὶ κερδῶν *Vat.* *L.* 29 *sq.* τοῦ Μιθριδ. *ponunt post* καὶ ἀναχωρ. *Edd.* *L.* 32. ἐκπεσόντες *Edd.* *Ibid. sq. Post* τὴν θάλασσαν *in Vat. desunt omnia usque ad p.* 782. *l.* 72. *ubi idem vocab.* θάλασσαν *recurrit.*

riarum nostrarum parte sedem propriam habeant, *libet mihi hoc loco ea percurrere.*

92. *Mithridates* dum primum adversus Romanos bellum gereret, Asiamque obtineret, Sylla gravibus negotiis occupato in Græcia; ratus, non diuturnum fore in Asia suum imperium; & aliis modis, de quibus dictum est, vastavit omnia, & *mari piratas immisit*: qui primum paucis navigiis parvisque vagi latrocinabantur. *Quum* vero longius *protraheretur bellum; augebatur piratarum numerus*, qui jam & majoribus navibus cœperunt uti. Denique, gustatis lucris non mediocribus, ne victo quidem tum & pacato Mithridate, & in regnum suum regresso, desistebant. Qui enim facultates & patrias propter bellum amiserant; hi, ad summam egestatem redacti, relictis terris, quæstum faciebant e mari: myoparonibus primum & hemioliis, deinde dicrotis & triremibus, ultro ci-

A. U. 669 *sqq.*

νων λῃστάρχων, οἷα πολέμου στρατηγῶν. ἔς τε ἀτειχίστους πόλεις ἐμπίπτοντες, καὶ ἑτέρων τὰ τείχη διορύττοντες ἢ κόπτοντες, ἢ πολιορκίᾳ λαμβάνοντες, ἐσύλων· καὶ τοὺς ἄνδρας, οἷς τι πλέον εἴη, ἐς ναυλοχίαν ἐπὶ λύτροις ἀπῆγον. καὶ τάδε τὰ λήμματα, ἀδοξοῦντες ἤδη τὸ τῶν λῃστῶν ὄνομα, μισθοὺς ἐκάλουν στρατιωτικούς. χειροτέχνας τε εἶχον ἐπ᾽ ἔργοις δεδεμένους, καὶ ὕλην ξύλου καὶ χαλκοῦ καὶ σιδήρου συμφέροντες οὔποτε ἐπαύοντο. Επαιρόμενοι γὰρ ὑπὸ τοῦ κέρδους, καὶ τὸ λῃστεύειν οὐκ ἐγνωκότες ἔτι μεθεῖναι, βασιλεῦσι δ᾽ ἤδη καὶ τυράννοις ἢ στρατοπέδοις μεγάλοις ἑαυτοὺς ὁμοιοῦντες· καὶ νομίζοντες, ὅτε συνέλθοιεν ἐς τὸ αὐτὸ πάντες, ἄμαχοι γενήσεσθαι· ναῦς τε καὶ ὅπλα πάντα ἐτεκταίνοντο, μάλιστα περὶ τὴν Τραχεῖαν λεγομένην Κιλικίαν, ἣν κοινὸν σφῶν ὕφορμον ἢ στρατόπεδον ἐτίθεντο εἶναι· Φρούρια μὲν καὶ ἄκρας, καὶ νήσους ἐρήμους, καὶ ναυλοχίας ἔχοντες πολλαχοῦ. κυριωτάτας δὲ ἀφέσεις ἡγούμενοι τὰς περὶ

*Lin.* 35. λῃσταρχῶν *Aug.* *L.* 39. ἐπῆγον *Edd.* *L.* 42. καὶ *ante* χαλκοῦ *adjeci ex Aug.* *L.* 44. μεταθεῖναι *Edd.* μεταθῆναι *Reg. B. Ibid. sq.* ἤδη ἢ τυράννοις *Aug.* *L.* 49. ὕφορμον ἐποιοῦντο, ἢ κοινὸν στρατοπ. ἐτίθετο εἶναι *edit.* 1. *Sic & edit.* 2. 3. *nisi quod* ἡ *pro* ἢ *dent.*

troque navigantes; *ductantibus archipiratis*, veluti legitimi belli ducibus. Jamque & *oppida* parum munita *invadebant*, & munitorum oppidorum muros perfodiebant, vel arietibus quassabant, alia obsidione capiebant; captaque deprædabantur, & ditiores cives in sua latibula abducebant, ut pretio sese illi redimerent. Et abdicato jam piratarum nomine, spolia ista *militiæ* adpellabant *mercedem*. Opifices quoque vinctos habebant; & non desinebant materiam lignorum, ferri, ærisque, congerere. Nam lucri studio incitati, & certi permanere in eo vitæ genere, jamque se cum regibus & tyrannis & magnis exercitibus conferentes, & inexpugnabiles se rati si coirent in unum, naves & omne armorum genus sedulo fabricabantur. Id maxime fiebat in *Cilicia*, quæ *Aspera* cognominatur; quam *commune omnium receptaculum*, & velut *communia castra*, elegerant. Et *habebant* quidem *passim castella*, *arces*, *desertas insulas*, stationesque occultas navium; sed potissi-

τήνδε τὴν Κιλικίαν, τραχεῖάν τε καὶ ἀλίμενον οὖσαν, καὶ κορυφαῖς μεγάλαις ἐξέχουσαν. ὅθεν δὴ καὶ πάντες ὀνόματι κοινῷ Κίλικες ἐκαλοῦντο· ἀρξαμένου μὲν ἴσως τοῦ κακοῦ παρὰ τῶν Τραχειωτῶν Κιλίκων, συνεπιλαβόντων δὲ Σύρων τε καὶ Κυπρίων καὶ Παμφύλων καὶ τῶν Ποντικῶν, καὶ σχεδὸν ἁπάντων τῶν ἑῴων ἐθνῶν· οἱ, πολλοῦ καὶ χρονίου σφίσιν ὄντος τοῦ Μιθριδατείου πολέμου, δρᾷν τι μᾶλλον ἢ πάσχειν αἱρούμενοι, τὴν θάλασσαν ἀντὶ τῆς γῆς ἐπελέγοντο.

A. U. 669 sqq.

XCIII. Ὥστε πολλαὶ τάχιστα αὐτῶν μυριάδες ἦσαν. καὶ οὐ μόνης ἔτι τῆς ἑῴας θαλάσσης ἐκράτουν, ἀλλὰ καὶ τῆς ἐντὸς Ἡρακλείων στηλῶν ἁπάσης. Καὶ γάρ τινας ἤδη Ῥωμαίων στρατηγοὺς ναυμαχίᾳ νενικήκεσαν, ἄλλους τε, καὶ τὸν τῆς Σικελίας περὶ αὐτῇ Σικελίᾳ. ἄπλωτά τε ἤδη πάντα ἦν, καὶ ἡ γῆ τῶν ἔργων ἐνδεὴς, διὰ τὴν ἀνεπιμιξίαν. ἥ τε πόλις ἡ Ῥωμαίων ᾔσθετο μάλιστα τοῦ

*Lin. 55. vulgo* τῶν Τραχινίων Κιλ. *quod corrigendum duxi. Ib. sq.* συνεπιλαβόντες, Σύρων *Edd.* συνεπιλαβόντων Σύρων *Reg. A.* συνεπιλαβόντες δὲ Σύρων *Reg. B. L. 57.* τῶν *ante* ἑῴων *caret Reg. B. L. 63.* καὶ, *post* ἀλλὰ, *car. Edd. dedit Aug. L. 67.* ἐπιμιξίαν *Edd.*

mum excurrebant ex hac parte Ciliciæ, aſpera importuoſaque, & altiſſimis adſurgente montium cacuminibus: unde omnes communi nomine *Cilices* adpellabantur. Ac fortaſſe initium in *Aſpera Cilicia*, ceperat illud malum; eamdem vero in ſocietatem coierant Syri, Cyprii, Pamphylii, Pontici, & ex omnibus fere Orientalibus populis homines, qui *propter diuturnitatem belli Mithridatici*, inferre damna, quam perpeti, malentes, mari terram mutarunt.

93. Ita factum, ut breviſſimo tempore *multæ piratarum myriades* exortæ ſint. Neque vero illud ſolum mare, quod Orientis adluit oras, in ſua habuerunt poteſtate; ſed univerſum, quam late patet uſque ad Herculis columnas. Jamque & prætores Romanos aliquot *vicerunt* navalibus præliis, & in his *prætorem Siciliæ* ad ipſam Siciliæ oram. Neque ullum mare jam tuto poterat navigari, & agri propter interrupta commercia inculti jacebant. Et ipſa quoque *urbs Roma* maxime *perſentiſcebat* illud *incommodum*;

*A. U. 669 sqq.*

κακοῦ, τῶν τε ὑπηκόων σφίσι καμνόντων, καὶ αὐτοὶ διὰ πλῆθος ἴδιον ἐπιπόνως λιμώττοντες. Τὸ δ᾽ ἔργον αὐτοῖς ἐφαίνετο μέγα καὶ δυσχερὲς, ἐξελεῖν τοσάδε στρατόπεδα ἀνδρῶν ναυτικῶν, μεμερισμένα μὲν ἐς πᾶσαν ἐν κύκλῳ γῆν καὶ θάλασσαν, κοῦφα δὲ ταῖς κατασκευαῖς ἐς τὸ ὑποφεύγειν· οὐκ ἐκ πατρίδων ἢ φανερᾶς χώρας ὁρμώμενα, οὐδ᾽ οἰκεῖον οὐδὲν ἢ ἴδιον, ἀλλ᾽ αἰεὶ τὸ προστυχὸν, ἔχοντα. ὥστε πολὺς ὢν ὁ τοῦδε τοῦ πολέμου παράλογος, ἔννομον οὐδὲν ἔχοντος, οὐδὲ βέβαιον, οὐδὲ φανερὸν, ἀμηχανίαν ὁμοῦ καὶ φόβον εἰργάζετο. Μουρήνας τε, ἐγχειρήσας αὐτοῖς, οὐδὲν ἐξείργαστο μέγα· ἀλλ᾽ οὐδὲ Σερουίλιος Ἰσαυρικὸς, ἐπὶ τῷ Μουρήνᾳ. ἀλλ᾽ ἤδη καὶ τῆς γῆς τῆς Ἰταλικῆς τοῖς παραλίοις, ἀμφί τε τὸ Βρεντέσιον καὶ τὴν Τυῤῥηνίαν, ἐπέβαινον οἱ λῃσταὶ σὺν καταφρονήσει· καὶ γύναια παροδεύοντα τῶν εὐπατριδῶν, καὶ δύο στρατηγοὺς αὐτοῖς σημείοις, συνηρπάκεσαν.

*Lin.* 71. ἀνδρῶν καὶ ναυτικῶν *Edd. Prætuli Aug.* *L.* 73. καὶ οὐκ ἐκ *Edd. Omisi conjunct. cum Aug. Ven. Vat.* *L.* 80. τῆς παραλίης *Edd. ex Reg. A. in quo tamen & ipso veræ lectionis vestigia cernuntur. Ibid. sq.* Βρεντήσιον *Vat.* *L.* 81. Τυῤῥηνίαν ἀνεπέβαινον *Edd. ex Reg. A.* *L.* 82. περιοδεύοντα *Aug. Ven. Cand.* *L.* 83. δύο στρατοὺς *Edd. & MSS. quod emendavi.*

quod & vexabantur ejus provinciæ, & urbana multitudo gravi fame premebatur. Sed magnum opus difficileque adparebat esse, delere tantas navales copias, terra & mari dispertitas circumquaque, atque ita instructas, ut facillime effugere possent; non ex patriis suis aut ex apertis locis excurrentes, nec lares ullos aut quidquam proprium habentes, sed quidquid in manus incideret. Quapropter insolita belli hujus ratio, omnibus legibus soluta, in qua nil certum esset, nil conspicuum, cunctis ob perplexitatem erat formidabilis. Nam nec *Murena*, *prædones* hosce *adgressus*, quidquam effecit memorabile; nec post eum *Servilius Isauricus*. Sed jam contemtim exscendebant etiam in Italiæ maritima, circa Brundusium ac circa Etruriam; abripueruntque exspatiantes aliquot nobiles fœminas, & duos prætores cum ipsis insignibus.

XCIV. Ὧν οὔτε τὴν βλάβην οὔτε τὴν αἰσχύνην ἔτι φέροντες οἱ Ῥωμαῖοι, τὸν τότε σφῶν ἐπὶ δόξης ὄντα μεγίστης Γναῖον Πομπήϊον αἱροῦνται νόμῳ στρατηγὸν ἐπὶ τριετὲς αὐτοκράτορα εἶναι, θαλάσσης τε ἁπάσης, ἣ στηλῶν Ἡρακλείων ἐντός ἐστι, καὶ γῆς ἀπὸ θαλάσσης ἐπὶ σταδίους τετρακοσίους ἄνω. βασιλεῦσί τε καὶ δυνάσταις καὶ ἔθνεσι καὶ πόλεσι πάσαις ἐπέστελλον, ἐς πάντα συλλαμβάνειν τῷ Πομπηΐῳ. καὶ αὐτῷ στρατιὰν καταλέγειν ἔδοσαν, καὶ χρήματα ἀγείρειν. συνέπεμψαν δὲ καὶ παρὰ σφῶν στρατὸν πολὺν ἐκ καταλόγου, καὶ ναῦς ὅσας εἶχον, καὶ χρημάτων ἐς ἑξακισχίλια τάλαντα Ἀττικά. οὕτω μέγα καὶ δυσεργὲς ἡγοῦντο εἶναι, τοσῶνδε κρατῆσαι στρατοπέδων, ἐν τοσῇδε θαλάσσῃ καὶ μυχοῖς τοσοῖσδε διαλανθανόντων τε εὐμαρῶς, καὶ ὑποχωρούντων ῥᾳδίως, καὶ ἐμπιπτόντων αὖθις ἀφανῶς. Ἀνήρ τε οὐδείς πω, πρὸ τοῦ Πομπηΐου, ἐπὶ τοσήνδε ἀρχὴν αἱρεθεὶς ὑπὸ Ῥωμαίων ἐξέπλευσεν. ᾧ στρατιὰ μὲν αὐτίκα ἦν ἐν δυώδεκα μυ- *A. U. 687.*

*Lin.* 86. Γναῖον *adjeci ex Aug. Ven. Vat.* *L.* 88. ἐπὶ, *ante* σταδίους, *adjeci ex Aug. Vat.* *L.* 95. μέγα ἐκ δυσεργὲς *edit.* 1. *L.* 1. δυώδεκα *Edd.*

94. Quas clades ignominiasque Romani non ferentes amplius, *Cn. Pompejum*, cujus tum præ ceteris inclyta fama erat, *lege lata imperatorem creaverunt in triennium*: qui toto mari quod intra columnas Herculis eſt, & in oris maritimis, usque ad quinquagesimum a mari milliarium, summam haberet poteſtatem. Et regibus, dynaſtis, populis, civitatibusque omnibus, per literas mandarunt, ut Pompejum rebus omnibus juvarent. Conſcribere quoque milites ex provinciis, pecuniasque colligere, ei permiſerunt. Et ex civium legionibus magnum exercitum, tum naves quotquot habebant, & numeratæ pecuniæ ſex millia talentorum Atticorum, eidem tradiderunt. Adeo magna res difficilisque viſa erat, tot navales exercitus ſuperare, per tam amplum mare diſperſos, tot ſinuum receſſibus facile ſe occultantes, refugientes expedite, rurſumque ex improviſo irrumpentes. *Nec ullus umquam Romanorum imperator, ante Pompejum, cum tanta poteſtate* profectus eſt. Cui ſtatim exerci-

A. U. 687. ριάσι πεζῶν, καὶ ἱππεῖς τετρακισχίλιοι· νῆες δὲ, σὺν ἡμιολίαις, ἑβδομήκοντα καὶ διακόσιαι. ὑπηρέται δ᾽ ἀπὸ τῆς βουλῆς, οὓς καλοῦσι πρεσβευτὰς, πέντε καὶ εἴκοσιν· οἷς ὁ Πομπήϊος ἐπιδιῄρει τὴν θάλασσαν, καὶ ναῦς ἐδίδου, καὶ ἱππέας ἑκάστῳ, καὶ στρατὸν πεζὸν, καὶ στρατηγίας σημεῖα περικεῖσθαι. ἵνα αὐτοκράτωρ ἐντελὴς οὗ πιστεύοιτο μέρους ἕκαστος ὑπάρχοι· αὐτὸς δ᾽, οἷα δὴ βασιλεὺς βασιλέων, αὐτοὺς περιθέοι καὶ ἐφορῴη μένοντας ἐφ᾽ ὧν ἐτάχθησαν, μήτε μεταδιώκων τοὺς λῃστὰς περιφέροιτο ἐξ ἔργων ἀτελῶν ἔτι ὄντων εἰς ἕτερα, ἀλλ᾽ εἶέν οἱ πανταχόθεν αὐτοῖς ἀπαντῶντές τε, καὶ τὰς ἐς ἀλλήλους διαδρομὰς ἀποκλείοντες.

XCV. Οὕτω διαθεὶς ὁ Πομπήϊος ἅπαντα, ἐπέστησεν Ἰβηρίᾳ μὲν καὶ ταῖς Ἡρακλείοις στήλαις Τιβέριον Νέρωνα καὶ Μάλλιον Τορκουᾶτον· ἀμφὶ δὲ τὴν Λιγυστικήν τε καὶ Κελτικὴν θάλασσαν Μάρκον Πομπώνιον· Λιβύῃ δὲ καὶ Σαρδόνι

*Lin. 2.* τετρακισχιλίων *Aug. Ven. Mendose, ni addas* πλέονες. *L. 7 sq. vocem* ἕκαστος *ponit ante* οὗ πιστεύοιτο *Vat. L. 14.* ἅπαντας *edit. 1. cum quinque nostris MSStis. Retinui emend. H. Steph. L. 15.* Ἡρακλείαις *Edd. L. 16.* Τορκουάτον *Edd.* Τουρκουάτον *MSS. nostri omnes. Ibid.* Λιγυστίνην *Edd. Aug. Prætuli Vat.*

tus fuit CXX. millium peditum, equitum quater mille; navesque, adnumeratis hemioliis, CCLXX. *Administri* vero ex senatorio ordine, quos *Legatos* Romani adpellant, aderant ei viginti quinque: quos per maria distribuit *Pompejus*, datis cuique navibus, equitibus, peditibus, & prætoriis insignibus: ita ut quisque in ea parte, quæ fidei ipsius esset credita, plenam potestatem imperiumque haberet; ipse vero, quasi rex regum, circumcursaret, præesset que singulis, qui in statione sua quisque manerent, ne, dum ipse uno loco persequeretur piratas, in aliam partem distraheretur, nondum absoluta victoria; sed ut essent ubique locorum, qui illis fugientibus occurrerent, prohiberentque ne alii ad alios sese recipere possent.

95. Ita rebus omnibus ordinatis, Hispaniam & fretum Herculeum, *Tib. Neronem* una cum *Manlio Torquato* jussit curare: Gallicum Ligusticumque mare adtribuit *M. Pomponio*:

Σαρδόνι καὶ Κύρνῳ, καὶ ὅσαι πλησίον νῆσοι, Λέντουλόν τε Μαρκελλῖνον, καὶ Πούπλιον Ατίλιον· περὶ δὲ αὐτὴν Ιταλίαν, Λούκιον Γέλλιον, καὶ Γναῖον Λέντουλον. Σικελίαν δὲ καὶ τὸν Ιόνιον ἐφύλασσον αὐτῷ Πλώτιός τε Οὔαρος καὶ Τερέντιος Οὐάῤῥων, μέχρις Ακαρνανίας. Πελοπόννησον δὲ καὶ τὴν Ατlικὴν, ἔτι δ᾽ Εὔβοιαν καὶ Θεσσαλίαν καὶ Μακεδονίαν καὶ Βοιωτίαν, Λούκιος Σισιννᾶς· τὰς δὲ νήσους, καὶ τὸ Αἰγαῖον ἅπαν, καὶ τὸν Ἑλλήσποντον ἐπ᾽ ἐκείνῳ, Λούκιος Λόλλιος· Βιθυνίαν δὲ καὶ Θρᾴκην καὶ τὴν Προποντίδα καὶ τὸ τοῦ Πόντου σlόμα, Πούπλιος Πείσων· Λυκίαν δὲ καὶ Παμφυλίαν καὶ Κύπρον καὶ Φοινίκην, Μέτελλος Νέπως. Ὧδε μὲν αὐτῷ διετετάχαlο οἱ σlρατηγοὶ, ἐπιχειρεῖν τε, καὶ ἀμύνεσθαι, καὶ φυλάσσειν τὰ τεταγμένα, καὶ τοὺς παρ᾽ ἀλλήλων ἐκφεύγοντας ὑπολαμβάνειν· ἵνα μὴ διώκοντες ἀφίσlαιντο μακρὰν, μηδὲ ὡς ἐν δρόμῳ

A. U. 687.

*Lin.* 19. Πόπλιον *Vat.* *Ib.* Attilium *Cand.* *L.* 21. Πλώτιός τε Οὐάρρων *Edd. invit. MSS.* Πλ. τ. Βάῤῥων *Regii, Aug.* Πλ. τ. Βάρων *Vat.* *Cognomen omiſit Cand. non male fortaſſe. Reſtitui* Οὔαρος *cum Gelenio, Urſino & aliis.* *L.* 22. Τερέντιος Οὐάρων *Vat. Reg. A.* Τερ. Βάῤῥων *Ven. (ni hæc lectio Cod. Ven. ad Plotii cognomen referenda.)* *L.* 24. Λούκιος Σιννᾶς *Edd.* Σισινᾶς *Vat.* L. Cinna *Cand.* *L.* 25. ἐπ᾽ *ante* ἐκείνῳ *carent Edd.* *L.* 26. Λούκιος Κούλλιος *Edd.* Λούκιος Λόλιος *Vat.* Λολλιος *dedit Aug.* *Ibid.* τὴν *ad* Προποντ. *adjeci ex Aug.* *L.* 27. Πόπλιος *Vat. & caret* Πείσων. *Ibid. ſq.* Λυκίαν τε *Edd. ex Reg. A. Rectius Reg. B. Aug.* *L.* 28. καὶ Φοινίκην *caret Vat.*

*Pomponio*: Africam cum Sardinia Corſicaque & propinquis inſulis *Lentulo Marcellino* & *P. Atilio*: oram Italiæ *L. Gellio* & *Cn. Lentulo.* Siciliæ cuſtodia & Jonii maris, uſque ad Acarnaniam, *Plotio Varo* & *Terentio Varroni* obtigit: *L. Siſennæ* Peloponneſus, Attica, Eubœa, Theſſalia, Macedonia, Bœotia: inſulæ vero & Ægæum mare univerſum cum Helleſponto *L. Lollio*: Bithynia, Thracia, Propontis, & Ponti oſtium, *P. Piſoni*: Lycia denique, Pamphylia, Cyprus & Phœnicia *Metello Nepoti.* Ad hunc modum ab eo diſpoſiti ſunt prætores, qui & impugnarent prædones, & arcerent, & partes ſibi commiſſas defenderent, exciperentque eos qui ab aliis aliunde eſſent exagitati, neque vero perſequendo proveherentur longius, ne veluti in or-

A. U. 687. περιφέροιντο, καὶ χρόνιον εἴη τὸ ἔργον. Αὐτὸς δ᾽ ἅπαντας ἐπέπλει· καὶ τὰ ἐς δύσιν πρῶτα ἡμέραις τεσσαράκοντα ἐπιδὼν, ἐς Ῥώμην παρῆλθεν. ὅθεν ἐς Βρεντέσιον, καὶ ἐκ Βρεντεσίου τοσῷδε διαστήματι τὴν ἕω περιπλεύσας, ἐξέπληξεν ἅπαντας τάχει τε ἐπίπλου, καὶ μεγέθει παρασκευῆς, καὶ φόβῳ δόξης. ὥστε τοὺς λῃστὰς, ἐλπίσαντας αὐτῷ προεπιχειρήσειν, ἢ οὐκ εὐμαρές γε τὸ κατὰ σφῶν ἔργον ἀποδείξειν, δείσαντας εὐθὺς, τῶν τε πόλεων ἃς ἐπολιόρκουν ἐξαναχθῆναι, καὶ ἐς τὰς συνήθεις ἄκρας καὶ ναυλοχίας ὑποφεύγειν· καὶ Πομπηΐῳ τὴν μὲν θάλασσαν αὐτίκα ἀμαχεὶ κεκαθάρθαι, τοὺς δὲ λῃστὰς ὑπὸ τῶν στρατηγῶν ἁλίσκεσθαι πανταχοῦ κατὰ μέρη.

XCVI. Αὐτὸς δὲ ἐς Κιλικίαν ἠπείγετο, μετὰ ποικίλου στρατοῦ καὶ μηχανημάτων πολλῶν· ἐλπίσας, παντοίας μάχης καὶ πολιορκίας αὐτῷ δεήσειν ἐπὶ ἄκρας ἀποκρήμνους. οὐδενὸς δὲ ἐδέησε. τὸ γὰρ κλέος αὐτοῦ καὶ τὴν

*Lin.* 33. εἴη ἔργον *Edd. invit. MSS.* *L.* 34. *pro* πρῶτα *dant* πάντα *Edd.* *L.* 40. *hypostigmen ante, non post,* εὐθὺς *ponunt edit.* 2. 3. *non incommode; sed invitis MSS.* *Ibid.* τε, *ad* τῶν, *ex Aug. adjeci.*

bem circumducerentur, & res protraheretur in longum. *Pompejus* ipse universos inspectabat; & perlustrato intra dies quadraginta tractu occidentali, Romam in transcursu rediit, atque inde Brundusium venit. Hinc pari temporis spatio per orientem circumvectus, perculit omnes celeritate adventus, & adparatus magnitudine, & celebritatis suæ terrore. Adeo ut piratæ, qui videbantur ultro lacessituri, aut certe difficilem ei reddituri victoriam, præ metu mox oppugnationes urbium relinquerent, & in suas arces & consueta latibula se reciperent. Ita *maria* statim sine certamine *a Pompejo purgata; piratæ* vero a prætoribus ubique, in sua cujusque provincia, *in potestatem sunt redacti.*

96. Ipse Pompejus *in Ciliciam* properavit, cum variis militum copiis, & machinarum magno numero; existimans, omni genere pugnandi opus futurum, arcesque eorum in rupibus sitas modis omnibus fore oppugnandas. Sed nihil his habuit opus. Sola enim celebritas nominis & amplitudo adparatus ita præ-

A. U. 687.

παρασκευὴν οἱ λῃσταὶ καταπλαγέντες, καὶ ἐλπίσαντες, εἰ μὴ διὰ μάχης ἔλθοιεν, τεύξεσθαι Φιλανθρώπου, πρῶτοι μὲν οἱ Κράγον καὶ Αντίκραγον εἶχον, Φρούρια μέγιστα, μετὰ δ᾽ ἐκείνους, οἱ ὄρειοι Κίλικες, καὶ ἐφεξῆς ἅπαντες, ἑαυτοὺς ἐνεχείρισαν· ὅπλα τε ὁμοῦ πολλὰ, τὰ μὲν ἕτοιμα, τὰ δὲ χαλκευόμενα, παρέδωκαν· καὶ ναῦς, τὰς μὲν ἔτι πηγνυμένας, τὰς δ᾽ ἤδη πλεούσας· χαλκόν τε καὶ σίδηρον ἐς ταῦτα συνενηνεγμένον, καὶ ὀθόνας, καὶ κάλως, καὶ ὕλην ποικίλην· αἰχμαλώτων τε πλῆθος, τῶν μὲν ἐπὶ λύτροις, τῶν δὲ ἐπὶ ἔργοις δεδεμένων. ὧν ὁ Πομπήιος τὴν μὲν ὕλην ἐνέπρησε, τὰς δὲ ναῦς ἀπήγαγε. τοὺς δ᾽ αἰχμαλώτους ἐς τὰς πατρίδας ἀφῆκε· καὶ πολλοὶ κενοτάφια σφῶν κατέλαβον ὡς ἐπὶ νεκροῖς γενόμενα. Τοὺς δὲ πειρατὰς, οἳ μάλιστα ἐδόκουν οὐχ ὑπὸ μοχθηρίας, ἀλλ᾽ ἀπορίᾳ βίου διὰ τὸν πόλεμον, ἐπὶ ταῦτα ἐλθεῖν, ἐς Μαλλὸν καὶ Ἄδανα καὶ Ἐπιφάνειαν, ἢ εἴ τι ἄλλο πόλισμα ἔρημον ἢ ὀλιγάνθρωπον ἦν τῆσδε τῆς Τρα-

*Lin.* 50. πρῶτον μὲν *Edd.* *L.* 56. συνηνεγμένον *Edd.* *Prætuli Aug. Vat.* *L.* 60. ἐς πατρίδας *Edd. ex Reg. A.* τὰς *ded. Reg. B. Aug.* *L.* 61. καινοτάφια *edit.* 1. *L.* 65. ἄλλο πόλισμα ἕτερον ἔρημον *Edd.*

dones perterruerat, ut, ſperantes clementiorem victorem, ſi abſtinerent a certamine, primum hi qui *Cragum* & *Anticragum* tenebant, *caſtella* maxima, deinde montani *Cilices*, denique *omnes*, alii poſt alios, *ſe ejus fidei permitterent.* Simulque magnam vim armorum vel jam perfectorum, vel in fabricis inchoatorum, præterea naves omnes, alias necdum perfectas in navalibus, alias jam navigantes, tum æs ferrumque in tales uſus comportatum, & lintea, funes, variamque materiam, denique captivorum multitudinem, vinctorum ut vel pretio ſe redimerent, vel operarentur in ergaſtulis, tradiderunt victori. *Pompejus* materiam incendit, & naves abduxit, captivos in patrias dimiſit: quorum multi invenerunt domi ſua *cenotaphia*, tamquam mortuis poſita. Ex piratis vero eos, qui præ ceteris videbantur non ſuapte malitia, ſed amiſſis bello facultatibus, ad illud vitæ genus deveniſſe, *Mallum*, *Adana*, *Epiphaneam*, & ſi quod erat aliud infrequens oppidum *Aſperæ Ciliciæ*, habi-

A. U. 687. χείας Κιλικίας, συνῴκιζε· τοὺς δέ τινας αὐτῶν καὶ ἐς Δύμην τῆς Ἀχαΐας ἐξέπεμπεν. Ὧδε μὲν ὁ λῃστρικὸς πόλεμος, χαλεπώτατος ἔσεσθαι νομισθεὶς, ὀλιγήμερος ἐγένετο τῷ Πομπηΐῳ· καὶ ναῦς ἔλαβε, τὰς μὲν ἁλούσας, μίαν καὶ ἑβδομήκοντα, τὰς δὲ ὑπ' αὐτῶν παραδοθείσας, ἓξ καὶ τριακοσίας. πόλεις δὲ καὶ φρούρια, καὶ ὁρμητήρια ἄλλα αὐτῶν, ἐς εἴκοσι καὶ ἑκατόν. λῃσταὶ δ' ἀνηρέθησαν ἐν ταῖς μάχαις ἀμφὶ τοὺς μυρίους.

XCVII. Ἐπὶ δὴ τούτοις, ὀξέως τε οὕτω καὶ παραδόξως γενομένοις, οἱ Ῥωμαῖοι, τὸν Πομπήϊον ἐπὶ μέγα ἐπαίροντες, ἔτι ὄντα περὶ Κιλικίαν, εἵλοντο τοῦ πρὸς Μιθριδάτην πολέμου στρατηγὸν, ἐπὶ τῆς ὁμοίας ἐξουσίας αὐτοκράτορα ὄντα, ὅπη θέλοι, συντίθεσθαί τε καὶ πολεμεῖν, καὶ φίλους ἢ πολεμίους Ῥωμαίοις οὓς δοκιμάσειε ποιεῖσθαι· στρατιᾶς τε πάσης, ὅση πέραν ἐστὶ τῆς Ἰταλίας, ἄρχειν ἔδωκαν. ἅπερ οὐδενί πω παντάπασι πρὸ τοῦδε ὁμοῦ πάντα ἐδόθη. Καὶ ἴσως αὐτὸν καὶ διὰ τάδε Μέγαν

*Lin.* 70. δύο καὶ ἑβδ. *Edd. Prætuli Aug. Vat.* *L.* 74. ἐπειδὴ τούτοις *edit.* 1. *Aug.* ἐπὶ δὲ *edit.* 2. 3. *ex emendat. H. Steph. quam ex parte ſecutus ſum.* *L.* 75. ἐπὶ *ante* μέγα *carent Edd.* *L.* 81. ἀρχὴν ἔδωκ. *Edd. ex Reg. A.*

tare juſſit: nonnullos etiam ex his *Dymen* miſit in Achajam. Atque ita *Piraticum Bellum,* quod difficillimum fore putabatur, *intra paucos dies per Pompejum confectum* eſt; in quo naves expugnatæ ſunt LXXI, deditæ trecentæ & ſex; oppida, caſtella, aliaque prædonum receptacula capta centum & viginti: ex piratis autem, qui repugnare conati erant, cæſa ſunt circiter decem millia.

97. POST hanc igitur tam celerem, & opinione omnium feliciorem victoriam, *ſenatus populuſque Romanus* POMPEJUM, magnifice honoratum, dum adhuc in Cilicia verſatur, *imperatorem deſignavit ad bellum Mithridaticum;* prorogata illi eadem poteſtate, bellum pro arbitratu ſuo ſive inferendi ſive componendi, hoſteſque judicandi, vel adſciſcendi ſocios, prout quemque dignum exiſtimaſſet. Simul eidem *datum imperium in omnes exercitus, quotquot eſſent extra Italiam.* Quæ omnia ſimul numquam cuiquam uni ante hunc contulerat populus Romanus. Ac for-

στρατηγὸν ὀνομάζουσιν. ὁ γάρ τοι πόλεμος ὁ τοῦ Μιθριδάτου καὶ ὑπὸ τῶν προτέρων στρατηγῶν ἐξήνυστο ἤδη. Πομπήϊος μὲν οὖν, εὐθὺς ἐκ τῆς Ἀσίας στρατὸν ἀγείρας, μετεστρατοπέδευεν ἐπὶ τοὺς ὅρους τοῦ Μιθριδάτου. Μιθριδάτῃ δὲ ἦν ἐπίλεκτος οἰκεῖος στρατὸς, τρισμύριοι πεζοὶ, καὶ ἱππεῖς τρισχίλιοι· καὶ προὐκάθητο τῆς χώρας. ἄρτι δ' αὐτὴν Λουκούλλου διεφθαρκότος, ἀπόρως εἶχεν ἀγορᾶς· ὅθεν αὐτομολίαις ἐπετίθεντο πολλοί. καὶ τούσδε μὲν ὁ Μιθριδάτης ἐρευνώμενος ἐκρήμνη, καὶ ὀφθαλμοὺς ἀνώρυττε, καὶ ἔκαιε. καὶ τὰ μὲν τῶν αὐτομολιῶν ἧσσον ἠνώχλει, διὰ φόβον τῶν κολάσεων· ἐπέτριβε δ' ἡ ἀπορία.

A. U. 687.

XCVIII. Πρέσβεις οὖν ἐς Πομπήϊον πέμψας, ἠξίου μαθεῖν, τίς ἂν εἴη τοῦ πολέμου διάλυσις. Ὁ δ', ἐὰν τοὺς αὐτομόλους ἡμῖν παραδῷς, ἔφη, καὶ σεαυτὸν ἡμῖν ἐπιτρέψῃς. Ὧν ὁ Μιθριδάτης πυθόμενος, τοῖς αὐτομόλοις

*Lin.* 85. ἐγείρας *Aug.* *L.* 91. ἐκρήμνει *Edd. Prætuli Aug.* *L.* 92. τῶν *ad* αὐτομολ. *adj. ex Aug. Ven.* *L.* 93. ἐπετρίβετο δ' ἀπορίᾳ *Edd. invitis MSS.* δι' ἀπορίας *Appendix edit.* 1. *ex ingenio puto C. Steph.* ἐπετρίβετο δ' ἡ ἀπορία *Regii*, *Aug.* Inedia ſtimulabat *Cand. ex quo* ἐπέτριβε *repoſui.*

taſſe hanc quoque ob cauſam *Magnum Pompejum* nominant: nam cum Mithridate quidem jam ante ab aliis quoque imperatoribus fuerat debellatum. *Pompejus* igitur, ſtatim ex Aſia contractis copiis, *contra Mithridatem profectus eſt.* Habebat ille tunc e propria ditione lectiſſimum exercitum, XXX. M. peditum, trium millium equitum; quibuſcum in ipſo regni ſui confinio conſederat. Sed ibi, quoniam nuper eam regionem Lucullus vaſtaverat, propter inopiam commeatuum, multa fiebant transfugia. Et in deprehenſos quidem atrocibus rex ſæviebat ſuppliciis, quos effoſſis oculis in crucem agebat, & vivis adhuc ignem ſubjiciebat. Quo metu abſterrebat quidem multos, ne transfugerent; at nihilo minus adterebat eum inopia.

98. Igitur miſſis ad *Pompejum* legatis, rogabat *Mithridates*, *quibus poſſet conditionibus impetrare pacem.* Reſpondit ille; „Si transfugas tradideris, & te ipſum fidei noſtræ commiſeris." Rex id ad transfugas retulit. Quos

A. U. τὸ περὶ αὐτῶν ἔφρασε· καὶ δεδιότας ὁρῶν, ὤμοσεν ὅτι
687. οἱ τὰ πρὸς Ῥωμαίους ἐστὶν ἄσπονδα διὰ τὴν πλεονεξίαν αὐτῶν, καὶ οὐκ ἐκδώσει τινὰ, οὐδὲ πράξει ποτὲ ὃ μὴ κοινῇ πᾶσι συνοίσει. ὁ μὲν δὴ ὧδε εἶπεν. Ὁ δὲ Πομπήϊος, ἐνέδραν ποι καθεὶς ἱππέων, ἑτέρους ἔπεμπεν, ἐκ φανεροῦ τοῖς προφύλαξι τοῦ βασιλέως ἐνοχλεῖν· καὶ εἴρητο αὐτοῖς, ἐρεθίζειν καὶ ὑποφεύγειν, ὥσπερ ἡττωμένους. ἕς τε περ οἱ ἐκ τῆς ἐνέδρας περιλαβόντες αὐτοὺς ἐτρέψαντο. καὶ φεύγουσι τάχ' ἂν καὶ ἐς τὸ στρατόπεδον συνεισεπήδησαν, εἰ μὴ δείσας ὁ βασιλεὺς προήγαγε τὸ πεζόν. οἱ δ' ἀπεχώρουν. Καὶ τέλος ἦν τοῦτο τῇ πρώτῃ Πομπηΐου καὶ Μιθριδάτου πείρᾳ ἐς ἀλλήλους καὶ ἱππομαχίᾳ.

688. XCIX. Ἐνοχλούμενος δ' ὑπὸ τῆς ἀπορίας ὁ βασιλεὺς, ἄκων ὑπεχώρει, καὶ ἐσεδέχετο Πομπήϊον ἐς τὴν ἑαυτοῦ· ἐλπίζων, καθήμενον ἐν τῇδε τῇ διεφθαρμένῃ κακοπαθήσειν. Ὁ δὲ ἀγορὰν μὲν ἐπακτὸν ἐκ τῶν ὄπισθεν εἶχε·

*Lin.* 98. τὸ περὶ αὐτοῦ *edit.* 1. τὸ παρ' αὐτοῦ *edit.* 2. 3. *L.* 3. ἐνέδρας ποι *Edd. invit. MSS.* *L.* 5. *Intercidiſſe nonnihil poſt* ἡττωμένους *videtur, quod & Muſgrav. monuit. Sententia facile ſupplenda.* *L.* 6. ἐκ, *ad* τῆς ἐνέδρας, *carent Edd. cum Reg. A.* *L.* 14. ἐπακλὴν *edit.* 2. 3. *invitis MSS.*

quum videret territos; juravit, *ſe numquam cum Romanis pacem habiturum, propter ipſorum avaritiam*; nec traditurum eis quemquam, nec facturum quidquam niſi in communem utilitatem omnium. At *Pompejus*, equitibus collocatis in inſidiis, alios miſit qui propalam ſtationes regis laceſſerent; quos juſſit poſt provocationem cedere, quaſi ſuperatos. Idque ita factum: donec hoſtes longius provectos exceperunt hi, qui in inſidiis erant diſpoſiti, & terga vertere coëgerunt. Ac fortaſſe una cum fugientibus in caſtra quoque irrupiſſent victores; ni rex, hoc ipſum metuens, produxiſſet pedites: ad quorum conſpectum illi retroceſſerunt. Hæc fuit *prima* inter partes *pugna*, equeſtribus copiis tentata.

99. *Mithridates* deinde, preſſus inopia, invitus pedem referens, *Pompejum* intra fines regni ſui recepit; ſperans, in regione vaſtata morantem multa ſenſurum incommoda. Sed *Pompejus* poſt ſe commeatus deferri juſſerat: progreſſuſque ita, ut ab oriente eſſet

A. U. 688.

περιελθὼν δὲ τὰ πρὸς ἕω τοῦ Μιθριδάτου, καὶ Φρούρια αὐτῷ καὶ στρατόπεδα πολλὰ ἐς ἑκατὸν καὶ πεντήκοντα σταδίους περιθεὶς, ἀπετάφρευε, τοῦ μὴ σιτολογεῖν αὐτὸν ἔτι εὐμαρῶς. καὶ ὁ βασιλεὺς ἀποταφρεύοντι μὲν οὐκ ἐπετίθετο, εἴθ᾽ ὑπὸ δέους, εἴθ᾽ ὑπὸ ἀνοίας, ἣ πᾶσιν ἐγγίγνεται πλησιαζόντων τῶν κακῶν. κάμνων δ᾽ αὖθις ἐξ ἀπορίας, τὰ ὑποζύγια ὅσα εἶχε κατέκοπτε, τοὺς ἵππους μόνους περιποιούμενος. ἔστε μόλις ἐς πεντήκοντα διαρκέσας ἡμέρας, νυκτὸς ἀπεδίδρασκε σὺν σιωπῇ βαθείᾳ διὰ ὁδῶν δυσχερῶν. ὡς δὲ αὐτὸν μόλις ἡμέρας ὁ Πομπήϊος καταλαβὼν εἴχετο τῶν ὑστάτων, ὁ μὲν, καὶ τότε τῶν Φίλων ἐκτάξαι κελευόντων, οὐκ ἐμάχετο· ἀλλὰ τοῖς ἱππεῦσι μόνοις τοὺς πλησιάζοντας ἀνακόπτων, ἑσπέρας ἐν ὕλαις ηὐλίσατο πυκναῖς. Τῇ δ᾽ ἐπιούσῃ, χωρίον κατέλαβε περίκρημνον, οὗ μία ἐς αὐτὸ ἄνοδος ἦν, καὶ τέσσαρες αὐτὴν σπεῖραι προὐΦύλασσον. ἀντεΦύλασσον δὲ καὶ Ῥωμαῖοι, μὴ διαΦυγεῖν Μιθριδάτην.

*Lin.* 16. πολλὰ, καὶ ἑκατὸν πεντηκ. *Edd. ex Reg. A.* καὶ *æque ac* ἐς *caret Reg. B. Verum dedit Aug.* *L.* 19. ἀνοίας *in* ἀγνοίας *mutatum voluit Wesseling.* *L.* 30. ἀντεφύλασσον *caret Reg. B.*

Mithridati, vallum XX. fere millium passuum, crebris castellis distinctum, firmisque passim præsidiis custoditum, regi circumdedit, ut difficilem ei frumentationem redderet. Id opus rex non impedivit, sive metu, sive *mentis stupore*, qui *plerumque solet antecedere calamitatem.* Quumque rursum laboraret inopia; quidquid jumentorum habebat, mactavit, equis tantum servatis. Sed ne sic quidem ad quinquagesimum usque diem sufficiente victu, *profugit noctu Mithridates*, magno silentio per vias difficiles. Ac quum *Pompejus*, ægre eum mane adsecutus, extremum lacesseret agmen: rex, hortantibus etiam tum amicis, ut ad prælium instrueret, noluit pugnare; sed, contentus adpropinquantes hostes submovere equitibus, vespere in densissimis sylvis se abdidit. Insequenti die locum occupavit circumquaque rupibus munitum: ad quem quum unicus pateret adscensus, quatuor cohortium præsidio adscensum eum custodivit. Et Romani quoque ex adverso stationem opposuerunt, ne effugeret hostis.

A. U. 688. C. Ἅμα δ' ἡμέρᾳ, τὸν μὲν στρατὸν αὐτῶν ὥπλιζεν ἑκάτερος. οἱ προφύλακες δ' ἀλλήλων κατὰ τὸ πρανὲς ἀπεπειρῶντο· καί τινες ἱππεῖς τοῦ Μιθριδάτου χωρίς τε τῶν ἵππων καὶ χωρὶς ἐπαγγέλματος ἐβοήθουν τοῖς σφετέροις προφύλαξι. πλειόνων δὲ σφίσι Ῥωμαίων ἱππέων ἐπιόντων, οἱ ἄνιπποι τῶν Μιθριδατείων οἵδε ἀθρόως ἐς τὸ στρατόπεδον ἀνεπήδων, ἀναβησόμενοί τε τοὺς ἵππους, καὶ ἐξ ἴσου τοῖς ἐπιοῦσι Ῥωμαίοις συνοισόμενοι. Κατιδόντες δ' αὐτοὺς οἱ ἄνω ἔτι ὁπλιζόμενοι σὺν δρόμῳ καὶ βοῇ προσθέοντας, καὶ τὸ γιγνόμενον οὐκ εἰδότες, ἀλλὰ φεύγειν αὐτοὺς ὑπολαβόντες· ὡς εἰλημμένου σφῶν ἤδη καθ' ἑκάτερα τοῦ στρατοπέδου, τὰ ὅπλα μεθέντες ἔφευγον. ἀδιεξόδου δ' ὄντος τοῦ χωρίου, προσέπταιον ἀλλήλοις ἀναστρεφόμενοι, μέχρι καθήλαντο κατὰ τῶν κρημνῶν. Οὕτω μὲν ἡ στρατιὰ τῷ Μιθριδάτῃ, διὰ προπέτειαν τῶν ἄνευ προστάγματος τοῖς προμάχοις ἐπικουρεῖν ἑλομένων θορυβηθεῖσα, διέφθαρτο. καὶ τὸ λοιπὸν ἔργον εὔκολον ἦν τῷ Πομπηΐῳ, κλείνοντι καὶ συλλαμβάνοντι ἀνόπλους ἔτι,

*Lin.* 32. στρατὸν αὐτῶν *Edd. invitis MSS.* *L.* 41. προθέοντας *Edd.* περιθέοντας *legiſſe videtur Cand.* *L.* 42 *ſq.* καθ' ἑκάτερον *Reg. B.*

100. Hinc prima luce utrique copias ſuas arma capere juſſerunt. Progreſſi autem utrimque ſtationarii velitabantur per declivia; & nonnulli etiam equites regii, ſine equis, & injuſſu præfectorum, adcurrebant ad opem ſtationariis ſuis ferendam. In quos ubi complures Romanorum equites irruerunt; regii, equis carentes, uno agmine caſtra curſu petebant, ut conſcenſis equis æquo Marte cum Romanis confligerent. Eos ita cum clamore curſuque irruentes conſpicati e ſuperiore loco qui adhuc armabantur; rem non intelligentes, & fugere illos rati; protinus, velut jam captis ab altera hac parte caſtris, arma projiciunt fugamque capeſſunt. Quum autem non pateret exitus, converſi impingebant in ſe invicem, donec per prærupta deſilirent. Atque ita *Mithridatis exercitus periit*, propter temeritatem eorum, qui, dum injuſſi ſtationariis ſuis ſuccurrere volunt, terrorem tumultumque excitaverunt. Reliquum facile fuit *Pompejo* conficere, cædenti prehendentique nondum ar-

καὶ ἐν περικρήμνῳ συγκεκλεισμένους. καὶ ἀνῃρέθησαν ἐς μυρίους, καὶ τὸ στρατόπεδον ὅλῃ τῇ παρασκευῇ κατελήφθη. *A. U.* 688.

CI. Μιθριδάτης δὲ, μετὰ τῶν ὑπασπιστῶν μόνων ὠσάμενος ἐς τὰ κατάκρημνα, καὶ διαφυγὼν, ἐνέτυχέ τισιν ἱππεῦσι μισθοφόροις, καὶ πεζοῖς ὡς τρισχιλίοις, οἳ εὐθὺς αὐτῷ συνείποντο ἐς Σινόρηγα φρούριον, ἔνθα αὐτῷ χρήματα πολλὰ σεσώρευτο· καὶ δωρεὰν καὶ μισθὸν ἐνιαυτοῦ τοῖς συμφυγοῦσι διέδωκε. Φέρων δ' ἐς ἑξακισχίλια τάλαντα, ἐπὶ τὰς τοῦ Εὐφράτου πηγὰς ἠπείγετο, ὡς ἐκεῖθεν ἐς Κόλχους περάσων. δρόμῳ δ' ἀπαύστῳ χρώμενος, τὸν μὲν Εὐφράτην ὑπερῆλθεν ἡμέρᾳ μάλιστα τετάρτῃ. τρισὶ δ' ἄλλαις καθιστάμενος καὶ ὁπλίζων τοὺς συνόντας ἢ προσιόντας, ἐς τὴν Χωτηνὴν Αρμενίαν ἐνέβαλεν· ἔνθα Χωτηνοὺς μὲν καὶ Ἴβηρας, κωλύοντας αὐτὸν βέλεσι καὶ σφενδόναις, ἐλαύνων, διῆλθεν ἐπὶ τὸν Ἄψαρον ποταμόν. Ἴβηρας δὲ τοὺς ἐν Ἀσίᾳ οἱ μὲν προγόνους, οἱ δ' ἀποίκους, ἡγοῦνται τῶν Εὐρωπαίων Ἰβήρων, οἱ δὲ μόνον ὁμωνύμους·

*Lin.* 51 *sq.* κατελείφθη *edit.* 1. *L.* 53. μόνων *caret Reg. B.* *L.* 55 *sq.* οἳ αὐτῷ εὐθὺς *Edd.*

matos, & prærupto loco conclusos. Cæsa sunt ferme decem millia; & castra capta cum omni adparatu.

101. *Mithridates cum solis satellitibus* per prærupta *elapsus*, in fuga incidit in equites nonnullos mercenarios, & peditum circiter tria millia; qui eum statim comitati sunt in *castellum Sinoregem*, ubi multum pecuniæ coacervaverat. Inde mox, muneribus datis & annuo stipendio numerato fugæ comitibus, ablatisque ferme sex millibus talentorum, ad *fontes Euphratis* properavit, *Colchos* porro petiturus. Et quum nusquam intermitteret cursum, die quarto Euphratem transiit. Per triduum deinde dispositis & armatis his, qui eum comitati erant vel deinceps accesserant, *Chotenen* ingressus est, *Armeniæ* præfecturam; ubi Chotenos Iberosque, missilibus ac glandibus iter impedire conatos, propulit, & ad *Apsarum fluvium* pervenit. *Iberos* illos *Asiaticos* quidam putant colonos Iberorum Europæorum; quidam contra, hos ab illis derivant: alii nomen tantum utrisque

A. U. 688. ἔθος γὰρ οὐδὲν ἦν ὅμοιον, ἡ γλῶσσα. Μιθριδάτης δ' ἐν Διοσκούροις χειμάζων, ἥν τινα πόλιν οἱ Κόλχοι σύμβολον ἡγοῦνται τῆς Διοσκούρων σὺν Ἀργοναύταις ἐπιδημίας) οὐδὲν σμικρὸν, οὐδ' οἷον ἐν φυγῇ, διενοεῖτο· ἀλλὰ τὸν Πόντον ὅλον ἐν κύκλῳ, καὶ Σκύθας ἐπὶ τῷ Πόντῳ, καὶ τὴν Μαιῶτιδα λίμνην ὑπερελθὼν, ἐς Βόσπορον ἐμβαλεῖν· τήν τε Μαχάρους τοῦ παιδὸς ἀρχὴν, ἀχαρίστου περὶ αὐτὸν γενομένου, παραλαβὼν, αὖθις ἐκ μετώπου Ῥωμαίοις γενέσθαι, καὶ πολεμεῖν ἐκ τῆς Εὐρώπης οὖσιν ἐν τῇ Ἀσίᾳ, τὸν Πόρον ἐν μέσῳ θέμενος· ὃν κληθῆναι νομίζουσι Βόσπορον, Ἰοῦς διανηξαμένης, ὅτε βοῦς γενομένη κατὰ ζηλοτυπίαν Ἥρας ἔφευγεν.

689. CII. Ἐς τοσοῦτον παραδοξολογίας ἐπειγόμενος ὁ Μιθριδάτης, ἐφικέσθαι ὅμως ἐπενόει· καὶ διώδευεν ἔθνη Σκυθικὰ καὶ πολεμικὰ καὶ ἀλλότρια, πείθων, ἢ βιαζόμενος. Οὕτω, καὶ φεύγων καὶ ἀτυχῶν, αἰδέσιμος ἔτι καὶ φοβερὸς ἦν. Ἡνιόχους μὲν οὖν, δεχομένους αὐτὸν, παρώδευεν.

*Lin.* 69. σύμβουλον *Reg. A. Aug. male.* *L.* 70. ἐπιδημίας *caret edit.* 3. *L.* 74. ἀχαρίστου τε περὶ *Edd.* *L.* 77. κληθῆναι τινὲς νομίζουσι *Edd. & Cand.* τινὲς *non agnoscunt Aug. Vat.* *L.* 80. τοσοῦτο *Aug. Ven.* *L.* 81. διώδευσεν *Edd. ex Reg. B.* *L.* 84. παρώδευσεν *Edd. ex Reg. B.*

commune statuunt, quum nec in lingua sit simile quidquam, nec in moribus. *Mithridates* dein *hibernans Dioscuriade in Colchis*, (quam urbem Colchi *monumentum* putant *peregrinationis Dioscurorum cum Argonautis*,) nihil mediocre, aut quod profugum deceret, cogitabat: sed, perlustrata in circuitu ora Pontica, per Scythicas inde gentes, & circum Mæotidem Paludem *pervadere in Bosporum*; & occupato regno *Macharis*, ingrati filii, a fronte rursus bellum ex Europa constituit inferre Romanis, Asiam tenentibus; quæ ibi ab Europa interjecto *freto* illo dirimitur, *quod a bove nominatum putatur*, in quam mutata *Jo*, *Junonis zelotypiam fugiens*, illac transnaverat.

102. Hæc quantumvis nova & parum probabilia consilia exsequi tamen ausus *Mithridates*, *per Scythicas gentes*, bellicosas & alienas, partim vi, partim gratia, *viam sibi paravit:* adeo, fugiens etiam calamitosusque, & reverendus etiam tunc erat & terribilis. Et *Heniochos* quidem,

Ἀχαιοὺς δ᾽ ἐτρέψατο διώκων· οὓς, ἀπὸ Τροίας ἐπανιόντας, φασὶν, ἐς τὸν Πόντον ὑπὸ χειμῶνος ἐκπεσεῖν, καὶ πολλὰ παθεῖν, ὡς Ἕλληνας, ὑπὸ βαρβάρων· πέμψαντας δ᾽ ἐπὶ ναῦς ἐς τὰς πατρίδας, καὶ ὑπεροφθέντας, μηνίσαι τῷ Ἑλληνικῷ γένει, καὶ Σκυθικῶς ὅσους ἕλοιεν Ἑλλήνων καταθύειν, πρῶτα μὲν ἅπαντας ὑπὸ ὀργῆς· σὺν χρόνῳ δὲ, τοὺς καλλίστους αὐτῶν μόνους· μετὰ δὲ, τοὺς κληρουμένους. καὶ τάδε μὲν περὶ Ἀχαιῶν τῶν Σκυθικῶν. Ὁ δὲ Μιθριδάτης, ἐς τὴν Μαιῶτιν ἐμβαλὼν, ἧς εἰσι πολλοὶ δυνάσται· πάντων αὐτὸν κατὰ κλέος ἔργων τε καὶ ἀρχῆς καὶ δυνάμεως, ἔτι οἱ παρούσης ἀξιολόγου, δεχομένων τε καὶ παραπεμπόντων, καὶ δῶρα πολλὰ φερόντων καὶ κομιζομένων ἕτερα· ὅδε καὶ συμμαχίαν αὐτοῖς ἐτίθετο, ἐπινοῶν ἕτερα καινότερα· διὰ Θρᾴκης ἐς Μακεδονίαν, καὶ διὰ Μακεδόνων ἐς Παίονας ἐμβαλὼν, ὑπερελθεῖν εἰς τὴν Ἰταλίαν τὰ Ἄλπεια ὄρη· γάμους τε θυγατέρων ἐπὶ

A. U. 689.

*Lin.* 89. Σκυθικῶν *edit.* 1. *Vocem omisit Vat.* *L.* 90. πρῶτον *Edd. ex Reg. A.* *L.* 94 *sqq.* ἔργων τε καὶ παραπεμπόντων *Aug. & caret interjectis.* *L.* 97. ὁ δὲ καὶ *edit.* 1. *Aug. Recte fortasse: sed sic in praecedd. desiderabitur nonnihil, quod phrasin absolvat.*

libenter exceptus, transivit. *Achaeos* vero, obsistere ausos, fugavit: quos, ajunt, a Troja redeuntes, in Pontum actos tempestatibus, & ibi, ut Graecos, multa perpessos a barbaris: quumque ad patrias civitates misissent, qui naves ab illis peterent; repulsam passos, tantum odium concepisse in Graecum genus, ut, si quos *Graecos* in potestatem suam redegissent, eos, Scythico more, *mactarent pro victimis;* initio quidem, fervente ira, cunctos nullo discrimine; procedente vero tempore, pulcherrimum quemque; postremo, sorte ductos. Haec *de Achais Scythicis* dicta sunto. Ceterum *Mithridates* ingressus *regiones Maeoticas*, multis subditas regulis, ob famam rerum gestarum regnique & potentiae, quae etiam tum non contemnenda ei supererat, ab omnibus hospitaliter exceptus, deductusque, multa dona dedit recepitque. Et novum tunc ac magis etiam mirum consilium animo volvens, per Thraciam, & inde per Macedoniam, postremoque per Pannoniam, superatis Alpibus, ipsam Italiam ingrediendi; in societatem regulos illos per-

A. U. 689. τῇδε τῇ συμμαχίᾳ τοῖς δυνατωτέροις αὐτῶν ἐνηγγύα. Μαχάρης δ᾽ αὐτὸν ὁ παῖς πυνθανόμενος ὁδόν τε τοσαύτην ὀλίγῳ χρόνῳ καὶ ἄγρια ἔθνη, καὶ τὰ καλούμενα Κλεῖθρα Σκυθῶν, οὐδενί πω γεγονότα περατὰ, διοδεῦσαι, πρέσβεις μέν τινας ἐς αὐτὸν ἔπεμπεν ἀπολογησομένους, ὡς ἀνάγκῃ θεραπεύσειε Ῥωμαίους. ὀργὴν δὲ ἄκρον εἰδὼς, ἔφευγεν ἐς τὴν ἐν τῷ Πόντῳ Χεῤῥόνησον, τὰς ναῦς διαπρήσας, ἵνα μὴ διώξειεν αὐτὸν ὁ πατήρ. ἑτέρας δ᾽ ἐπιπέμψαντος ἐκείνου, προλαβὼν, ἑαυτὸν ἔκτεινεν. ὁ δὲ Μιθριδάτης αὐτοῦ τῶν φίλων, οὓς μὲν αὐτὸς ἐς τὴν ἀρχὴν ἀπιόντι ἐδεδώκει, πάντας ἔκτεινε· τοὺς δὲ τοῦ παιδὸς, ἀπαθεῖς, ὡς ὑπηρέτας ἰδίου φίλου γενομένους, ἀφῆκε. καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Μιθριδάτην.

688 sq. CIII. Ὁ δὲ Πομπήϊος αὐτὸν εὐθὺς μὲν ἐπὶ τῇ φυγῇ μέχρι Κόλχων ἐδίωξε· μετὰ δὲ τοὺς Κόλχους, οὐδαμοῦ δόξας αὐτὸν οὔτε τὸν Πόντον, οὔτε τὴν Μαιώτιδα λίμνην περιελεύσεσθαι, οὐδὲ μεγάλοις ἔτι πράγμασιν ἐγχειρή-

*Lin.* 5. πέρατα *edit.* 1. *L.* 8. Χεῤῥόννησον *h. l. contra morem dant Edd.* & Χεῤῥόνησον *Aug.* *L.* 9. διωξ. αὐτὸς *Edd.* *L.* 15. εὐθὺς μὲν *carent Edd.* *L.* 16. οὐδαμῆ *Edd. commode, ſed invit. MSS.* οὐδαμᾶ *Regii; ex* οὐδαμοῦ *(ut videtur) deflexum, quod dederunt Aug. Vat.*

xime, ut populare, admiratione perculit Romanos. Venienti obviam frequenter itum eſt: longiſſime a juvenibus; deinceps, ut quorumque ferebat ætas; poſtremo a ſenatu, demirante geſtorum magnificentiam. Nemo enim ad eum diem, tanto hoſte ſublato, tantum ſimul provinciarum imperio adjunxerat, & Romana pomœria uſque ad Euphratem promoverat. Hinc TRIUMPHO *longe* omnium, qui ante eum fuerant, *ſplendidiſſimo* URBEM POMPEJUS eſt INGRESSUS, quinque ſupra triginta annos natus. *Duravit pompa per biduum*; traductis tam multis gentibus, Ponticis, Armeniis, Cappadocibus, Cilicibus, univerſæ Syriæ nationibus, Albanis, Heniochis, Achæis, Scythis, Iberis. In portus adduxit naves DCC integras: in pompa vero traduxit carpenta & fercula cum auro tum aliis varii generis ornamentis onuſta; in his lectum Darii, Hyſtaſpis filii, & ſellam ac ſceptrum ipſius Eupatoris, ejuſdemque effigiem octo cubitorum ex ſolido auro confectam, argenti-

μυριάδας ἑπτακισχιλίας καὶ πεντακοσίας καὶ δέκα. ἁμάξας δὲ ὅπλων ἀπείρους τὸ πλῆθος, καὶ νεῶν ἔμβολα· καὶ πλῆθος αἰχμαλώτων τε καὶ λῃστῶν, οὐδένα δεδεμένον, ἀλλ' ἐς τὰ πάτρια ἐσταλμένους. *A. U.* 692.

CXVII. Αὐτοῦ δὲ τοῦ Πομπηΐου προῆγον ὅσοι τῶν πεπολεμημένων βασιλέων ἡγεμόνες ἢ παῖδες ἢ στρατηγοὶ ἦσαν, οἱ μὲν, αἰχμάλωτοι ὄντες, οἱ δὲ, ἐς ὁμηρείαν δεδομένοι, τριακόσιοι μάλιστα καὶ εἴκοσι καὶ τέσσαρες. ἔνθα δὴ καὶ ὁ Τιγράνους ἦν παῖς Τιγράνης, καὶ πέντε Μιθριδάτου, Ἀρταφέρνης τε καὶ Κῦρος, καὶ Ὀξάθρης, καὶ Δαρεῖος, καὶ Ξέρξης· καὶ θυγατέρες, Ὀρσάβαρίς τε καὶ Εὐπάτρα. παρήγετο δὲ καὶ ὁ Κόλχων σκηπτοῦχος Ὀλθάκης, καὶ Ἰουδαίων βασιλεὺς Ἀριστόβουλος· καὶ οἱ Κιλίκων τύραννοι, καὶ Σκυθῶν βασίλειοι γυναῖκες· καὶ ἡγεμόνες τρεῖς Ἰβήρων, καὶ Ἀλβανῶν δύο, καὶ Μένανδρος ὁ Λαοδικεὺς, ἱππάρχης τοῦ Μιθριδάτου γενόμενος. Τῶν δὲ οὐκ ἀφικομένων εἰκόνες παρεφέροντο, Τιγράνους καὶ Μι-

*Lin.* 27 *sq.* τῶν τε πεπολεμ. *Edd. ex Reg. A.* *L.* 29. ὁμηρίαν *Aug.* *L.* 31. παῖς ἦν *Edd. Pratuli Aug.* *L.* 33. Ορσάμαρις *Aug.* *L.* 38. ἵππαρχος *Edd. ex Reg. A. non male. Expressi Reg. B. & Aug.*

que ſignati ſeptingenties quinquagies ſemel centena millia drachmarum. Plauſtrorum vero quibus arma tranſvecta ſunt, infinitus fuit numerus: tum roſtra navium: poſt hæc multitudo captivorum ac piratarum; quorum nemo vinctus erat, ſed patrio cultu veſtitus quiſque incedebat.

117. *Triumphantis Pompeji currum præcedebant* ſatrapæ vel duces vel filii, quotquot aderant, regum, quibuſcum bellum fuerat geſtum, partim captivi, partim obſides; quorum ſumma fuit ad CCCXXIIII. Inter hos *Tigranes*, filius Tigranis: & *quinque filii Mithridatis*, Artaphernes, Cyrus, Oxathres, Darius, Xerxes: filiæ, Orſabaris & Eupatra. Traductus eſt & Colchorum rex *Olthaces*, & Judæorum *Ariſtobulus*, tyrannique Cilicum, Scytharum item regiæ fœminæ, duces tres Iberorum, Albanorum duo, & Menander Laodicenſis, qui præfectus equitum fuerat Mithridatis. *Abſentium* autem tranſvehebantur *ima-*

A. U. 692. θριδάτου, μαχομένων τε καὶ νικωμένων καὶ φευγόντων. Μιθριδάτου δὲ καὶ ἡ πολιορκία, καὶ ἡ νὺξ ὅτε ἔφευγεν, εἴκαστο, καὶ ἡ σιωπή. ἐπὶ τέλει δὲ ἐδείχθη καὶ ὡς ἀπέθανεν, αἵ τε παρθένοι αἱ συναποθανεῖν αὐτῷ ἑλόμεναι παρεζωγράφηντο, καὶ τῶν προαποθανόντων υἱέων καὶ θυγατέρων ἦσαν γραφαί· θεῶν τε βαρβαρικῶν εἰκόνες, καὶ κόσμοι πάτριοι. Παρεφέρετο δὲ καὶ πίναξ ἐγγεγραμμένων τῶνδε· ΝΗΕΣ ἙΑΛΩΣΑΝ ΧΑΛΚΕΜΒΟΛΟΙ ΟΚΤΑΚΟΣΙΑΙ. ΠΟΛΕΙΣ ΕΚΤΙΣΘΗΣΑΝ ΚΑΠΠΑΔΟΚΩΝ ΟΚΤΩ, ΚΙΛΙΚΩΝ ΔΕ ΚΑΙ ΚΟΙΛΗΣ ΣΥΡΙΑΣ ΕΙΚΟΣΙ· ΠΑΛΑΙΣΤΙΝΗΣ ΔΕ, Ἡ ΝΥΝ ΣΕΛΕΥΚΙΣ. ΒΑΣΙΛΕΙΣ ΕΝΙΚΗΘΗΣΑΝ, ΤΙΓΡΑΝΗΣ, Ὁ ΑΡΜΕΝΙΟΣ· ΑΡΤΩΚΗΣ, ΙΒΗΡ· ΟΡΟΙΖΗΣ, ΑΛΒΑΝΟΣ· ΔΑΡΕΙΟΣ, ΜΗΔΟΣ· ΑΡΕΤΑΣ, ΝΑΒΑΤΑΙΟΣ· ΑΝΤΙΟΧΟΣ, ΚΟΜΜΑΓΗΝΟΣ. Τοσαῦτα μὲν ἐδήλου τὸ διάγραμμα. Αὐτὸς δὲ ὁ Πομπήϊος ἐπὶ ἅρματος ἦν, καὶ τοῦδε λιθοκολλήτου, χλαμύδα ἔχων, ὥς φασιν,

*Lin.* 40 *sq.* μαχομένων -- Μιθριδάτου *incl. omisit Aug.* *L.* 50. *Mendosa procul dubio, ac mutila forsan, verba* ἡ νῦν Σελευκίς. *An* ἡ νῦν Συρίας, *adjecto* Β'. *vel alio quodam numero?* *L.* 51 *sq.* Ορίζης *h. l. Edd. ex Reg. A.* *L.* 52 *sq.* Ναυαταῖος *Edd. & h. l. quoque Aug. Sed* Nabatheus *Cand.*

*gines*, Tigranis & Mithridatis, pugnantium, cedentium, fugientium. Mithridatis vero etiam obsidio, & noctu tacita fuga, expressa erat ac repræsentata; ac postremo quoque mors ejus subjecta spectatorum oculis; adpictæque virgines, mortis ejus sociæ: atque etiam ceterorum regiorum liberorum utriusque sexus, ante patrem defunctorum, aderant imagines. Denique *deorum barbaricorum figuræ*, cum ornatu patrio, præferebantur. Tum translata tabula est, inscripta hoc titulo: NAVES ROSTRATÆ CAPTÆ SUNT DCCC. URBES CONDITÆ IN CAPPADOCIA VIII; IN CILICIA COELESYRIAQUE XX; IN PALÆSTINA QUÆ NUNC SELEUCIS EST. REGES VICTI, TIGRANES ARMENIUS, ARTOCES IBERUS, OROEZES ALBANUS, DARIUS MEDUS, ARETA NABATÆUS, ANTIOCHUS COMMAGENUS. Hæc titulus ferebat. Ipse *Pompejus* curru *vehebatur* gemmis præfulgente; *amictus*, ut fertur, *Alexandri Macedonis*

Ἀλεξάνδρου τοῦ Μακεδόνος, εἴ τῳ πιστόν ἐστιν· ἔοικε δ' αὐτὴν εὑρεῖν ἐν Μιθριδάτου, Κῴων παρὰ Κλεοπάτρας λαβόντων. Εἵποντο δὲ αὐτῷ μετὰ τὸ ἅρμα οἱ συστρατευσάμενοι τῶν ἡγεμόνων, οἱ μὲν, ἐπὶ ἵππων, οἱ δὲ, πεζοί. Παρελθὼν δ' ἐς τὸ Καπιτώλιον, οὐδένα τῶν αἰχμαλώτων ἔκτεινεν, ὡς ἕτεροι τῶν θριάμβους παραγόντων, ἀλλ' ἐς τὰς πατρίδας ἔπεμψε δημοσίοις δαπανήμασι, χωρὶς τῶν βασιλικῶν. καὶ τούτων μόνος Ἀριστόβουλος εὐθὺς ἀνηρέθη, καὶ Τιγράνης ὕστερον. Ὁ μὲν δὴ θρίαμβος ἦν τοιόσδε. A. U. 692.

CXVIII. Ὧδε μὲν Ῥωμαῖοι Βιθυνοὺς καὶ Καππάδοκας, ὅσα τε αὐτοῖς ὅμορα ἔθνη ἐπὶ τὸν Πόντον κατοικεῖ τὸν Εὔξεινον, βασιλέα Μιθριδάτην τεσσαράκοντα δύο ἔτεσι μάλιστα καθελόντες, ὑπηγάγοντο σφίσιν ὑπήκοα εἶναι. Τῷ δὲ αὐτῷ πολέμῳ καὶ Κιλικίας τὰ μήπω σφίσι κατήκοα, καὶ Συρίας τήν τε Φοινίκην καὶ Κοίλην καὶ Παλαι-

*Lin.* 61. *verbo* ἔκτεινεν *carent Edd.* *Ibid.* θριάμβους *dat edit.* 3. *vit.* *Ib.* παραγαγόντων *Edd. ex Reg. A.* *Prætuli Aug. Reg. B.* *L.* 66. *Hoc loco* inſerui DUO CAPITA (Cap. CXVIII. & CXIX.) quæ perperam *in Edd. ac MSStis noſtris* IN FRONTE HUJUS LIBRI erant collocata. *L.* 69 & 70. *verba* σφίσιν ὑπήκοα - - τὰ μήπω *incluſ. quæ opportune dederunt Edd. & Cand. deſiderantur in Aug. Ven. & Vat.*

*chlamyde*, ſi fas eſt credere; quæ inventa fuiſſe putabatur in Mithridatis ſupellectili, quam ille in bonis Cleopatræ a Cois acceperat. *Currum ſequebantur præfecti militum*, partim equites, partim pedites, qui illius expeditionis fuerant ſocii. Ubi vero in Capitolium pervenit *Pompejus*, *neminem captivum necavit*, ut alias ſolent triumphantes; ſed publicis impenſis remiſit eorumquemque in ſuam patriam, exceptis regiis: e quibus ſolus *Ariſtobulus* mox *interemtus* eſt, & aliquanto poſt *Tigranes*. Ac *triumphus* quidem *Pompeji* in hunc maxime modum ſe habuit.

118. Hac igitur ratione Romani Bithyniam & Cappadociam, aliaſque Ponto Euxino finitimas *provincias*, rege Mithridate poſt ſecundum fere ſupra quadrageſimum annum ſublato, *adjecerunt ſuo imperio*. Eodemque bello, Ciliciæ partem eam, quæ ipſis nondum paruerat, tum quæ communi Syriæ nomine cenſentur regiones, Phœnicen, Palæ-

A. U. 692. στίνην, καὶ τὴν ἐς τὸ μεσόγαιον ἐπὶ ποταμὸν Εὐφράτην, οὐδὲν ἔτι τῷ Μιθριδάτῃ προσήκοντα, ῥύμῃ τῆσδε τῆς νίκης προσέλαβον· καὶ φόρους τοῖς μὲν αὐτίκα, τοῖς δὲ ὕστερον, ἔταξαν. Παφλαγονίαν τε καὶ Γαλατίαν, καὶ Φρυγίαν, καὶ τὴν ὅμορον τῇ Φρυγίᾳ Μυσίαν, καὶ ἐπὶ τοῖσδε Λυδίαν καὶ Καρίαν καὶ Ἰωνίαν, καὶ ὅσα ἄλλα Ἀσίας τῆς περὶ τὸ Πέργαμόν ἐστι, καὶ τὴν ἀρχαίαν Ἑλλάδα, καὶ Μακεδονίαν, Μιθριδάτου περισπάσαντος, ὀξέως ἀνελάβοντο· καὶ τοῖς πολλοῖς αὐτῶν, οὔπω σφίσιν ὑποτελέσιν οὖσιν, ἐπέθηκαν φόρους. Δι' ἅ μοι καὶ μάλιστα δοκοῦσι τόνδε τὸν πόλεμον ἡγεῖσθαι μέγαν, καὶ τὴν ἐπ' αὐτῷ νίκην Μεγάλην Νίκην καλεῖν, καὶ τὸν στρατηγήσαντα Πομπήϊον, Μέγαν, τῇ ἰδίᾳ φωνῇ μέχρι νῦν ἐπονομάζειν· ἐθνῶν τε πλήθους ἕνεκα, ὧν ἀνέλαβον ἢ προσέλαβον· καὶ χρόνου μήκους, τεσσαρακονταετοῦς γενομένου· τόλμης τε αὐτοῦ Μιθριδάτου, καὶ φερεπονίας, δυνατοῦ σφίσιν ἐς ἅπαντα ὀφθέντος.

*Lin.74.* προσέβαλον *edit.* 1. *L.82.* τὴν ἐπ' αὐτῶν *edit.* 1. τὴν ἀπ' αὐτοῦ *ed.*2.3. *L.* 83. *alterum* Νίκην, *post* Μεγάλην, *adj. ex Aug. Ven. Vat.*

ſtinam, Syriam Cœlen, Euphratenſemque mediterraneam, nihil ad Mithridatem adtinentes, evecti ejuſdem victoriæ impetu, una ſubjugarunt; & *tributa* aliis ſtatim, aliis aliquanto poſt, *impoſuerunt.* Paphlagoniam autem, Gallogræciam, Phrygiam, eique conterminam Myſiam, tum Lydiam, Cariam, Joniam, aliaſque Aſiæ partes, quæ Pergamenæ ditionis olim fuerant, denique veterem Græciam & Macedoniam, occupatas a Mithridate, cito receperunt: ac pleroſque ex his populis, cum ante id tempus immunes fuiſſent, ſtipendiarios fecerunt. Quibus quidem de cauſis vel præcipue mihi videntur & *bellum* hoc, *magnum*, & victoriam eo bello partam *Magnam Victoriam* vocare, eumque, cujus auſpiciis res eæ geſtæ ſunt, *Pompejum*, ad noſtra uſque tempora *Magnum* cognominare; *propter provinciarum vel receptarum vel de novo quaſitarum multitudinem*; tum vero propter longitudinem temporis, quadrageſimum excedentis annum; denique propter ipſius hoſtis audaciam & laborum tolerantiam, qui præpotentem ſeſe omnibus modis demonſtraverat.

CXIX. Ὦι νῆες μὲν ἦσαν οἰκεῖαι πολλάκις πλείους τετρακοσίων, ἱππεῖς δ᾽ ἔστιν ὅτε πεντακισμύριοι, καὶ πεζῶν μυριάδες πέντε καὶ εἴκοσι, καὶ μηχαναὶ καὶ βέλη κατὰ λόγον. συνεμάχουν δὲ βασιλεῖς καὶ δυνάσται, ὅ τε Αρμένιος, καὶ Σκυθῶν τῶν περὶ τὸν Πόντον, ἐπί τε Μαιώτιδα λίμνην καὶ ἀπ᾽ ἐκείνης ἐπὶ τὸν Θράκιον Βόσπορον περιπλέοντι. ἔς τε τοὺς Ῥωμαίων δυνατοὺς, στασιάζοντας ἀλλήλοις τότε μάλιστα, καὶ Ἰβηρίαν ἀνιστάντας ἐπὶ Ῥωμαίους, περιέπεμπε· καὶ Κελτοῖς φιλίαν ἐτίθετο, ὡς καὶ τῇδε ἐσβαλῶν ἐς τὴν Ἰταλίαν· λῃστῶν τε ἐνεπίμπλη τὴν θάλασσαν ἀπὸ Κιλικίας ἐπὶ στήλας Ἡρακλείους, οἱ πάντα ἄμικτα καὶ ἄπλωτα ταῖς πόλεσιν ἐς ἀλλήλους ἐποίουν, καὶ λιμὸν ἐπίπονον ἐξειργάσαντο ἐπιπλεῖστον· ὅλως τε οὐδὲν ἀνδρὶ δυνατὸν ἐξέλιπεν, ἢ πράττων, ἢ διανοούμενος, ὡς μέγιστον δὴ τόδε τὸ κίνημα ἐξ ἀνατολῆς ἐπὶ δύσιν γενόμενον ἐνοχλῆσαι πᾶσιν, ὡς ἔπος εἰπεῖν, *A. U. 692.*

*Lin.* 89. πολλάκις *carent Edd. Adjeci ex Aug. Vat.* *L.* 95. τοὺς *ad* Ῥωμ. *adjeci ex Aug. Ven.* *L.* 98. ἰσβάλων (*sic*) *edit.* 1. ἐσβαλῶν *Regii, & Aug. ex emend.* *Ibid.* ἐνεπίμπλει *edit.* 1. *L.* 1. ἀλλήλας *edit.* 2. 3. *ex H. Steph. emendatione, qua non esse opus putavi.* *L.* 2. ἐπὶ πλεῖστον *Edd.* *L.* 4. τόδε κίνημα *Edd.* τὸ *adj. ex Aug. Ven.*

119. *Fuerant* enim MITHRIDATI *naves* propriæ sæpius ultra CCCC; *equitum* autem interdum quinquaginta millia; *peditum* ducenta & quinquaginta millia; machinarumque & armorum tantum, quantum *tantæ copiæ* postulabant. *Auxilia* vero ei tulerant Armeniorum rex & Scythicarum reguli gentium, quotquot Pontum Mæotidemque paludem, & inde porro ad Thracicum usque Bosporum adcolunt. Et ipsorum Romanorum principes, civilibus dissidiis tum maxime inter se concertantes, & Hispaniam ab imperio retrahentes, sollicitaverat per legatos; & cum Gallis amicitiam inierat, ut & hac parte infestaret Italiam. Piratisque repleverat maria, a Cilicia usque ad Herculis columnas; qui, sublatis navigationibus & civitatum inter se commerciis, gravem famem per longum tempus invexerunt. Omninoque nihil, quod quidem in hominis cadat potestatem, ineffectum aut intentatum reliquit, quod eo pertineret, ut unus iste longe maximus motus, ab Oriente in Occidentem usque pertingens, omnes, ut verbo dicam, po-

A. U. 692. ἢ πολεμουμένοις, ἢ συμμαχοῦσιν, ἢ λῃστευομένοις, ἢ γειτονεύουσι. Τοσόσδε εἷς οὗτος πόλεμος καὶ ποικίλος ἐγένετο. Καὶ ἐς τὰ μέγιστα λήγων συνήνεγκε Ῥωμαίοις. ὡρίσαντο γὰρ ἐπὶ τῷδε τὴν ἡγεμονίαν ἐκ δύσεως ἐπὶ ποταμὸν Εὐφράτην. Διελεῖν δ' αὐτὰ κατὰ ἔθνος οὐκ ἦν, ὁμοῦ τε πραχθέντα καὶ ἀλλήλοις ἀναπεπλεγμένα. ἃ δὲ καὶ ὡς ἐδύνατο αὐτῶν κεχωρίσθαι, κατὰ μέρη τέτακται.

CXX. Φαρνάκης δ' ἐπολιόρκει Φαναγορέας καὶ τὰ περίοικα τοῦ Βοσπόρου, μέχρι τῶν Φαναγορέων διὰ λιμὸν ἐς μάχην προελθόντων ἐκράτει τῇ μάχῃ· καὶ βλάψας οὐδὲν, ἀλλὰ φίλους ποιησάμενος, καὶ λαβὼν ὅμηρα, ἀνεχώρει. 707. Μετ' οὐ πολὺ δὲ καὶ Σινώπην εἷλε, καὶ Ἀμισὸν ἐνθυμιζόμενος, καὶ Καλουΐνῳ στρατηγοῦντι ἐπολέμησεν, ᾧ χρόνῳ Πομπήϊος καὶ Καῖσαρ ἐς ἀλλήλους ᾔεσαν· ἕως αὐτὸν Ἄσανδρος ἐχθρὸς ἴδιος, Ῥωμαίων οὐ

*Lin. 7. An pro* γειτονεύουσι *leg.* λιμαίνουσι, fame premerentur? *Ibid.* τοσόσδε ὁ πόλεμος *Edd.* τοσόσδε εἷ πολ. *Reg. B.* τοσόσδε οἷ πολ. *Reg. A.* *L. 8.* ἐς τὰ μάλιστα ληγ. *Edd.* *L. 10.* διελεῖν δ' αὐτοὺς *Edd.* *L. 14 ſq.* λοιμὸν *Vat.* *L. 18.* Καλουϊσίῳ στρατηγ. *Edd. & MSS.* *Repoſui* Καλουΐνῳ, *ſuadente ipſo Auctore. Sed vereor, ne etiamnum alia turbata h. l. ſuperſint. Ibid. ſq.* πολεμίσειν *Aug.* πολεμήσειν *Ven. Vat. Tenui lect. Edd. & Cand.* *L. 20.* ἦσαν *Edd. & MSS.* *Mutavi in* ᾔεσαν, *quod & Muſgr. monuit.*

pulos vexaret, ſive quod ſuo nomine bellum gererent, ſive cum aliis arma ſociarent, ſive a prædonibus infeſtarentur, ſive ex vicinia iſtorum malorum moleſtarentur. *Tantum* fuerat, *tamque varium*, illud *bellum*, quod tandem *maximam acceſſionem rebus Romanis adtulit*: quo compoſito, imperium Romanum, ab ultimo progrediens occidente, Euphrate fluvio finiebatur. Neque vero potui provinciatim res iſtas digerere, quandoquidem ſimul geſtæ ſunt, & inter ſeſe complicatæ. Quæ vero ſeparari potuerunt, ea ſeorſim ſingula expoſui.

120. Ceterum PHARNACES Phanagorenſes oppugnavit, populoſque Boſporo finitimos. Et *Phanagorenſes*, quidem premente fame adpugnam progreſſos, prælio ſuperavit. Quos deinde illæſos, obſidibus tantum acceptis, recepit in amicitiam. Neque vero multo poſt, *Sinopen* cepit: & Amiſum quoque adpetens, cum Romano etiam duce *Calvino*, quo tempore Pompejus & Cæſar inter ſe contenderunt, bellum geſſit; donec ab *Aſandro*,

σχολαζόντων, ἐξήλασε τῆς Ἀσίας. ἐπολέμησε δὲ καὶ αὐτῷ Καίσαρι, καθελόντι Πομπήϊον, ἐπανιόντι ἀπ' Αἰγύπτου, περὶ τὸ Σκότιον ὄρος, ἔνθα ὁ πατὴρ αὐτοῦ Ῥωμαίων τῶν ἀμφὶ Τριάριον ἐκεκρατήκει· καὶ ἡττηθεὶς, ἔφευγε σὺν χιλίοις ἱππεῦσιν ἐς Σινώπην. Καίσαρος δ' αὐτὸν ὑπ' ἀσχολίας οὐ διώξαντος, ἀλλ' ἐπιπέμψαντος αὐτῷ Δομίτιον, παραδοὺς τὴν Σινώπην Δομιτίῳ, ὑπόσπονδος ἀφείθη μετὰ τῶν ἱππέων. καὶ τοὺς ἵππους ἔκτεινε, πολλὰ δυσχεραινόντων τῶν ἱππέων· ναυσὶ δ' ἐπιβὰς ἐς τὸν Πόντον ἔφυγε, καὶ Σκυθῶν τινας καὶ Σαυροματῶν συναγαγὼν, Θεοδοσίαν καὶ Παντικάπαιον κατέλαβεν. ἐπιθεμένου δ' αὖθις αὐτῷ κατὰ τὸ ἔχθος Ἀσάνδρου, οἱ μὲν ἱππεῖς, ἀπορίᾳ τε ἵππων, καὶ ἀμαθίᾳ πεζομαχίας, ἐνικῶντο· αὐτὸς δὲ ὁ Φαρνάκης μόνος ἠγωνίζετο καλῶς, μέχρι κατατρωθεὶς ἀπέθανε, πεντηκοντούτης ὢν, καὶ βασιλεὺς Βοσπόρου πεντεκαίδεκα ἔτεσιν.

A. U. 707.

*Lin.* 21. καὶ, *post* ἐπολέμησε δὲ, *adj. ex Aug.* *L.* 23. Scorobam montem *Cand.* *L.* 26. αὐτὸν Δομιτ. *Edd. Prætuli Aug. Cand.* *L.* 29. *pro* ἐς τὸν Πόντον *omnino* ἐς τὸν Βόσπορον *videtur legendum; nisi* Πόντον *latiori quodam & insolentiori sensu h.l. dictum velis.* *L.* 30. ἔφευγε *Edd. Prætuli Aug. Vat.* *L.* 31. Θευδοσίαν *Edd. & MSS. ut supra: sed* Theodosiam *Cand.* *Ibid.* Παντικάπυον *h. l. Aug.*

privatim inimico, Romanis alibi occupatis, ex Asia abstractus est. Mox vero & *cum Cæsare*, post devictum Pompejum ex Ægypto redeunte, *pugnavit apud Scotium montem*, ubi pater ejus vicerat Triarium: quo prælio *victus*, *refugit Sinopen* cum mille equitibus. Quumque Cæsari non vacaret eum persequi, *misso contra se Domitio* Sinopen tradidit; & pace accepta dimissus cum equitibus, equos interfecit, iniquissime id ferentibus equitibus. Inde conscensis navibus in Pontum (potius, *in Bosporum*) *fugit*; collectaque Scytharum ac Sarmatarum manu, Theodosiam Panticapæumque occupavit. Ibi quum rursus ab *Asandro* bello peteretur, equites ejus, equis destituti, nec adsueti pedestri prælio, victi cesserunt: solus *Pharnaces* egregie pugnavit, sed vulneribus tandem confectus *cecidit*, quinquagenarius, postquam *in Bosporo annos regnaverat XV*.

*A. U.* 707.

CXXI. Ὧδε μὲν δὴ καὶ Φαρνάκης ἐξέπεσε τῆς ἀρχῆς· καὶ αὐτοῦ τὴν βασιλείαν Γάϊος μὲν Καῖσαρ ἔδωκε Μιθριδάτῃ τῷ Περγαμηνῷ, συμμαχήσαντί οἱ προθύμως ἐν Αἰγύπτῳ. νῦν δ' εἰσὶν οἰκεῖοι. Πόντου δὲ καὶ Βιθυνίας πέμπεταί τις ἀπὸ τῆς βουλῆς στρατηγὸς ἐτήσιος. Τὰ δ' ἑτέροις ὑπὸ τοῦ Πομπηίου δεδομένα ὁ μὲν Γάϊος, ἐπιμεμψάμενος τοῖς ἔχουσιν, ὅτι Πομπηίῳ κατ' αὐτοῦ συνεμάχουν, ὅμως ἐφύλαξε· πλὴν τῆς ἐν Κομάνοις ἱερωσύνης, ἣν ἐς Λυκομήδην μετήνεγκεν ἀπὸ Ἀρχελάου. πάντα δὲ οὐ πολὺ ὕστερον, καὶ τάδε, καὶ ὅσα Γάϊος Καῖσαρ ἢ Μάρκος Ἀντώνιος ἔχειν ἑτέροις ἐδεδώκεσαν, ἐς στρατηγίας Ῥωμαίων περιῆλθεν, ἀπὸ τοῦ Σεβαστοῦ Καίσαρος, ἑλόντος Αἴγυπτον, ὀλίγης ἔτι Ῥωμαίων προφάσεως ἐς ἑκάστους δεομένων. Ὅθεν, αὐτοῖς τῆς ἡγεμονίας ἐπὶ τῷδε τῷ Μιθριδατείῳ πολέμῳ προελθούσης ἔς τε τὸν Πόντον τὸν Εὔξεινον, καὶ ἐπὶ ψάμμον τὴν πρὸ Αἰγύπτου, καὶ ἐς ποταμὸν Εὐ-

*Lin.* 40. οἰκεῖοι, nunc autem sunt liberi *Gelen. An excidit* δυνάσται *vel* βασιλεῖς, domesticis parent regibus? *L.* 41. ἀπὸ τῆς βουλῆς *carent Edd. & Cand. L.* 43. Πομπηίου *edit.* 1. *L.* 44. ἐν Κομμαγηνοῖς *Aug. Ven. male. L.* 45. ἐς Νικομήδην *Edd. Cand. Prætuli Aug. L.* 48. τοῦ *ad* Σεβαστ. *adj. ex Aug.* ἀπὸ *autem in* ἐπὶ *mutandum videtur ex alio Nostri loco. L.* 52. ἐπὶ ψάμμου τὴν *Edd.*

121. *Pharnacis regnum C. Cæsar Mithridati* dedit *Pergameno*, cujus in Ægypto egregia usus erat opera. Nunc autem (Bosporani) Romano adtributi sunt imperio. Ceterum in Pontum ac Bithyniam prætor quotannis ex senatorio ordine mittitur. Reliquos, qui a Pompejo ditiones acceperant, *Cæsar*, reprehensos quidem quod contra se pro illo stetissent, confirmavit tamen in suis quemque possessionibus; excepto *Comanæ deæ* flamine, quod *sacerdotium* in *Lycomedem* ab Archelao transtulit. Sed non multo post & hæc omnia, & quidquid aut C. Cæsar aut M. Antonius aliis dederant, post subjugatam ab Augusto Cæsare Ægyptum, provinciis Romanis sunt adjuncta; quum jam non nisi levissima occasione adversus eorum quæque indigerent Romani. Itaque quoniam per Mithridaticum hoc, quod exposuimus, bellum, ad Euxinum usque Pontum, & ad arenas quæ Ægyptum ab Asia dividunt, denique ad Euphratem

Φράτην ἀπὸ Ἰβήρων τῶν παρὰ στήλαις Ἡρακλείοις, εἰκότως ἥ τε νίκη Μεγάλη, καὶ ὁ στρατηγήσας Πομπήϊος, A. U. 707. Μέγας, ἐκλήθη. Ἔχουσι δ᾽ αὐτοῖς καὶ Λιβύην, ὅση μέχρι Κυρήνης, (Κυρήνην γὰρ αὐτὴν Ἀπίων βασιλεὺς, τοῦ Λαγιδῶν γένους νόθος, ἐν διαθήκαις ἀπέλιπεν·) Αἴγυπτος ἐς περίοδον τῆς ἐντὸς θαλάσσης ἔτι ἔλειπεν.

*Lin.* 53 *sq.* εἰκότως τε νίκη *edit.* 1. *ex Reg. A.* *L.* 55. Μέγας *caret edit.* 1. *L.* 56 *sq.* Λαγηνῶν *Edd. ex Reg. A.* Λαγινῶν *Reg. B.* *L.* 57. Αἴγυπτος δὲ ἐς *Edd.* δὲ *in* δὴ *mutatum voluit Musgr. commode. Omisi cum Aug. & Cand. ac præcedentia inclusi parentheseos signis.* *L.* 58. ἔλιπεν *edit.* 1. *& MS. Medic. & MS. Vat.* 142. *& Urbino-Vat.* 103. *qui omnes etiam, cum Edd. & MSStis Regiis, incommodum illud* δὲ *post* Αἴγυπτος, *agnoscunt.*

fluvium, inde ab Hispaniæ oris & Herculis columnis, promotum fuit Romanorum imperium; jure meritoque ab illis victoria hæc Magna, & Pompejus, quo imperatore illa parta est, Magnus est adpellatus. Quum vero & Africam tenerent, Cyrenen usque; (nam ipsam *Cyrenaicam Apion rex*, ex Lagidarum genere nothus, ex testamento reliquerat Populo Romano;) jam *ad plenum mediterranei maris ambitum sola eis adhuc deerat Ægyptus.*

# ΑΠΠΙΑΝΟΥ
## ΑΛΕΞΑΝΔΡΕΩΣ
### ΡΩΜΑΙΚΩΝ
## ΙΛΛΥΡΙΚΗ.

ΙΛΛΥΡΙΟΥΣ Ἕλληνες ἡγοῦνται τοὺς ὑπέρ τε Μακεδονίαν καὶ Θρᾴκην ἀπὸ Χαόνων καὶ Θεσπρωτῶν ἐπὶ ποταμὸν Ἴστρον. καὶ τοῦτ' ἐστὶ τῆς χώρας τὸ μῆκος. εὖρος δ' ἐκ Μακεδόνων τε καὶ Θρᾳκῶν τῶν ὀρείων, ἐπὶ Παίονας καὶ τὸν Ἰόνιον καὶ τὰ πρόποδα τῶν Ἄλπεων. καὶ ἔστι τὸ μὲν εὖρος, ἡμερῶν πέντε· τὸ δὲ μῆκος, τριάκοντα, καθὰ καὶ τοῖς Ἕλλησιν εἴρηται. Ῥωμαίων δὲ τὴν χώραν μετρησαμένων, ἔστιν ὑπὲρ ἑξακισχιλίους σταδίους τὸ μῆκος, καὶ τὸ πλάτος ἀμφὶ τοὺς χιλίους καὶ διακοσίους.

*Lin.* 4. τῶν ὀρίων *C. Steph.* *L.* 5. τὰς πρόποδας *Regii & C. Steph. H. Steph. Toll.* τοὺς πρόποδας *Hæschelius, bene, sed invitis MSS.* *L.* 6. *pro* τριάκοντα *Cand. dedit* in triplo productior. *L.* 8. ὑπεξακισχ. *Reg. B.* ὑπ' ἑξακισχ. *Reg. A. unde* ὑφ' ἑξακισχ. *C. Steph.* ἐφ' ἑξακισχ. *H. Steph. Toll.*

# APPIANI
### ALEXANDRINI
## ROMANARUM HISTORIARUM
### LIBER
## DE REBUS ILLYRICIS.

ILLYRIOS *Græci* vocant, quicumque supra Macedoniam ac Thraciam a Chaonia atque Thesprotia ad Istrum usque flumen incolunt. Hi regionis in longitudinem *fines*. Latitudo a Macedonia & montanis Thracibus ad Pannonios & Adriaticum mare & radices Alpium protenditur. Ea *latitudo* itinere quinque dierum transitur; quum *longitudo* in triginta amplius pateat: quemadmodum iidem perhibent Græci Scriptores. *Ad rationem* autem *Romanorum*, qui mensuram regionis inierunt, *longitudo* ultra DCCL. M. Passuum colligit, *latitudo* circiter CL. M.

II. Φασὶ δὲ, τὴν μὲν χώραν ἐπώνυμον Ἰλλυριοῦ, τοῦ Πολυφήμου, γενέσθαι. Πολυφήμῳ γὰρ τῷ Κύκλωπι καὶ Γαλατείᾳ Κελτὸν καὶ Ἰλλυριὸν καὶ Γάλαν παῖδας ὄντας, ἐξορμῆσαι Σικελίας, καὶ ἄρξαι τῶν δι' αὐτοὺς Κελτῶν, Ἰλλυριῶν, καὶ Γαλατῶν λεγομένων. καὶ τόδε μοι μάλιστα, πολλὰ μυθευόντων ἕτερα πολλῶν, ἀρέσκει. Ἰλλυριῷ δὲ παῖδας, Εγχέλεα, καὶ Αὐταριέα, καὶ Δάρδανον, καὶ Μαῖδον, καὶ Ταύλαντα καὶ Περραιβὸν γενέσθαι· καὶ θυγατέρας, Παρθὼ καὶ Δαορθὼ καὶ Δασσαρὼ, καὶ ἑτέρας. ὅθεν εἰσὶ Ταυλάντιοί τε καὶ Περραιβοὶ καὶ Εγχέλεες, καὶ Αὐταριεῖς καὶ Δάρδανοι καὶ Παρθηνοὶ, καὶ Δασσαρήτιοι καὶ Δάρσοι. Αὐταριεῖ δὲ αὐτῷ Παννόνιον ἡγοῦνται παῖδα ἢ Παίονα γενέσθαι· καὶ Σκορδίσκον Παίονι καὶ Τριβαλλόν. ὧν ὁμοίως τὰ ἔθνη παρώνυμα εἶναι. Καὶ τάδε μὲν τοῖς ἀρχαιολογοῦσι μεθείσθω.

III. Γένη δ' ἔστιν Ἰλλυριῶν, ὡς ἐν τοσῇδε χώρᾳ, πολ-

*Lin.* 10. μὲν *caret Reg. A.* *L.* 12. Gallam *Gradius*; Gallum *Cand.* *L.* 16. Αὐταρέα *C. Steph. H. Steph. Toll.* *L.* 18. ἑτέραν *Reg. B.* *L.* 19. Εγκέλεες *C. & H. Steph. Toll.* *L.* 20. Δασσαρίτιοι *C. Steph. ex Reg. A. H. Steph. Toll.* *L.* 21. Darsii *Cand. & Gradius. Et videtur legendum* Δάρσιοι *vel* Δαόρσιοι. *L.* 22. ἢ Πάνονα *Regii. Ibid.* γενέσθαι, καὶ Σκορδίσκον, Παίονον, καὶ Τριβαλλόν *C. & H. Steph. Toll.*

2. *Nomen* autem accepisse regionem eam perhibent *ab Illyrio*, Polyphemi filio. Quippe Polyphemum ex Galatea conjuge Celtum & Illyrium & Galam filios habuisse; hosque ab Sicilia digressos imperitasse populis, qui inde Celtæ, Illyriique, & Galatæ sint adpellati. Atque hæc inter multas fabulas, quæ a multis hoc loco referuntur, maxime mihi probantur. *Illyrio* deinde *filios*, Encheleum, Autarieum, Dardanum, Mædum, Taulantem, Perrhæbum, fuisse tradunt; filiasque Parthonem, Daorthonem, Dassaronem, & alias: a quibus Taulantii, Perrhæbi, Enchelees, Autarienses, Dardani, Partheni, Dassaretii, Darsi, (vel Darsii,) prodierint. Tum *Autarieo* Pannonium sive Pæona genitum esse, *Pæone* autem Scordiscum & Triballum, quibus similiter cognomines populos habemus. Sed ista quidem Antiquitatis studiosis relicta sunto.

3. *Gentes* Illyriorum, ut in tam ampla regione, multæ

λά. καὶ περιώνυμα ἔτι νῦν, χώραν νεμόμενα πολλὴν, Σκορδίσκων καὶ Τριβαλλῶν· οἳ ἐς τοσοῦτον ἀλλήλους πολέμῳ διέφθειραν, ὡς Τριβαλλῶν εἴ τι ὑπόλοιπον ἦν ἐς Γέτας ὑπὲρ Ἴστρον φυγεῖν, καὶ γένος, ἀκμάσαν μέχρι Φιλίππου τε καὶ Ἀλεξάνδρου, νῦν ἔρημον καὶ ἀνώνυμον τοῖς τῇδε εἶναι· Σκορδίσκους δὲ, ἀσθενεστάτους ἀπὸ τοῦδε γενομένους, ὑπὸ Ῥωμαίων ὕστερον ὅμοια παθεῖν, καὶ ἐς τὰς νήσους τοῦ αὐτοῦ ποταμοῦ φυγεῖν· σὺν χρόνῳ δέ τινας ἐπανελθεῖν, καὶ Παιόνων ἐσχατιαῖς παροικῆσαι· ὅθεν ἐστὶ καὶ νῦν Σκορδίσκων γένος ἐν Παίοσι. Τῷ δ' αὐτῷ τρόπῳ καὶ Ἀρδιαῖοι, τὰ θαλάσσια ὄντες ἄριστοι, πρὸς Αὐταριέων ἀρίστων ὄντων τὰ κατὰ γῆν, πολλὰ βλάψαντες αὐτοὺς, ὅμως ἐφθάρησαν. Καὶ ναυτικοὶ μὲν ἐπὶ τοῖς Ἀρδιαίοις ἐγένοντο Λιβυρνοὶ, γένος ἕτερον Ἰλλυριῶν, οἳ τὸν

*Lin.* 26. πολλὰ καὶ περιώνυμα, *item* πολλὴν Σκορδίσκων, *conjungunt Edd. & MSS. nostri.* ἔτι νῦν *ad* περιώνυμα *referunt Aug. Ven. Hæsch. ad* χώραν νεμόμενα *C. & H. Steph. Toll.* *L.* 28. *pro* εἴ τι *dant* ἔτι *MSS. Regii, & Edd. ex his derivati.* *L.* 29 *sq.* Φιλίππου πατρὸς Ἀλεξ. *Regii & ex eis Edd.* *L.* 36 *sq.* ὄντες πρὸς αὐτὰ ἄριστοι *Edd. & MSS. nostri. Duo verba, quæ ex librariorum lapsu irrepsisse videntur, delevi cum Gradio. Forsan tamen* παρ' αὐτοῖς *erat legendum.*

ſunt. Ex his *inclyta* etiamnunc *Scordiſcorum* ſunt & *Triballorum* nomina; qui, quum plurimam late terram incoluiſſent, adeo ſeſe invicem infeſtis adtrivere bellis, ut *Triballorum reliquiæ* trans Iſtrum ad Getas exceſſerint, & natio, ad Philippi & Alexandri uſque tempora late potens florenſque, pæne exſtincta ſit, & in iiſdem regionibus, quas olim incoluerat, vix nomine hodie nota; *Scordiſci* vero, eadem de cauſa ad ſummam infirmitatem redacti, & ſimili deinde clade a Romanis adfecti, in ejuſdem fluminis inſulas ſeſe receperint. Interjecto tamen tempore, pars horum reverſi, in extremam Pannoniam ſe tranſtulerunt: quo factum, ut etiam nunc *in Pannonia Scordiſcorum genus* ſuperſit. Simili ratione *Ardiæi*, qui mari inprimis valuerant, ab *Autarienſibus*, qui terra prævalebant, poſtquam hos multis adfecerant damnis, tamen everſi ſunt. Poſt Ardiæos navibus plurimum valuerunt *Liburni*, alia Illyrica natio,

τὸν Ἰόνιον καὶ τὰς νήσους ἐλῄστευον ναυσὶν ὠκείαις τε καὶ κούφαις· ὅθεν ἔτι νῦν Ῥωμαῖοι τὰ κοῦφα καὶ ὀξέα δίκροτα Λιβυρνίδας προσαγορεύουσιν.

IV. Αὐταριέας δὲ καὶ ἐκ θεοβλαβείας Ἀπόλλωνος ἐς ἔσχατον κακοῦ περιελθεῖν. Μολιστόμῳ γὰρ αὐτοὺς καὶ Κελτοῖς τοῖς Κίμβροις λεγομένοις ἐπὶ Δελφοὺς συστρατεῦσαι, καὶ φθαρῆναι μὲν αὐτίκα τοὺς πλέονας αὐτῶν, πρὸ ἐπιχειρήσεως, ὑετῶν σφίσι καὶ θυέλλης καὶ πρηστήρων ἐμπεσόντων. ἐπιγενέσθαι δὲ τοῖς ὑποστρέψασιν ἄπειρον βατράχων πλῆθος, οἳ διασαπέντες τὰ νάματα διέφθειραν. καὶ ἐκ τῆς γῆς ἀτμῶν ἀτόπων γενομένων, λοιμὸς ἦν Ἰλλυριῶν, καὶ φθόρος Αὐταριέων μάλιστα· μέχρι φεύγοντες τὰ οἰκεῖα, καὶ τὸν λοιμὸν σφίσι περιφέροντες, οὐδενὸς αὐτοὺς δεχομένου διὰ τοῦτο τὸ δέος, ὑπερῆλθον ὁδὸν ἡμερῶν εἴκοσι καὶ τριῶν· καὶ τὴν Γετῶν

*Lin.* 42. Λιβουρνίδας *C. Steph. ex Reg. A. H. Steph. Toll.* *L.* 43. *Post* Αὐταριέας δὲ *inserendum videtur* φασὶ, *ac forsan delenda particula* καὶ. Fama est, Autarios &c. *Cand.* *L.* 47. θυέλλης *Regii & ex eis Edd.* *L.*48. ἐκπεσόντων *iidem.* *L.*51. Αὐταβιέων *Reg. A.* Αὐταβιαίων *Reg. B. C. Steph. H. Steph. Toll.* *L.*52 *sq.* περιφέροντες *Regii.* *L.* 54 *sq.* καὶ τήνδε τὴν ἑλώδη *Reg. A.* καὶ τήνδε τῶν ἑλώδη *Reg. B.* τήνδε γῆν ἑλώδη *C. Steph. & cum eo H. Steph. & Toll.*

tio, quæ velocibus levibusque navigiis Jonium mare & insulas deprædari consueverat; unde factum, ut etiam nunc Romani celeres & expeditas biremes *Liburnicas* adpellent.

4. *Autariensibus* infensum Apollinis numen exitio fuisse traditur. Hos enim *Molistomi* & *Celtarum*, qui *Cimbri* vocantur, in *expeditione delphica* socios fuisse perhibent; statimque plurimos eorum, antequam adgrederentur facinus, interiisse; imbribus in eos cum procellis fulguribusque desævientibus. His vero, qui domum rediissent, infinitam ranarum vim subortam, quæ, quum putrescerent, aquas corrupissent; deinde ab noxiis terræ vaporibus insecutam pestem adflixisse Illyrios, & *Autarienses* maxime gravissima clade adfecisse; hosque tandem domo profugos, ac pestem nihilo secius secum circumferentes, quum a nemine propter contagionis metum reciperentur, trium & viginti dierum iter progressos, in palustri ac deserta *Geta-*

ἐλώδη καὶ ἀοίκητον, παρὰ τὸ Βασταρνῶν ἔθνος, ᾤκησαν. Κελτοῖς δὲ ὁ θεὸς τὴν γῆν ἔσεισε, καὶ τὰς πόλεις κατήνεγκε· καὶ τὸ κακὸν οὐκ ἔληγε, μέχρι καὶ οἵδε τὰ οἰκεῖα φεύγοντες ἐνέβαλλον ἐς Ἰλλυριοὺς τοὺς συναμαρτόντας σφίσιν, ἀσθενεῖς ὑπὸ τοῦ λοιμοῦ γενομένους· καὶ ἐδῄωσάν τε τὰ ἐκείνων, καὶ τοῦ λοιμοῦ μετασχόντες ἔφυγον, καὶ μέχρι Πυρήνης ἐληλάτουν. ἐπιστρέφουσι δ' αὐτοῖς ἐς τὴν ἕω, Ῥωμαῖοι δεδιότες, ὑπὸ μνήμης τῶν προπεπολεμηκότων σφίσι Κελτῶν, μὴ καὶ οἵδε ἐς τὴν Ἰταλίαν ὑπὲρ Ἄλπεις ἐσβάλοιεν, ἀπήντων ἅμα τοῖς ὑπάτοις, καὶ πανστρατιᾷ διώλλυντο. Καὶ τὸ πάθος τοῦτο Ῥωμαίων μέγα δέος Κελτῶν ἐς ὅλην τὴν Ἰταλίαν ἐνέβαλε· μέχρι Γάϊον Μάριον ἑλόμενοι σφῶν οἱ Ῥωμαῖοι στρατηγεῖν, ἄρτι Λιβύων τοῖς Νομάσι καὶ Μαυρουσίοις ἐγκρατῶς πεπολεμηκότα, τοὺς Κίμβρους ἐνίκων, καὶ πολὺν φόνον αὐτῶν εἰργάσαν-

*Lin.* 55. Βαρσλερνῶν *Regii & ex illis Edd.* Βαισλερνῶν *Hæſch.* Βασλερνῶν *Aug. Ven. Repoſui, ut alibi,* Βασλαρνῶν *ex Cand. & Grad. L.* 58. ἐνέβαλον *C. & H. Steph. Toll. invitis omnibus MSS. L.* 64. ἐσβάλειεν *Ven.* ἐσβάλλοιεν *Hæſch. cum Aug. Tenui lect. MSS. Regiorum, cum Edd. ex his derivatis. L.* 65 *ſq.* μετὰ δέος *Reg. A. L.* 66. ἐνέβαλε *dedit Reg. A.* ἐνέβαλεν *Hæſch. cum Aug. Ven.* ἐνέβαλλε *C. Steph. & reliqui, ex Reg. B. Ibid. ſq.* μέχρι γαρμάριον *Regii.* μέχρι γάρμάριον (*ſic*) *Aug. Ven. Retinui emendat. C. Steph. & Hæſch. L.* 68. ἀκρατῶς *Regii & ex his ducti Edd.*

*rum* regione, prope *Baſtarnas*, conſediſſe. Celtarum vero tellurem vehementi motu deus concuſſit, urbeſque diruit. Quarum calamitatum quum nullus eſſet finis; hi quoque patria exceſſerunt, & Illyriorum regionem, ſceleris & ſacrilegii ſociorum, nunc peſte debilitatorum, ſunt ingreſſi; ibique, dum prædam agunt, & ipſi contagione morbi corripiuntur. Itaque celeriter profugientes, ad Pyrenæum uſque montem populationibus graſſati ſunt. Inde quum rurſus verſus Orientem ſeſe convertiſſent; Romani, memores calamitatum a ſuperioribus Celtis acceptarum, metuenteſque ne hi quoque ſuperatis Alpibus invaderent Italiam, conſulares aliquot exercitus adverſus eos ſubmiſerunt, qui occidione deleti ſunt. Omniſque ea clade ad Celticum nomen Italia contremuit: donec duce electo *C. Mario*, qui recens bello contra Numidas Mauritanoſque fortiter geſto inclaruerat, vicerunt Cimbros, & multis ma-

το πολλάκις, ὥς μοι περὶ Κελτῶν λέγοντι εἴρηται. οἱ δὲ, ἀσθενεῖς τε ἤδη γενόμενοι, καὶ πάσης γῆς ἀποκλειόμενοι διὰ τὸ ἀσθενὲς, ἐς τὰ οἰκεῖα ἐπανῆλθον, πολλὰ καὶ δράσαντες καὶ παθόντες.

V. Τοιοῦτον μὲν δὴ τέλος τῆς ἀσεβείας ὁ Θεὸς ἐπέθηκεν Ἰλλυριοῖς τε καὶ Κελτοῖς. Οὐ μὴν ἀπέσχοντο τῆς ἱεροσυλίας· ἀλλ᾽ αὖθις, ἅμα τοῖς Κελτοῖς, Ἰλλυριῶν οἱ Σκορδίσκοι μάλιστα, καὶ Μαῖδοι καὶ Δάρδανοι, τὴν Μακεδονίαν ἐπέδραμον ὁμοῦ καὶ τὴν Ἑλλάδα, καὶ πολλὰ τῶν ἱερῶν, καὶ τὸ Δελφικὸν ἐσύλησαν· πολλοὺς ἀποβαλόντες ὅμως καὶ τότε. Ῥωμαῖοι δ᾽, ἔχοντες ἤδη δεύτερον καὶ τριακοστὸν ἔτος ἀπὸ τῆς πρώτης ἐς Κελτοὺς πείρας, καὶ ἐξ ἐκείνου πολεμοῦντες αὐτοῖς ἐκ διαστημάτων, ἐπιστρατεύουσι τοῖς Ἰλλυριοῖς ἐπὶ τῇδε τῇ ἱεροσυλίᾳ, ἡγουμένου Λευκίου Σκιπίωνος, ἤδη τῶν τε Ἑλλήνων καὶ Μακεδόνων προστατοῦντες. καί φασι τοὺς μὲν περιχώρους οὐ συμμαχῆσαι τοῖς ἱεροσύλοις, ἀλλ᾽ ἑκόντας ἐγκαταλιπεῖν τῷ

*Lin.* 70. *εἰργάσαντο. πολλάκις δέ μοὶ iidem.* *L.* 73. *In verbo παθόντες desinit, in tribus editionibus Operum Appiani, Fragmentum hujus Libri, quod ex Codd. Regiis edidit C. Steph.* *L.* 84. *Σκιπίωνες Hæsch. cum MSS. & sic deinceps.*

gnisque cladibus adfecerunt; quemadmodum in *rerum Celticarum historia* exposuimus. Inde ad summam virium infirmitatem redacti, & ob eamdem infirmitatem omnibus exclusi terris, gravibus illatis acceptisque cladibus, patrias sedes repetierunt.

5. Talis igitur exitus impietatis Illyriorum Celtarumque divino consilio fuit. Neque vero eo secius alii item Illyrici populi, *Scordisci* præcipue, *Mædique* ac *Dardani*, rursus una cum Celtis in Macedoniam & Græciam impetu facto, cum multa alia, tum *Delphicum templum, exspoliarunt*; pluribus tamen suorum tunc quoque amissis. Romanique, post annum alterum ac tricesimum a superiori adversus Celtas expeditione, jamque sæpius interim ac variis temporibus cum eis congressi, bellum adversus Illyrios sacrilegii hujus causa susceperunt, ductu *L. Scipionis*, cum jam Græciæ Macedoniæque tenerent imperium. Feruntque, finitimos populos, memores calamitatum quæ olim propter Autarienses universum Illyri-

Σκιπίωνι ἀβοηθήτους, μνήμῃ τῶν δι' Αὐταριέας ἐς πάντας Ἰλλυριοὺς συμπεσόντων· Σκιπίωνα δὲ, Σκορδίσκους μὲν διαφθεῖραι, καὶ εἴ τι λοιπὸν αὐτῶν ἦν, ἐς τὸν Ἴστρον καὶ τὰς νήσους τοῦ ποταμοῦ μετοικῆσαι φυγόντας. Μαίδοις δὲ καὶ Δαρδανεῦσι συνθέσθαι, δωροδοκήσαντα τοῦ ἱεροῦ χρυσίου. καί τις ἔφη τῶν Ἰταλικῶν συγγραφέων, διὰ τοῦτο μάλιστα Ῥωμαίοις πλεόνως μετὰ Λεύκιον τὰ ἐμφύλια ἤκμασε, μέχρι μοναρχίας. Καὶ περὶ μὲν τῶν νομιζομένων εἶναι τοῖς Ἕλλησιν Ἰλλυριῶν τοσαῦτά μοι προλελέχθω.

VI. Ῥωμαῖοι δὲ καὶ τούσδε, καὶ Παίονας ἐπ' αὐτοῖς, καὶ Ῥαιτοὺς, καὶ Νωρικοὺς, καὶ Μυσοὺς τοὺς ἐν Εὐρώπῃ, καὶ ὅσα ἄλλα ὅμορα τούτοις ἐν δεξιᾷ τοῦ Ἴστρου καταπλέοντι ᾤκηται, διαιροῦσι μὲν ὁμοίως τοῖς Ἕλλησιν ἀπὸ Ἑλλήνων, καὶ καλοῦσι τοῖς ἰδίοις ἑκάστους ὀνόμασι· κοινῇ δὲ

*Lin.* 87. μνήμῃ ὧν *Ven.* *Ibid.* δι' Αὐταρίας *Aug. Leid.* *L.* 93. πλέονας *Leid.* *Ibid.* post Scipionem Consulem *Grad.* *L.* 98. Ναρίκους *h. l. Hæsch. cum MSS.* *L.* 2. τοῖς ἑκάστοις ὀνόμασι *Hæsch. Leid.* τοῖς ἑκάστους ὀνόμασι *Aug. Ven.* propriis appellationibus separatim *Cand.* propriis nominibus singillatim *Grad.* *Hinc in Græcis adjeci* ἰδίοις. *Forsan & ipsum* τοῖς *ex* ἰδίοις *ortum.*

cum adflixissent, sacrilegos non juvisse auxiliis, sed Scipioni vincendos ultro reliquisse. Et *Scordiscos* quidem maximam partem *concisos* esse a *Scipione*; exiguas eorum reliquias ad Istrum fugatas, ibi & in insulis Istri consedisse: *Mædis* vero *Dardanisque pacem concessisse Scipionem*, *sacri* nimirum *auri muneribus delinitum*. Et Romanorum Scriptorum nonnemo ait, hoc maxime in causa Romanis fuisse, ut post L. Scipionem gravioribus civilium bellorum motibus conflictati sint, quoad libertatem amiserunt. Atque hæc *de populis*, *qui a Græcis Illyrii habentur*, quasi Procœmii loco, dicta sunto.

6. *Romani* vero non hos duntaxat, sed Pannonios præterea, & Rhætos, Noricosque, & Mysios Europam incolentes, aliosque his finitimos populos, qui per Istrum descendentibus occurrunt a dextra, a Græcis quidem, non secus ac ipsi Græci, distinguunt, & propriis quoque nominibus singulos adpellant; cunctos autem pariter *Illyrios* usurpant, & omnes istas regiones communi

πάντας Ἰλλυρίδα ἡγοῦνται. ὅθεν μὲν ἀρξάμενοι τῆσδε τῆς δόξης, οὐκ ἔσχον εὑρεῖν· χρώμενοι δ' αὐτῇ καὶ νῦν· ὅπου καὶ τὸ τέλος τῶνδε τῶν ἐθνῶν, ἀπὸ ἀνίσχοντος Ἴστρου μέχρι τῆς Ποντικῆς θαλάσσης, ὑφ' ἓν ἐκμισθοῦσι, καὶ Ἰλλυρικὸν τέλος προσαγορεύουσιν. Ὅπως δὲ αὐτοὺς ὑπηγάγοντο Ῥωμαῖοι, ὡμολόγησα μὲν καὶ περὶ Κρήτης λέγων, οὐχ εὑρεῖν τὰς ἀκριβεῖς τῶν πολέμων ἀρχάς τε καὶ προφάσεις, καὶ ἐς τοῦτο τοὺς δυναμένους τι πλέον εἰπεῖν παρεκάλουν. ὅσα δ' αὐτὸς ἔγνων, ἀναγράψω. A. U.

VII. Ἄγρων ἦν βασιλεὺς Ἰλλυριῶν μέρους, ἀμφὶ τὸν κόλπον τῆς θαλάσσης τὸν Ἰόνιον· ὃν δὴ καὶ Πύῤῥος ὁ τῆς Ἠπείρου βασιλεὺς κατεῖχε, καὶ οἱ τοῦ Πύῤῥου διαδεξάμενοι. Ἄγρων δ' ἔμπαλιν τῆς τε Ἠπείρου τινὰ καὶ Κέρκυραν ἐπ' αὐτοῖς καὶ Ἐπίδαμνον καὶ Φάρον καταλαβὼν, ἔμφρουρα εἶχεν. ἐπιπλέοντος δ' αὐτοῦ καὶ τὸν ἄλλον 524.

*Lin.* 8. quum de CELTIS ſcriberem *Cand. in contextu. Sed idem in marg.* In alio volumine poſitum erat CUM DE CRETENSIBUS. *Contra Gradius in textu* de Creta; & Celtis *in marg.* *L.* 15 *ſq.* Κόρκυραν *h. l. Ven. Aug.*

*Illyridis* nomine complectuntur. Cujus ſive opinionis ſive denominationis unde duxerint initium, non potui reperire. Sed ea ad hunc ſane diem obtinet; quum & tributum iſtorum populorum, ab Iſtri inde fontibus ad mare uſque Ponticum, ſimul & uno nomine elocant, *Illyricum*que *tributum* adpellant. Qua ratione autem illos populos imperio ſuo ſubjecerint Romani, quæve fuerint ſingulorum bellorum initia atque occaſiones, jam profeſſus ſum, quum *de Creta* ſcriberem, mihi non ſatis eſſe compertum: eoque hortatus etiam ultro ſum, ut ſi quis certius quidpiam de rebus Illyricis haberet, id in medium velit proferre. Interea quæ mihi quidem licuit comperire, expediam.

7. AGRON partis *Illyrici rex* fuit, quæ ad Jonii maris pertinet ſinum; cujus ſinus imperium penes Pyrrhum, Epirotarum regem, & qui deinceps Pyrrho ſucceſſerunt, fuerat. Is *Agron* viciſſim & Epiri partem aliquam, & Corcyram præterea, & Epidamnum, Pharumque, bello capta, præſidiis tenebat. Cum autem cetero quoque Adriatico immineret, in-

A. U. Ἰόνιον, νῆσος, ᾗ ὄνομα Ἴσσα, ἐπὶ Ῥωμαίους κατέφυγεν. οἱ δὲ, πρέσβεις τοῖς Ἰσσίοις συνέπεμψαν, εἰσομένους τὰ Ἄγρωνος ἐς αὐτοὺς ἐγκλήματα. τοῖς δὲ πρέσβεσιν, ἔτι προσπλέουσιν, ἐπαναχθέντες Ἰλλυρικοὶ λέμβοι, τῶν μὲν Ἰσσίων πρεσβευτὴν Κλεέμπορον, τῶν δὲ Ῥωμαίων Κορογκάνιον, ἀναιροῦσιν· οἱ δὲ λοιποὶ διέδρασαν αὐτούς. Καὶ
525. ἐπὶ τῷδε Ῥωμαίων ἐπ' Ἰλλυριοὺς ναυσὶν ὁμοῦ καὶ πεζῷ στρατευόντων, Ἄγρων μὲν ἐπὶ παιδίῳ σμικρῷ, Πίννῃ ὄνομα, ἀποθνήσκει, τῇ γυναικὶ τὴν ἀρχὴν ἐπιτροπεύειν τῷ παιδὶ παραδοὺς, καίπερ οὐκ οὔσῃ μητρὶ τοῦ παιδίου. Δημήτριος δ', ὁ Φάρου ἡγούμενος Ἄγρωνι, (Φάρου τε γὰρ αὐτῆς ἦρχε, καὶ ἐπὶ τῇδε Κερκύρας·) παρέδωκεν ἄμφω Ῥωμαίοις ἐπιπλέουσιν, ἐκ προδοσίας. Οἱ δ' ἐπὶ ταύταις Ἐπίδαμνον ἐς φιλίαν ὑπηγάγοντο· καὶ τοῖς Ἰσσίοις καὶ Ἐπιδαμνίοις, πολιορκουμένοις ὑπὸ Ἰλλυριῶν, ἐς ἐπικουρίαν ἔπλεον. Ἰλλυριοὶ μὲν δὴ, τὰς πολιορκίας λύσαντες, ἀνε-

*Lin.* 18. Ἡσσὸς *Hæſch. cum tribus noſtris MSS. & ſic deinceps.* Eſſios *Cand. conſtanter.* Eſſos *Grad. Reponendum verum nomen duxi, in quo Scriptores omnes conſentiunt. Sic mox pro* Ἡσσίοις *&* Ἡσσίων *reſtitui* Ἰσσίοις, Ἰσσίων. *L.* 19. accuſationem deferentes *Cand. Hinc, puto, eſt* οἰσομ. *in marg. Hæſch. L.* 22. Calemporum *Cand. L.* 25. Ἄχρων *Hæſch. oper. err. Ibid.* Πίνῃ *h. l. Hæſch. Aug. & reliqui, excepto Ven. L.* 29. Κορκύρας *h. l. etiam Hæſch. cum MSS. L.* 30. ὑποπλέουσιν *Leid.*

ſula quædam; cui *Iſſa* nomen eſt, Romanorum imploravit auxilium. Hi legatos cum Iſſiis miſerunt, qui cognoſcerent, quamnam culpam *Agron* illis tribueret. In hos adhuc navigantes impetum faciunt *Illyrici* lembi, & Iſſiorum legatum Cleemporum, Romanorumque *Coruncanium interficiunt*; reliqui fuga evaſerunt. Qua de cauſa dum Romani Illyrios terra marique bello petunt, moritur interim Agron, infante filio ſuperſtite, cui *Pinnes* nomen erat; cujus tutelam novercæ commiſerat pater. *Demetrius* autem, *Phari præfectus*, eam inſulam, itemque Corcyram, (utraque enim in ditione Agronis fuerat) Romanis illuc adpellentibus prodidit. Qui, Epidamnenſibus quoque ad amicitiam ſuam adjunctis, tam ad Iſſam, quam ad Epidamnum, ab Illyriis obſeſſas, auxilia miſere. Neque fruſtra: nam Illyrii non

χώρουν. Καί τινες αὐτῶν ἐς Ῥωμαίους, οἱ Ἀτιντανοὶ λεγόμενοι, μετετίθεντο. Μετὰ ταῦτα δὲ ἡ Ἄγρωνος γυνὴ πρέσβεις ἐς Ῥώμην ἔπεμψε, τά τε αἰχμάλωτα ἀποδιδόντας αὐτοῖς, καὶ τοὺς αὐτομόλους ἄγοντας· καὶ ἐδεῖτο συγγνώμης τυχεῖν τῶν οὐκ ἐφ' ἑαυτῆς, ἀλλ' ἐπὶ Ἄγρωνος γενομένων. οἱ δὲ ἀπεκρίναντο· Κέρκυραν μὲν, καὶ Φάρον, καὶ Ἴσσαν, καὶ Ἐπίδαμνον, καὶ Ἰλλυριῶν τοὺς Ἀτιντανοὺς, ἤδη Ῥωμαίων ὑπηκόους εἶναι· Πίννην δὲ τὴν ἄλλην Ἄγρωνος ἀρχὴν ἔχειν, καὶ φίλον εἶναι Ῥωμαίοις, ἢν ἀπέχῃ τε τῶν προλελεγμένων, καὶ τὸν Λίσσον μὴ παραπλέωσιν Ἰλλυρικοὶ λέμβοι δυοῖν πλείονες, καὶ τούτοιν δὲ ἀνόπλοιν. Ἡ μὲν δὴ ταῦτα πάντα ἐδέχετο. A. U. 526.

VIII. Καὶ γίγνονται Ῥωμαίοις αἵδε πρῶται πρὸς Ἰλλυριοὺς πεῖραί τε καὶ συνθῆκαι. Ῥωμαῖοι δ' ἐπ' αὐταῖς, Κέρκυραν μὲν καὶ Ἀπολλωνίαν ἀφῆκαν ἐλευθέρας· Δημη-

*Lin.* 38. γραφ' καὶ ἑαυτῶν *margo Hæſch. Scil. in Aug. duæ literæ* ων *ab alia, ut videtur, manu ſcriptæ ſuper* ης *in* ἑαυτῆς. *Sed* ἐφ' ἑαυτῶν *Leid. L.* 43. καὶ τὴν Ἥσσον *Hæſch. & MSS. Correxi ex Polyb.* Lyſſum *dedit Gradius in ora libri. Ibid. ſq.* παραπλεύσειαν *Hæſch. invit. MSS. Secutus ſum lect. Ven. & Leid. cujus veſtigia etiam in mendoſa & hoc ipſo loco intricata Auguſtani ſcriptura cernuntur. L.* 44. δυεῖν *Aug. Leid. L.* 48. Κόρκυραν *Leid. & ſic idem l.* 39.

ſolum omiſſa obſidione ſeſe receperunt, ſed & pars eorum, *Atintani* qui vocantur, ad Romanos tranſiere. Poſt hæc Agronis uxor miſit Romam legatos, qui & captivos redderent, & transfugas traderent, veniamque orarent eorum, quæ non ſuo, ſed mariti, ſub imperio eſſent facta. Reſponſum accepere legati: *Corcyram, Pharum, Iſſam, Epidamnum, et ex Illyriis Atintanos, in populi Romani ditione jam eſſe. Pinnen reliquum paternum regnum poſſeſſurum, amicumque fore populi Romani: ſi ab his, quæ dicta ſunt, abſtineat arma; detque operam, ne plures ſimul quam duo lembi Illyrici, et hi quidem ipſi inermes, ultra Liſſum navigent.* Nec mora fuit in muliere, quin iſta omnia acciperet.

8. Hæ primæ Romanorum cum Illyriis contentiones, primaque fœdera, fuere. Quibus compoſitis, Romani Corcyram & Apolloniam libertate donarunt; *Demetrio* autem in proditionis mercedem caſtella

A. U. τρίῳ δ' ἔστιν ἃ χωρία μισθὸν ἔδοσαν τῆς προδοσίας·
ἐπειπόντες, ὅτι ἐν τοσῷδε διδόασι· τὴν ἀπιστίαν τοῦ ἀν-
532 sq. δρὸς ὑφορώμενοι. ἣ δὴ καὶ ἦρξεν αὐτοῦ μετ' ὀλίγον. Ῥω-
μαίων γὰρ Κελτοῖς ἐπὶ τριετὲς τοῖς ἀμφὶ τὸν Ἠριδανὸν
οὖσι πολεμούντων, ὁ Δημήτριος, ὡς ὄντων ἐν ἀσχολίᾳ,
τὴν θάλασσαν ἐλῄζετο, καὶ Ἴστρους ἔθνος ἕτερον Ἰλλυ-
ριῶν ἐς τοῦτο προσελάμβανε, καὶ τοὺς Ἀτιντανοὺς ἀπὸ
Ῥωμαίων ἀφίστη. οἱ δέ, ἐπεὶ τὰ Κελτῶν διετέθειτο, εὐθὺς
534. μὲν ἐπιπλεύσαντες, αἱροῦσι τοὺς λῃστάς· ἐς νέωτα δὲ
ἐστράτευον ἐπὶ Δημήτριον, καὶ Ἰλλυριῶν τοὺς συναμαρτόν-
τας αὐτῷ. Δημήτριον μὲν δή, πρὸς Φίλιππον τὸν Μακε-
δόνων βασιλέα φυγόντα, καὶ αὖθις ἐπιόντα, καὶ λῃ-
στεύοντα τὸν Ἰόνιον, κτείνουσι, καὶ τὴν πατρίδα αὐτῷ
Φάρον συναμαρτοῦσαν ἐπικατέσκαψαν. Ἰλλυριῶν δ' ἐ-

*Lin.* 49. Δημητρίῳ δ' * ἐστιάχῳ μισθὸν (*sic*) *Hæsch.* δ' ἐστιάχωπα *Aug. Ven.* δ' εστιάσχωπα *Leid.* & f. εστιασχωμα *ora Cod. Leid. Corruptum nomen, quod plane præterierunt Cand.* & *Gradius, emendavi ex conjectura.* *L.* 50. ἐπιπόντες *Ven.* & *Aug. a pr. m. Verbum illud cum quatuor ſqq. non expreſſerunt Cand.* & *Grad.* *L.* 51. *Forte* ὑφορώμενοι ἤδη. καὶ ἦρξεν αὐτῆς μετ' ὀλίγον. *L.* 52. τριετὲς καὶ τοῖς *Hæſch. cum MSS. noſtris. Omiſi* καὶ *cum Cand.* *L.* 54. Ἰστροὺς *Leid.* *Ibid. ſq.* Ἰλλυριὸν *Hæſch. Prætuli Ven. Leid.* *L.* 60 *ſq.* λῃστεύονται *Ven.* *L.* 62. ἐπικατέκαμψαν *Aug. mend.*

quædam conceſſerunt, diſerte adjecta conditione, *in tantum ea dari, quoad in fide eſſet permanſurus.* Jam tum enim ſuſpecta eis fides viri erat. Neque diu ille diſtulit ingenio ſuo uti. Dum enim bello cum Gallis circa Padum fluvium incolentibus, quod per tres annos duravit, occupati diſtractique erant Romani; *Demetrius*, capta ea occaſione, ad infeſtandum latrociniis mare ſe contulit, adjunctis ſibi in eam rem *Iſtris*, alia Illyrica gente: *Atintaniſque* auctor fuit deſciſcendi a Romanis. Romani autem, ut primum compoſitæ res cum Gallis fuere, piratas ſtatim claſſe perſecuti ſuſtulerunt. Demetrio, ejuſque defectionis ſociis, ſequenti anno arma intulere. Ac *Demetrium* quidem, quum ad Philippum Macedoniæ regem confugiſſet, & mox reverſus denuo Adriaticum mare eſſet deprædatus, *interfecerunt*; patriamque ejus Pharum, criminum ſociam, deleverunt. Illyriis autem, Pinnæ cauſa, iterum

φείσαντο διὰ Πίννην, αὖθις δεηθέντα. καὶ δεύτεραι πεῖ- *A. U.*
ραί τε καὶ συνθῆκαι πρὸς Ἰλλυριοὺς αὐτοῖς ἐγίγνοντο.

IX. Τὰ λοιπὰ δ᾽ οὔτι μοι πάντα χρόνῳ καὶ τάξει
μᾶλλον, ἢ κατὰ ἔθνος Ἰλλυριῶν ἕκαστον, ὅσα εὗρον, συγ-
γέγραπται. Ῥωμαῖοι Μακεδόσιν ἐπολέμουν, καὶ Περσεὺς
ἦν ἤδη Μακεδόνων βασιλεὺς μετὰ Φίλιππον· Περσεῖ δὲ 586
Γένθιος, Ἰλλυριῶν ἑτέρων βασιλεὺς, ἐπὶ χρήμασι συνε-
μάχει, καὶ ἐς τοὺς Ῥωμαίων Ἰλλυριοὺς ἐνέβαλε· καὶ πρέσ-
βεις Ῥωμαίων πρὸς αὐτὸν ἐλθόντας ἔδησεν, αἰτιώμενος,
οὐ πρέσβεις, ἀλλὰ κατασκόπους, ἐλθεῖν. Ἀνίκιος δὲ,
Ῥωμαίων στρατηγὸς, λέμβους τε τοῦ Γενθίου τινὰς εἷλεν
ἐπιπλεύσας, καὶ κατὰ γῆν αὐτῷ συνενεχθεὶς, ἐκράτει
τὴν μάχην, καὶ συνέκλεισεν ἔς τι χωρίον. ὅθεν αὐτῷ
δεομένῳ, ὁ μὲν Ἀνίκιος ἐκέλευσε, Ῥωμαίοις ἑαυτὸν ἐπι-
τρέψαι· ὁ δ᾽ ἐς βουλὴν ᾔτησε τρεῖς ἡμέρας, καὶ ἔλαβεν.
ἐν δὲ ταύταις τῶν ὑπηκόων αὐτοῦ πρὸς τὸν Ἀνίκιον μετα-
τιθεμένων, ἠξίωσεν ἐντυχεῖν τῷ Ἀνικίῳ, καὶ γονυπετὴς

*Lin.* 63. Πίννη *h. l. rurſus Hæſch. Aug. Sed* Πίννην *Leid.* *L.* 71. ἐς αὐτὸν ἐλθ. *Leid.* *L.* 75. ἐς τὸ χωρίον *Leid.*

deprecantis, venia conceſſa eſt. Et ſecunda quidem Romanorum cum Illyriis contentio, ejuſque compoſitio, hujuſmodi fuit.

9. Quæ ſequuntur, non tam univerſa ſuis temporibus, quam ſingula per *nationes Illyriorum*, prout quæque reperi, a me perſcripta ſunt. Qua tempeſtate populus Romanus bellum gerebat adverſus Macedonas & regem Perſen, qui Philippo ſucceſſerat; GENTHIUS, aliorum rex Illyriorum, pecunia invitatus, ſocietatem armorum iniit cum *Perſeo*, & in Illyricum Romanam provinciam impetum fecit; legatoſque ea de re ad eum ab ſenatu miſſos conjecit in vincula, exploratores illos, non legatos eſſe, cauſatus. Contra quem *Anicius* a Romanis cum claſſe & exercitu miſſus, mari lembos nonnullos Genthii cepit; moxque terra cum eo congreſſus, acie ſuperatum, in arce quadam obſedit; indeque ſupplicem, Romanis ſeſe dedere, juſſit. *Genthius*, tridui ſpatio ad deliberandum poſtulato impetratoque, quum illis ipſis diebus gens univerſa ei ſubjecta Romanis ſeſe tradidiſſet, oravit, ut ipſum Anicium adire ſibi liceret: & ad genua ejus pro-

A. U. ἐδεῖτο αὐτοῦ πάνυ αἰσχρῶς. ὁ δὲ αὐτὸν ἐπιθαῤῥύνων κα-
τεπληχότα, ἀνίστη. καὶ καλέσας ἐπὶ ἑστίασιν, ἀπιόντα
ἀπὸ τοῦ δείπνου προσέταξε τοῖς ὑπηρέταις ἐς φυλακὴν
ἐμβαλεῖν. Καὶ τόνδε μὲν ἐς θρίαμβον ἅμα τοῖς παισὶν
ὁ Ἀνίκιος ἐς Ῥώμην ἤγαγε. καὶ ὁ Γενθίου πόλεμος ἅπας
587. εἴκοσιν ἡμέραις πεπολέμητο. Ἑβδομήκοντα δὲ αὐτοῦ
πόλεις οὔσας, Αἰμίλιος Παῦλος ὁ τὸν Περσέα ἑλὼν, τῆς
βουλῆς ἐπιστειλάσης ἐν ἀποῤῥήτῳ, ἐπανιὼν ἐς Ῥώμην,
παρώδευεν ἐπίτηδες. καὶ δεδιόσιν αὐτοῖς ὑπέσχετο συγ-
γνώσεσθαι τῶν γεγονότων, ἐὰν ὅσον ἔχουσιν ἀργύριόν τε
καὶ χρυσίον εἰσενέγκωσιν. ὑποδεξαμένων δὲ ἐκείνων, συνέ-
πεμπεν αὐτοῖς τοῦ στρατοῦ μέρος ἐς πόλιν ἑκάστην, ὁρί-
σας ἡμέραν τοῖς στρατηγοῦσι τοῦ στρατοῦ πᾶσι τὴν αὐ-
τήν· καὶ ἐντειλάμενος, ἅμα ἕω κηρύσσειν ἕκαστον ἐν
ἑκάστῃ πόλει, τρισὶν ὥραις ἐς τὴν ἀγορὰν τὰ χρήματα
φέρειν· συνενεγκόντων δὲ, τὰ λοιπὰ διαρπάσαι. οὕτω
μὲν ὁ Παῦλος ἑβδομήκοντα πόλεις διήρπασεν ὥρᾳ μιᾷ.

*Lin.* 80. αὐτοῦ ἐδεῖτο *Leid. Correxi cum Grad. & Musgr.*
*L.* 95. διαρπάσας *Hæsch. cum MSS.*

volutus, abjecta utique ratione veniam ab eo precatus est. *Anicius* trepidantem erexit, & non solum verbis confirmavit, sed cœnæ etiam adhibuit. Redeuntem autem a cœna comprehendi a lictoribus, & in vincula conjici jussit; moxque una cum filiis triumphandum Romam abduxit. Et cum *Genthio* quidem intra viginti dies debellatum est. Septuaginta autem oppida, quæ illi paruerant, *Æmilius Paulus*, confecto Macedonico bello, secretis a senatu mandatis acceptis, cum rediret in Italiam, de industria transivit; metuentibusque veniam eorum quæ commiserant hac conditione pollicitus est, *si, quidquid auri argentique haberent, contulissent tradidissentque.* Quod quum illi non abnuerent; misit in unamquamque civitatem partem copiarum, eodem omnibus ducibus die constituto, quo ad auroram illorum quisque oppidanis per præconem pecuniam intra tres horas omnem in forum conferendam ediceret, tum vero, ablata pecunia, simul reliqua omnia diriperet. Sic *a Paulo una hora septuaginta oppida spoliata* sunt.

A. U.

X. Ἀρδεῖοι δὲ καὶ Παλάριοι, γένη ἕτερα Ἰλλυριῶν, τὴν
ὑπὸ Ῥωμαίους Ἰλλυρίδα ἐδῄουν· καὶ οἱ Ῥωμαῖοι δι' ἀσχο-
λίαν πρέσβεις ἔπεμψαν, ἐπιπλήξοντας αὐτοῖς. οὐ με-
ταθεμένων δὲ ἐκείνων, ἐστράτευον ἐπ' αὐτοὺς μυρίοις πε-
ζοῖς καὶ ἱππεῦσιν ἑξακοσίοις. οἱ δὲ, πυθόμενοι, καὶ ἔτι
ὄντες ἀπαράσκευοι, πρέσβεις ἔπεμψαν, μεταγινώσκον-
τες καὶ δεόμενοι. καὶ ἡ βουλὴ τὰς βλάβας αὐτοῖς ἐκέ-
λευσεν ἀποδοῦναι τοῖς ἠδικημένοις. οὐκ ἀποδιδόντων δὲ, 619.
ἐστράτευεν ἐπ' αὐτοὺς Φούλβιος Φλάκκος. καὶ ὁ πόλεμος
ἄρα μέχρι καταδρομῆς ἔληξε μόνης· οὐ γὰρ εὗρον αὐτοῦ
τέλος ἀκριβές. Ἰάποσι δὲ, τοῖς ἐντὸς Ἄλπεων, ἐπολέ- 625.
μησε μὲν Σεμπρώνιος, ὁ Τουδιτανὸς ἐπίκλην, καὶ Παν-
δούσας Τιβέριος. καὶ ἐοίκασιν οἱ Ἰάποδες αὐτοῖς ὑπακοῦ-
σαι· ἐοίκασι δὲ καὶ Σεγεστανοὶ Λευκίῳ Κόττᾳ καὶ Μετέλ- 635.
λῳ· ἀμφότεροι δ' οὐ πολὺ ὕστερον ἀποστῆναι.

*Lin.* 97. Ardiei *Cand.* Ardiæi *Grad. ut* Ἀρδιαῖοι *videri possit legendum. Forte* Οὐαρδεῖοι. *L.* 98 *sq.* δι' ἀσχολίας *Hæsch. invit. MSS. L.* 9. Τουρδιτανὸς *Aug. Ven. Leid. Ibid. sq.* Tiberius Pandusius *Cand. & ex eo Pighius. L.* 11. Γεστλανοὶ *Hæsch. Aug. Ven.* Γιτανοὶ *Leid. Secutus sum Cand. & Grad.*

10. *Ardeos* (*vel* Vardeos) & *Palarios*, alios Illyriæ populos, cum Illyricum Romanam provinciam invasissent, Romani, aliis distracti curis, per legatos ab injuriis absterrere conati sunt. Quibus quum illi non paruissent, exercitum contra eos decem millium peditum, sexcentorum equitum, conscripserunt. Quod postquam his est renunciatum, cum ad id bellum haud satis essent parati, mutato consilio Romam legatos miserunt, veniam oratum. Senatus damnorum æstimationem his, quos injuria adfecissent, exsolvere illos jussit. Quod quum negligentius facerent, *Fulvius Flaccus* contra eos cum exercitu missus est. Sed id quidem bellum non ultra excursionem processit; neque enim ei certum finem impositum reperio. Adversus *Japydas*, quibus intra Alpes sedes est, *Sempronius Tuditanus*, & *Tiberius Pandusa* gessere bellum. Verique simile est, ab his ad imperata facienda compulsam esse eam gentem; itemque *Segestanos* a *L. Cotta* & *Metello*: verum non multo post defecisse utrosque.

A. U. 598.

XI. Δαλμάται δὲ, Ἰλλυριῶν ἕτερον γένος, Ἰλλυριοὺς τοὺς ὑπὸ Ῥωμαίοις κατέθεον, καὶ πρέσβεις ἀφικομένους περὶ τοῦδε Ῥωμαίων οὐ προσίεντο. στρατεύουσιν οὖν ἐπ' αὐτοὺς οἱ Ῥωμαῖοι, Μαρκίου Φίγλου σφῶν ὑπατεύοντός τε καὶ ἐς τὸν πόλεμον ἡγουμένου. οἱ δὲ, ἄρτι τοῦ Φίγλου παραστρατοπεδεύοντος, τὰς φυλακὰς ἐνίκων ἐπιδραμόντες, καὶ αὐτὸν ἐκ τοῦ στρατοπέδου κατήραξαν ἐς πεδίον πρανὲς, μέχρι ἐπὶ Νάρωνα ποταμὸν ἧκεν ὑποφεύγων. ὡς δὲ οἱ μὲν ἀνεχώρουν· (ἀρχὴ δὲ χειμῶνος ἦν·) ὁ Φίγλος, ἐλπίσας αὐτοῖς ἀδοκήτως ἐπιπεσεῖσθαι, συνεῤῥυηκότας εὗρεν ἐκ τῶν πόλεων, πρὸς τὴν ἔφοδον αὐτοῦ. καὶ συνήλασεν ὅμως ἐς πόλιν Δελμίνιον· ὅθεν ἄρα καὶ τὸ ὄνομα αὐτοῖς ἐς Δαλματέας, εἶτα Δαλμάτας, ἐτράπη. οὐδὲν δὲ πρὸς ἐχυρὰν πόλιν ἐξ ἐφόδου δυνάμενος, οὐδὲ μηχανήμασιν ἔχων χρῆσθαι διὰ τὸ ὕψος, ᾕρει τὰς ἀλ-

*Lin.* 14. ὑπὸ Ῥωμαίους *fuerat in Aug. ut ſupra: ſed dextrum crus literæ* υ *eraſum.* *L.* 16. οἱ, *ante* Ῥωμαῖοι, *caret Hæſch. invitis MSS.* *Ibid.* ὑποπλεύοντος *Aug. Leid.* *L.* 22 *ſq.* συνεῤῥυηκότας *Leid.* *L.* 25. ἐς Δαλματαίας *Hæſch. cum MSS. noſtris.* *Utrum* Δελμ. *h.l. ſecunda litera* ε *ſcripſerit noſter, quod manifeſtum viſum erat Weſſelingio, dubitare licet. Hoc certum mihi viſum eſt, terminationem* αιας *in* εας *eſſe mutandam.*

II. DALMATÆ, alia item Illyriorum natio, quum in Illyrios populo Romano ſubjectos incurſionem feciſſent, legatoſque ea de cauſa Roma venientes non recepiſſent, bello petiti ſunt, *M. Figuli* conſulis auſpiciis. Hunc primo adventu, dum caſtra metatur, impetu in præſidium facto, eoque profligato, adoriuntur hoſtes; caſtriſque ejectum in proclives campos depellunt, & ad Naronem uſque fluvium fuga ſe recipere cogunt. Hinc quum domum hoſtes eſſent reverſi; (jam enim hiems aderat:) *Figulus*, ſperans inopinantes a ſe opprimi poſſe, eoſdem ad adventus ſui famam jam rurſus ex oppidis propere congregatos invenit. Fugatos tamen, in *Delminium* urbem, (a cujus nomine totius regionis incolæ, levi facta mutatione, *Dalmatenſes*, ac deinde *Dalmatæ*, vocati ſunt,) compulit. Quum autem ex itinere expugnare urbem valide munitam non poſſet, & machinas admovere altitudo loci, quo ſita

λας ἐπιθέων, ἐρημοτέρας ἀνδρῶν ὑπὸ τῆς ἐς τὸ Δελμίνιον A. U.
συνόδου γενομένας. εἶτα διπήχεις κορύνας, πίσσῃ καὶ
θείῳ καὶ στυππίῳ περιβαλὼν, ἐς τὸ Δελμίνιον ἐκ κατα-
πελτῶν ἐσφενδόνα. αἱ δ᾽ ὑπὸ τῆς ῥύμης ἐξεκαίοντο, καὶ
φερόμεναι καθάπερ λαμπάδες ὅπου τύχοι ἐνεπίμπρα-
σαν· ἕως πολλὰ μὲν κατεπρήσθη, καὶ τέλος ἄρα τοῦτο
ἦν τότε Φίγλῳ τοῦ Δαλματῶν πολέμου. χρόνῳ δ᾽ ὕστε- 635.
ρον Καικίλιος Μέτελλος ὑπατεύων οὐδὲν ἀδικοῦσι τοῖς Δαλ-
μάταις ἐψηφίσατο πολεμεῖν, ἐπιθυμίᾳ θριάμβου. καὶ
δεχομένων αὐτὸν ἐκείνων ὡς φίλον, διεχείμασε παρ᾽ αὐ-
τοῖς ἐν Σαλώνῃ πόλει· καὶ ἐς Ῥώμην ἐπανῆλθε, καὶ ἐ-
θριάμβευσε.

XII. Τοῦ δὲ Καίσαρος ἡγουμένου Κελτῶν, οἱ Δαλμά-
ται οἵδε, καὶ ὅσοι ἄλλοι Ἰλλυριῶν τότε μάλιστα διευτύχουν,
Λιβυρνοὺς, ἕτερον ἔθνος Ἰλλυριῶν, Πρωμόναν πόλιν ἀφεί-
λοντο. οἱ δὲ, σφᾶς Ῥωμαίοις ἐπιτρέποντες, ἐπὶ τὸ νΚαί- 704.

*Lin.*32. τύχοιεν ἐπίμπρασαν *Hæsch.* τύχοι ἐν ἐπιμπρ. (*sic*) *Aug. Expressi Ven. & Leid. L.* 33. *Nescio an exciderit nonnihil post* κατεπρήσθη. *L.* 42. Προμόναν *h. l. Hæsch. Aug. Et sic mox iterum* (*l.* 45.) *Hæsch. invit. MSS.*

urbs erat, vetaret; in alia prius oppida, quæ ob concursum in Delminium infrequentiora erant, impetum fecit. Quibus expugnatis, ad *Delminium* reversus, bicubitales clavas, pice sulfureque oblitas stupaque obligatas, ex catapultis in urbem jaculatus est: quæ ipso impetu succensæ, & facum instar ardentium volitantes, quæcumque adtigissent, inflammabant, ut magna pars urbis incendio deleretur. Isque finis fuit belli adversus Dalnratas a Figulo gesti. Interjecto tempore, *Cæcilius Metellus* consul, quum nihil deliquissent Dalmatæ, triumphi cupidine perfecit, ut bellum suis auspiciis *adversus Dalmatas* gerendum decerneretur. A quibus quum esset amice exceptus; *Salonæ* apud eos hiberna egit: Romamque reversus, triumphavit.

12. Quo vero tempore Galliæ provinciæ cum imperio præfuit CÆSAR, iidem illi *Dalmatæ*, aliique Illyrii, quorum tum maxime res florentiores erant, *Liburnis*, alii populo Illyrico, *Promonam* urbem abstulerunt. Liburni, populi Romani fidei sese permittentes, Cæsaris in propinquo

A. U. σαρα ἐγγὺς ὄντα κατέφευγον. ὁ δὲ ἔπεμψε μὲν, καὶ προηγόρευσε τοῖς ἔχουσι τὴν Πρωμόναν, ἀποδοῦναι τοῖς Λιβυρνοῖς. οὐ φροντισάντων δὲ ἐκείνων, τέλος ἔπεμψε στρατοῦ πολλοῦ, οὓς ἅπαντας ἔκτειναν οἱ Ἰλλυριοί. καὶ ὁ Καῖσαρ οὐκ ἐπεξῆλθεν, οὐ γὰρ ἦν οἱ σχολὴ τότε στασιάζοντι πρὸς
706. Πομπήϊον. Ἐκραγείσης δὲ ἐς πόλεμον τῆς στάσεως· ὁ μὲν Καῖσαρ μεθ' ὅσων εἶχεν ἐκ Βρεντεσίου χειμῶνος τὸν Ἰόνιον ἐπέρα, καὶ Πομπηΐῳ κατὰ Μακεδονίαν ἐπολέμει. τοῦ δ' ἄλλου στρατοῦ, τὸν μὲν Ἀντώνιος ἐς τὴν Μακεδονίαν ἦγε τῷ Καίσαρι, περῶν καὶ ὅδε τὸν Ἰόνιον χειμῶνος ἄκρου. σπείρας δὲ πεζοῦ πεντεκαίδεκα, καὶ τρισχιλίους ἱππέας, Γαβίνιος ἦγεν αὐτῷ διὰ τῆς Ἰλλυρίδος, περιοδεύων τὸν Ἰόνιον. Οἱ δὲ Ἰλλυριοὶ, φόβῳ τῶν οὐ πρὸ πολλοῦ γεγονότων ἐς Καίσαρα, τὴν νίκην αὐτοῦ νομίζοντες ὄλεθρον γενέσθαι ἑαυτοῖς, κτείνουσι πάντα τὸν ὑπὸ τῷ Γαβινίῳ στρατὸν, ἐπιδραμόντες, χωρὶς αὐτοῦ Γαβινίου καὶ ὀλίγων

*Lin.* 46 *ſq.* τέλος ἔπεμψε στρατὸν πολλὸν *Hæſch. invit. MSS.* *L.* 50 *ſq.* ἐς τὸν Ἰόνιον ἐπέρα *Hæſch. cum MSS. Delendam duxi præpoſitionem.* *L.* 51. κατὰ Μακεδονίας *Hæſch. invit. MSS.* *Ibid. Verba* καὶ Πομπ. κατὰ Μακεδ. ἐπολεμ. *non expreſſit Gradius.*

agentis opem implorarunt. Et miſit Cæſar qui tenentibus *Promonam* denunciarent, ut Liburnis redderent oppidum. Quod imperium quum illi contemnerent, *validam armatorum manum* ſubmiſit; qui *omnes ab Illyriis* ſunt *conciſi.* Neque ultus eſt id facinus *Cæſar*; quoniam Pompejanæ diſcordiæ implicito ſatis in eam rem non fuit otii. Poſtquam autem in bellum erupit diſcordia; Cæſar cum copiis, quas ſecum habebat, hieme Brundufio ſolvens Adriaticum trajecit, Pompejoque in Macedonia verſanti intulit bellum. Reliqui autem exercitus partem Antonius, & ipſe ſumma hieme Adriaticum tranſmittens, ad Cæſarem in Macedoniam duxit. Cohortes vero peditum quindecim, cum tribus millibus equitum, *Gabinius* eidem *Cæſari per Illyriam adducere inſtituit*, ora Adriatici circuitu peragrata. *Illyrii*que, timentes ſibi propter ea quæ paulo ante commiſiſſent in Cæſarem, reputanteſque victoriam Cæſaris exitio ſibi futuram, impetu facto, *univerſum Gabinii exercitum* (excepto ipſo Gabinio, pauciſque fuga elapſis) *interfecerunt*:

A. U. 706.

διαφυγόντων. καὶ ἐς χρήματα τότε μάλιστα καὶ τὴν ἄλλην ἰσχὺν ἐκ τοσῶνδε λαφύρων ἔστησαν.

XIII. Ὁ δὲ Καῖσαρ ἠσχολεῖτο μὲν ὑπ' ἀνάγκης ἐς Πομπήϊον, καὶ, Πομπηΐου καθαιρεθέντος, ἐς τὰ ὑπόλοιπα τῆς ἐκείνου στάσεως, πολυμερῆ γενόμενα. καταστησάμενος δὲ πάντα, ἐπανῆλθεν ἐς Ῥώμην, καὶ ἐστράτευσεν ἐπὶ Γέτας τε καὶ Παρθυαίους. ἔδεισαν οὖν οἱ Ἰλλυριοὶ, μὴ ἐν ὁδῷ σφίσιν οὖσιν ἐπιθοῖτο. καὶ πρέσβεις πέμψαντες ἐς Ῥώμην, ᾔτουν τε συγγνώμην τῶν γεγονότων, καὶ ἐς φιλίαν ἑαυτοὺς καὶ συμμαχίαν ἐδίδοσαν, ὡς περὶ ἔθνους ἀλκίμου μάλιστα σεμνολογούμενοι. Ὁ δὲ ἐπειγόμενος ἄρα ἐς Παρθυαίους, σεμνότερον ὅμως αὐτοῖς ἀπεκρίνατο· Φίλους μὲν οὐ θήσεσθαι τοὺς τοιαῦτα δεδρακότας· συγγνώσεσθαι δὲ, εἰ φόρους ὑποσταῖεν, καὶ ὅμηρα δοῖεν. Ὑπισχνουμένων δὲ ἐς ἀμφότερα αὐτῶν, Οὐατίνιον ἔπεμψε σὺν στρατοῦ τέλεσι τρισὶ, καὶ ἱππεῦσι πολλοῖς,

*Lin.* 67. ἐπιθοῖντο *Hæsch. cum MSS. nostris. Dedi singularem numerum cum Cand. & Grad.* *L.* 74. Ατίννιον *Hæsch. cum MSStis nostris, & sic deinceps.* Atinium *Cand. Grad. Truncatum nomen in integrum restitui, monente alibi ipso Scriptore nostro.* *L.* 75. τρισὶ *caret Hæsch. cum MSS. Aug. Leid. & Vaticano Gradii. Dedit MS. Ven. & Cand.*

magnamque tum maxime, ex tantis spoliis, cum pecuniæ vim, tum aliorum belli adparatuum copiam, obtinuerunt.

13. *Cæsar* per id tempus gerendis adversus Pompejum rebus, &, mortuo Pompejo, reliquiis earumdem partium profligandis, quæ multæ ac variæ supererant, erat distentus. Sed rebus omnibus compositis, quum, Romam reversus, bellum adversus Getas & Parthos pararet; metuentes *Illyrii*, ne se in itinere positos adgrederetur, *Romam legatos miserunt*, qui præteritorum veniam poscerent, seque in amicitiam Cæsaris societatemque darent; Illyriorum gentem, veluti fortitudine longe præstantissimam, verbis extollentes. *Cæsar*, quamquam ad bellum adversus Parthos festinaret, tamen pro dignitate populi Romani *respondit:* „Amicorum quidem loco minime se habiturum eos, qui talia patrassent; veniam tamen daturum, si se tributo subjicere, obsidesque dare vellent." Quorum quum utrumque pollicerentur *Illyrii*; *Vatinium* cum tribus legioni-

A. U. 706. φόρους τε ὀλίγους τάξοντα αὐτοῖς, καὶ τὰ ὅμηρα ληψόμενον. Ἀναιρεθέντος δὲ τοῦ Καίσαρος, ἡγούμενοι τὴν Ῥωμαίων ἰσχὺν ἐν τῷ Καίσαρι γεγονέναι τε καὶ διεφθάρθαι, οὐδὲν ἔτι τοῦ Οὐατινίου κατήκουον, οὔτε ἐς τοὺς φόρους, οὔτε ἐς τὰ ἄλλα. βιάζεσθαι δὲ ἐγχειροῦντος, αὐτοὶ πέντε τάξεις, ἐπιδραμόντες, ἔφθειραν, καὶ τὸν ἡγούμενον τῶν τάξεων Βαίβιον, ἄνδρα ἀπὸ βουλῆς. καὶ Οὐατίνιος μὲν, σὺν τοῖς ὑπολοίποις, ἐς Ἐπίδαμνον ἀνεχώρει. ἡ δὲ Ῥωμαίων βουλὴ τὸν στρατὸν τόνδε, καὶ Μακεδονίαν ἐπ᾿ αὐτῷ, καὶ Ἰλλυριοὺς ὅσων ἦρχον, ἐνεχείρισε Βρούτῳ Καιπίωνι, τῷ κτείναντι Γάϊον, ὅτε περ καὶ Συρίαν Κασσίῳ, καὶ τῷδε ἀνδροφόνῳ Γαΐου γενομένῳ. ἀλλὰ καὶ οἵδε, πολεμούμενοι πρὸς Ἀντωνίου καὶ τοῦ δευτέρου Καίσαρος, τοῦ Σεβαστοῦ προσαγορευθέντος, ἐς οὐδὲν ἐσχόλασαν Ἰλλυριοῖς.

XIV. Οἱ

*Lin.* 81. ἔφθειρον *Hæsch. invito Aug.* & *Leid.* *L.* 82. Βέσβαιον *Hæsch. Aug. Ven.* Βέβαιον *Leid. Sed ibi margo* f. Βαίβιον. Bebium *Cand. Grad. Ibid. sq.* μὲν οὖν σὺν *Leid.* *L.* 83 *sq.* Ῥωμαίων *caret Ven. nec expressit Grad.* *L.* 85. ὅσον ἦρχε *Aug. mend.* *Ib.* Καπίωνι *Aug. Ven.* Κεπίωνι *Leid.* Marco Bruto *Cand. Grad. nec exprimunt* Καιπίωνι. *L.* 86. ὥσπερ καὶ τὴν Συρίαν Κασσίῳ *Leid.* *L.* 89. τοῖς Ἰλλυρικοῖς *Leid.*

bus & magno numero equitum misit, qui levia quædam eis tributa imponeret, obsidesque reciperet. Sed *interfecto Cæsare*, quum robur populi Romani in ipso Cæsare exstitisse & cum eodem interiisse putarent *Dalmatæ*; *Vatinii* dictis jam neque quoad tributa, neque alia ulla in re, amplius audientes erant. Et postquam vi cum eis agere cœpit Vatinius; ipsi *quinque cohortes*, *cum* earum *duce Bæbio*, senatorii ordinis viro, *conciderunt*. Quo facto Vatinius cum reliquis Epidamnum se recepit: & eum exercitum, simul cum Macedonia provincia & Illyrici ea parte quæ Romanæ ditionis erat, *Bruto Cæpioni*, ei, qui Cæsarem interfecerat, senatus Romanus tradidit; quo tempore & Syriam Cassio, ejusdem cædis socio, regendam concessit. Sed hi quoque, bello adversus Antonium & alterum Cæsarem, cui Augusto cognomen fuit, distenti, nihil quidquam adversus Illyrios gerendi spatium habuerunt.

14. PÆONES

XIV. Οἱ δὲ Παίονες εἰσὶν ἔθνος μέγα παρὰ τὸν Ἴστρον, ἐπίμηκες ἐξ Ἰαπόδων ἐπὶ Δαρδάνους· Παίονες μὲν ὑπὸ τῶν Ἑλλήνων λεγόμενοι, καὶ Ῥωμαϊστὶ Παννόνιοι· συναριθμούμενοι δὲ ὑπὸ Ῥωμαίων τῇ Ἰλλυρίδι, ὡς προεῖπον. διὸ καὶ περὶ τῶνδέ μοι δοκεῖ νῦν κατὰ τὰ Ἰλλυρικὰ εἰπεῖν. ἔνδοξοι δ᾽ εἰσὶν ἐκ Μακεδόνων, δι᾽ Ἀγριᾶνας· οἳ, τὰ μέγιστα Φιλίππῳ καὶ Ἀλεξάνδρῳ κατεργασάμενοι, Παίονές εἰσι τῶν κάτω Παιόνων, Ἰλλυριοῖς ἄποικοι. ἐπεὶ δ᾽ ἐπὶ τοὺς Παίονας ἐστράτευσε Κορνήλιος, κακῶς ἀπαλλάξας, μέγα δέος Παιόνων Ἰταλοῖς ἅπασιν ἐνεποίησε, καὶ ἐς πολὺ τοῖς ἔπειτα ὑπάτοις ὄκνον ἐπὶ Παίονας ἐλαύνειν. Τὰ μὲν δὴ πάλαι τοσαῦτα περὶ Ἰλλυριῶν καὶ Παιόνων ἔσχον εὑρεῖν. ἐν δὲ τοῖς ὑπομνήμασι τοῦ δευτέρου Καίσαρος, τοῦ κληθέντος καὶ Σεβαστοῦ, παλαιότερον μὲν οὐδὲν οὐδ᾽ ἐν τοῖσδε περὶ Παιόνων εὗρον. *A. U.*

*Lin.* 91. Δαρδανοὺς *Leid.* *L.* 97. Ἰλλυριῶν ἄποικοι *utique videtur legendum.* *L.* 1. ἐλαύνη *Ven. & Aug. in quo ab ead. manu videtur in* ἐλαύνει *mutatum, quod edidit Hæſch. Verum dedit Leid. quod expreſſerunt Cand. & Grad.* *L.* 4. οὐδ᾽ ἐν *caret Leid. male.*

14. PÆONES vel PANNONII populus ſunt ad Iſtrum magnus, cujus ſedes a Japydibus in longum ad Dardanos uſque porriguntur. *Pæonas* Græci, Latini *Pannonios*, vocant. *Adtributi* ſunt autem a Romanis *Illyrico*, ut jam ante dixi: eaque de cauſa mihi, *Res Illyricas* exſequenti, non ſunt prætermittendi. Magna autem gentis eſt claritudo a Macedonum inde temporibus, propter *Agrianas*, quorum opera longe præſtantiſſima Philippus & Alexander uſi ſunt. Pæones etenim illi ex *inferiori Pæonia* ſunt, Illyriorum colonia. Pannoniorum autem, poſt *Cornelii expeditionem* adverſus eos *infelici exitu ſuſceptam*, tantus terror invaſit Italos omnes, ut per longum tempus inſequentes conſules non auſi ſint *contra Pæonas* ducere exercitum. De vetuſtioribus Illyricorum & Pannoniorum Pœonumve rebus, præter hæc nihil potui comperire: ac de Pæonibus quidem vel Pannoniis vetuſtius nihil ne in *Cæſaris Auguſti* quidem *Commentariis*, quo loco de Pannoniis agit, quidquam inveni.

A. U.

XV. Ἰλλυριῶν δέ μοι φαίνεται χωρὶς τῶν εἰρημένων ἐθνῶν καὶ ἕτερα Ῥωμαίων προϋπακοῦσαι. καὶ ὅπως μὲν, οὐκ ἔγνων. οὐ γὰρ ἀλλοτρίας πράξεις ὁ Σεβαστὸς, ἀλλὰ τὰς ἑαυτοῦ συνέγραφεν. ὡς δ' ἀποστάντας ἐς τοὺς φόρους ἐπανήγαγεν, καὶ ἑτέρους ὡς ἀρχῆθεν ἔτι ὄντας αὐτονόμους εἷλε, καὶ πάντας ἐκρατύνατο ὅσοι τὰς κορυφὰς οἰκοῦσι τῶν Ἄλπεων, βάρβαρα καὶ μάχιμα ἔθνη, καὶ κλωπεύοντα τὴν Ἰταλίαν ὡς γείτονα. καί μοι θαῦμά ἐστιν, ὅτι καὶ πολλοὶ καὶ μεγάλοι Ῥωμαίων στρατοὶ ἐπὶ Κελτοὺς καὶ Ἴβηρας διὰ τῶν Ἄλπεων ὁδεύοντες, ὑπερεῖδον τάδε τὰ ἔθνη· καὶ οὐδὲ Γάϊος Καῖσαρ, εὐτυχέστατος ἐς πολέμους ἀνὴρ, ἐξήνυσεν αὐτὰ, ὅτε Κελτοῖς ἐπολέμει, καὶ δέκα ἔτεσιν ἀμφὶ τήνδε τὴν χώραν ἐχείμαζεν. ἀλλά μοι δοκοῦσιν οἱ μὲν, ἐφ' ἃ ἠρέθησαν ἐπειγόμενοι, τῆς διόδου τῶν Ἄλπεων μόνης φροντίσαι· ὁ δὲ Γάϊος ἀμφί τε τὰ Κελτικὰ γενέσθαι, καὶ, τῆς στάσεως

*Lin.* 6. δέ μοι δοκεῖ *Leid.* *L.* 9. ὡς δὴ *aut* ὡς καὶ ἀποστάντας *legendum videtur. Forsan &* ὃς καὶ ἀποστ. *L.* 17. ἐξέωσεν αὐτὰ *Hæsch. sua auctoritate, invitis MSS.*

15. Ceterum alios item Illyriorum populos, præter hos, quorum mentionem feci, jam ante paruisse Romanis, satis quidem video. Sed qua potissimum ratione id factum sit, non habeo compertum. Neque enim aliorum res gestas, sed suas tantummodo, exposuit *Augustus*; quo pacto scilicet descisсentes populos ad obsequium rursus & ad tributa compulerit, alios libertate ad ipsius ætatem usos vi subegerit, denique omnes *qui summas Alpes incolunt* populos, barbaros illos bellicososque, qui vicinam Italiam sæpius erant depopulati, perdomuerit. Ac mirum quidem videri potest, a Romanis, quorum multi magnique exercitus, contra Gallos atque Hispanos ducti, Alpes superaverunt, populos istos semper fuisse neglectos; & ne a *Cajo* quidem *Cæsare*, fortunatissimo imperatore, toto decennio, quo, bellum cum Gallis gerens, circa ea loca hibernavit, fuisse debellatos. Sed nimirum videntur illi, ad suscepta negotia properantes, de exercitibus suis per Alpes trajiciendis solum cogitasse; Cæsar autem, primum Gallicis rebus, dein mo-

τοῦ Πομπηΐου τὰ Κελτικὰ ἐπιλαβούσης, τὸ τούτων τέλος ὑπερθέσθαι. Φαίνεται μὲν γὰρ καὶ Ἰλλυρίδος ἅμα Κελτοῖς αἱρεθεὶς ἄρχειν. οὐ πάσης δ᾽ ἄρα ἦρχεν, ἀλλ᾽ ὅση τις ἦν τότε Ῥωμαίοις Ἰλλυρίς. *A. U.*

XVI. Ὁ δὲ Σεβαστὸς πάντα ἐχειρώσατο ἐντελῶς, καὶ ἐν παραβολῇ τῆς ἀπραξίας Ἀντωνίου, κατελογίσατο τῇ βουλῇ, τὴν Ἰταλίαν ἡμερῶσαι δυσμάχων ἐθνῶν, θαμινὰ ἐνοχλούντων. Ὀξυαίους μὲν δὴ, καὶ Περθεηνάτας, 719. καὶ Βαθιάτας, καὶ Ταυλαντίους, καὶ Καμβαίους, καὶ Κινάμβρους, καὶ Μερομέννους, καὶ Πυρισσαίους, εἷλε δι᾽ ὅλης πείρας. ἔργῳ δὲ μείζονι ἐλήφθησαν, καὶ φόρους ὅσους ἐξέλιπον ἠναγκάσθησαν ἀποδοῦναι, Δοκλεᾶται τε καὶ Κάρνοι καὶ Ἰντερφρουρῖνοι καὶ Ναρήσιοι καὶ Γλιντιδίωνες καὶ Ταυρίσκοι. ὧν ἁλόντων, οἱ ὅμοροι προσέθεντο αὐτῷ καταπλαγέντες, Ἱππασῖνοί τε καὶ Βεσσοί. ἑτέρους

*Lin.* 24. *pro* οὐ πάσης *dat* τῆς πάσης *Leid.* *L.* 25. Ῥωμαίοις τότε *Leid.* *L.* 27. κατελογήσατο *Hæſch. invitis MSS.* *L.* 29. Oxieos *Grad.* *Ibid.* Perthenetas *Cand.* Partheneatas *Grad.* *L.* 31. Κανάμβρους *pro* Κιναμβρ. *Leid.* *Ibid.* Merromenos *Cand. Grad.* *L.* 32. *an* διὰ μόνης πείρας? *an* δι᾽ ἄλλων ἀπορίας? *L.* 34. Ἰντερφρουρῖνοι *Hæſch. Aug.* Ἰντερφρουρῖνοι *Leid. Secutus ſum Ven. Cand. Grad.* *Ibid.* Nariſii *Cand. Grad.* *L.* 36. Ippaſini *iidem.*

tui Pompejano, qui eas res ſtatim conſecutus eſt, intentus, diſtuliſſe Illyricis rebus finem imponere. Illud enim quidem ſatis adparet, cum Gallia provincia ſimul Illyrici imperium, quoad ſcilicet Illyricum tunc in poteſtate Romanorum fuerat, Cæſarem a populo Romano accepiſſe.

16. Sed *Auguſtus*, univerſa regione in poteſtatem redacta, quum res a ſe geſtas cum Antonii ſegnitie compararet, imputavit ſenatui, quod *Italiam a bellicoſarum gentium barbarie purgaſſet, quarum incurſionibus crebro fuiſſet infeſtata.* Oxyæos igitur, & Pertheneatas, Taulantios, Cambæos, Cinambros, Meromennos, Pyriſſæos, primo incurſu ſuperavit. Sed majus illi negotium fuit in recipiendis, & ad pendenda tributa, quæ intermiſerant, rurſus adigendis Docleatis, Carnis, Interfrurinis, Nareſiis, Glintidionibus, Tauriſciſque. Quibus devictis, finitimi populi metu territi, Hippaſini & Beſſi, ſeſe illi tradiderunt. Alios

A. U. 719. δὲ αὐτῶν ἀποστάντας, Μελιτηνοὺς καὶ Κορκυρηνοὺς, οἳ νήσους ᾤκουν, ἀνέστησεν ἄρδην, ὅτι ἐλῄστευον τὴν θάλασσαν· καὶ τοὺς μὲν ἡβῶντας αὐτῶν ἔκτεινε, τοὺς δ' ἄλλους ἀπέδοτο. Λιβυρνῶν δὲ τὰς ναῦς ἀφείλετο, ὅτι καὶ οἵδε ἐλῄστευον. Ἰαπόδων δὲ τῶν ἐντὸς Ἄλπεων Μοεντῖνοι μὲν καὶ Αὐενδεᾶται προσέθεντο αὐτῷ προσιόντι. Αὐρουπῖνοι δ', οἳ πλεῖστοι καὶ μαχιμώτατοι τῶνδε τῶν Ἰαπόδων εἰσὶν, ἐκ τῶν κωμῶν ἐς τὸ ἄστυ ἀνῳκίσαντο· καὶ προσιόντος αὐτοῦ, ἐς τὰς ὕλας συνέφυγον. ὁ δὲ Καῖσαρ, τὸ ἄστυ ἑλὼν, οὐκ ἐνέπρησεν· ἐλπίσας, ἐνδώσειν αὐτούς· καὶ ἐνδοῦσιν οἰκεῖν ἔδωκε.

XVII. Μάλιστα δ' ἠνώχλησαν αὐτὸν Σαλασσοί τε, καὶ Ἰάποδες οἱ πέραν Ἄλπεων, καὶ Σεγεστανοὶ, καὶ Δαλμάται, καὶ Δαίσιοί τε, καὶ Παίονες, ὄντες ἑκὰς τοῖς Σα-

*Lin.*37. Κορκυηνοὺς *Hæsch. cum MSS. nostris.* Corcyreos *Cand. Grad. In Græco terminationem, licet insolitam, & vocalem* ο *in prima syllaba h.l. relinquendam, literam* ρ *autem inserendam, duxi. L.*41. *forsan* Μενετῖνοι *aut* Μονητῖνοι. *Ibid. sq.* Moëntini & Edeatæ *Cand. L.* 42 *sq.* Αὐρουπινοὶ *Hæsch.* Αὐρουπηνοὶ *Aug.* Αὐρουπηινοὶ *Ven. Expressi Leid. Rectius autem, puto, scriberetur* Ἀρουπῖνοι *vel* Ἀρουπινοί. *L.* 50. Δέσιοί τε *Leid. & omittit præcedens* καί. Dessii *Cand. Vix autem dubito, quin pro* Δαίσιοί τε *rescribendum sit* Δαισιτιᾶται. *Ibid.* ἕκας *Leid. & videri potest decurtata vox ex* ἑκάστοι, *ut aliud quidpiam simul cum ultima vocis syllaba exciderit. Ibid. sq. Si bene habet* ἑκὰς, *utique* τῶν Σαλασσῶν *erit legendum.*

vero deficientes, Melitenses & Corcyræos, insulas incolentes, propterea quod mare latrociniis infestaverant, delevit funditus, interfectis puberibus, ceteris sub corona venumdatis. Liburnos, mare itidem infestantes, navibus mulctavit. Ex *Japydum* populis, qui *intra Alpes* habitant, Moëntini & Avendeatæ advenienti ei se ultro tradiderunt. *Arupini*, qui & multitudine & virtute bellica ceteris præstant Japydibus, ex vicis in urbem se receperant; sed adpropinquante *Octavio Cæsare*, in silvas sese abdiderunt. Captæ urbi *Cæsar* ignem subjici non est passus; quod, se barbaros tradituros, speraret. Quibus etiam, sese mox dedentibus, habitandam porro urbem permisit.

17. Plurimum autem laboris illi exhibuerunt cum *Salassi*, tum *Japydes transalpini*, *Segestani*, *Dalmatæ*, *Dæsitiatæ*, *Pannonii*que, a Salassis remotiores. SALASSI

λασσοῖς· οἳ κορυφὰς οἰκοῦσι τῶν Ἄλπεων, ὄρη δύσβατα· καὶ στενὴ δίοδός ἐστιν ἐπ' αὐτὰ καὶ δυσχερής. δι' ἃ καὶ ἦσαν αὐτόνομοι, καὶ τέλη τοὺς παροδεύοντας ᾔτουν. Τούτοις Οὐέτερ ἐμπεσὼν ἀδοκήτως, τὰ στενὰ προὔλαβε δι' ἐνέδρας· καὶ ἐπὶ διετὲς αὐτοὺς ἐπολιόρκει. οἱ δὲ ἁλῶν ἀπορίᾳ, ὧν εἰσι μάλιστα ἐν χρείᾳ, φρουρὰς ἐδέξαντο. καὶ Οὐέτερος ἀποστάντος, τὰς φρουρὰς ἐξέβαλλον εὐθύς· καὶ τὰ στενὰ κρατυνάμενοι, τοὺς ἐπιπεμπομένους σφίσιν ὑπὸ τοῦ Καίσαρος διέπαιζον, οὐδὲν δρᾶν μέγα ἔχοντας· ὅθεν αὐτοῖς ὁ Καῖσαρ, προσδοκωμένου τοῦ πρὸς Ἀντώνιον πολέμου, συνέθετο αὐτονόμους ἐάσειν, καὶ ἀκολάστους τῶν ἐπὶ Οὐέτερι πραχθέντων. οἱ δ', ἅτε ἐν ὑποψίᾳ ταῦτ' ἔχοντες, ἅλας πολλοὺς ἐσώρευον, καὶ τὴν Ῥωμαίων κατέθεον· μέχρι Μεσσάλας Κορουΐνος, αὐτοῖς ἐπιπεμφθεὶς, λιμῷ παρεστήσατο. καὶ Σαλασσοὶ μὲν οὕτως ἐλήφθησαν.

A. U. 719. — 720.

*Lin.* 54. Οὐέτερ *Ven. Leid.* *L.* 57. Οὐέτερος ἀποστάντες *Hæsch. cum MSS. & Cand. Sed* Vetere recedente *Grad. ex quo correxi locum, adsentiente Musgr.* *L.* 59. ἐνεδιέμπαιζον *Leid. in textu: altera lectio in marg.* *L.* 62. ἐπὶ Οὐέτερος *Hæsch. inv. MSS.* *L.* 64. Μεσάλας *Hæsch. Aug. Ven. Cand. Prætuli Leid. Grad.* *Ibid.* Κορούϊς *Leid.*

summas Alpes incolunt, montes accessu difficiles, arctum transitum ac difficilem habentes. Per hanc situs opportunitatem non solum libertatem suam tuiti erant *Salassi*, sed etiam vectigal a transeuntibus exigere consueverant. Quos *Vetus* de improviso adgressus, occupatis per insidias angustiis saltuum, in alterum jam annum obsessos tenuerat. Et illi, salis inopia adacti, quorum maximam consumere copiam solent, tandem admiserant præsidium. Sed, simulatque recessit *Vetus*, ejecerunt statim præsidium: &, occupatis montium faucibus, quas *Cæsar* copias contra eos misit, ludibrio habuerunt, quod vanum fore omnem eorum conatum cernerent. Ea de causa Cæsar, instante contra Antonium bello, convenit cum barbaris, ut suis legibus viverent, & impune ferrent ea quæ in *Veterem* commisissent. Quod quum illi suspectum haberent; magnam salis copiam cumulaverunt, neque intermiserunt in ditionem Romanam incursiones facere, donec eos *Messala Corvinus*, a Cæsare contra eosdem missus, fame perdomuit. Eoque modo *Salassi* in populi Romani potestatem venerunt.

A. U. 719. XVIII. Ἰάποδες δὲ οἱ πέραν Ἄλπεων, ἔθνος ἰσχυρόν τε καὶ ἄγριον, δὶς μὲν ἀπεώσαντο Ῥωμαίους, ἔτεσί που ἀγχοῦ εἴκοσιν· Ἀκυληΐαν δ᾽ ἐπέδραμον, καὶ Τεργηστὸν Ῥωμαίων ἄποικον ἐσκύλευσαν. Ἐπιόντος δ᾽ αὐτοῖς τοῦ Καίσαρος ὁδὸν ἀνάντη καὶ τραχεῖαν· οἱ δ᾽ ἔτι μᾶλλον αὐτὴν ἐδυσχέραινον αὐτῷ, τὰ δένδρα κόπτοντες. ὡς δ᾽ ἀνῆλθεν, ἐς τὴν ἄλλην ὕλην αὐτοὶ συνέφυγον, καὶ προσιόντα ἐλόχων. ὁ δὲ, ὑπώπτευε γὰρ αἰεί τι τοιοῦτον, ἐς τὰς ἀκρωρείας τινὰς ἔπεμπεν, οἳ ἑκατέρωθεν αὐτῷ συνέθεον, προβαίνοντι διὰ τοῦ χθαμαλοῦ, καὶ κόπτοντι τὴν ὕλην. οἱ δὲ Ἰάποδες ἐπεξέθεον μὲν ἐκ τῶν ἐνεδρῶν, καὶ πολλοὺς ἐτίτρωσκον· ὑπὸ δὲ τῶν ἐν τοῖς ἄκροις ἐπιτρεχόντων κατεκόπτοντο οἱ πλείους. οἱ δὲ λοιποὶ πάλιν ἐς τὰ λάσια συνέφευγον, τὴν πόλιν ἐκλιπόντες, ᾗ ὄνομα Τέρ-

*Lin.* 68. Τεργιτὸν *Hæsch. cum MSS. nostris: quod mutavi in id, e quo proxime deflexum videbatur.* Torgium *Cand.* Tergestina colonia *Grad.* Τέργεστον *refingere jussit Wesseling.* *L.* 70. οἱ δὲ ἔτι *Hæsch. Aug. Ven.* οἱ δ᾽ ἔτι *Leid. Levem mutationem adferendam duxi. Ibid. inter* μᾶλλον *&* αὐτὴν *asteriscum posuit Hæsch.* *L.* 71. τὰ *ante* δένδρα *caret Leid.* *L.* 72. *verba* ἐς τὴν ἄλλην ὕλην *cum* ἀνῆλθεν, *non cum* ἔφυγον, *conjunxit Hæsch. cum Cand. sed invito Aug. & Grad.* *L.* 78 *sq.* ἐς Ταλάσσια *Leid. male.* *L.* 79 *sq.* cui Terpo nomen erat *Grad.*

18. JAPYDES TRANSALPINI, valida gens & fera, bis intra viginti fere annos Romanas copias repulerant, & in Aquilejam fecerant impetum, & Tergestum coloniam Romanam erant deprædati. Adversus hos *Cæsar* quum eniteretur via ardua & confragosa; hi, cæsis arboribus, magis etiam impeditam ei viam fecerunt: & in reliquam silvam sese abdentes, adscendentem hostem adpropinquantemque ex insidiis excipere conati sunt. Sed *Cæsar*, semper tale quid suspicatus, misit ex suis, qui juga montium occuparent & utrumque latus agminis tegerent, quod ipse per inferiora ducebat; simulque obvia saltuum exscindi curavit. *Japydes* nihilo secius ex insidiis emicuere, & vulnerarunt haud paucos; verum mox ipsi, majore ex parte, ab his, qui superne decurrerant, interfecti sunt. Reliqui silvarum latibula repetierunt, relicta urbe, cui nomen *Terponus*

ϖωνος. καὶ αὐτὴν ὁ Καῖσαρ ἑλὼν, οὐκ ἐνέπρησεν· ἐλπίσας, καὶ τούσδε ἐνδώσειν. καὶ ἐνέδωκαν. A. U. 719.

XIX. Ἐπὶ δ' ἑτέραν πόλιν ἐχώρει, Μετοῦλον, ἣ τῶν Ἰαπόδων ἐστὶ κεφαλὴ, κεῖται δ' ἐν ὄρει σφόδρα ὑλώδει, ἐπὶ δύο λόφων, οὓς διαιρεῖ χαράδρα στενή. καὶ ἡ νεότης ἦν ἀμφὶ τοὺς τρισχιλίους μαχίμους τε καὶ σφόδρα εὐόπλους· οἳ Ῥωμαίους, τὰ τείχη σφῶν περιστάντας, εὐκόλως ἀπεκρούοντο. οἱ δὲ χῶμα ἤγειρον· καὶ οἱ Μετοῦλοι τό τε χῶμα νυκτὸς καὶ ἡμέρας ἐκτρέχοντες ἠνώχλουν, καὶ τοὺς ἄνδρας ἀπὸ τοῦ τείχους μηχαναῖς κατεπόνουν, ἃς ἐσχήκεσαν ἐκ τοῦ πολέμου, ὃν Δέκμος Βροῦτος ἐνταῦθα ἐπολέμησεν Ἀντωνίῳ τε καὶ τῷ Σεβαστῷ. πονοῦντος δὲ κἀκείνοις ἤδη τοῦ τείχους, οἳ δ' ὑπετείχισαν ἔνδοθεν, καὶ τὸ κεκμηκὸς ἐκλιπόντες, μετεπήδησαν ἐς τὸ νεότευκτον. οἱ δὲ Ῥωμαῖοι, τὸ μὲν ἐκλειφθὲν λαβόντες ἐνέπρησαν·

*Lin.* 82. Metulium *Cand. Grad.* *L.* 87 *ſq. forſan* Μετούλιοι. *L.* 90. Δέκιος Βροῦτος *Hæſch. invitis MSS. Prænomen omiſit Cand. Per* D. *expreſſit Grad.* *L.* 92. οἱ δ' ὑπετειχ. *Hæſch. cum MSS. Correxi, ut ſupra.* *L.* 93. κεκμηκὸν *Hæſch. Aug. mend.* *Ibid.* τὸν νεότευκτον *Hæſch. invit. MSS.*

erat. Eam urbem captam *Cæſar* ab incendio conſervavit, illos pariter ceſſuros arbitratus. Idque fecerunt, eique ſe tradiderunt.

19. Hinc ad aliam urbem, quæ *caput Japydum* habetur, METULUM incolæ vocant, pergit *Octavius Cæſar.* Sita urbs eſt in monte admodum ſilvoſo, duobus impoſita tumulis, quos anguſta vallis interjacet. Tria millia delectæ juventutis, animis armiſque validæ, Romanos mœnia circumſtantes facile arcebant. Illi aggerem excitant: quem *Metulii* non intermiſſis neque noctu neque interdiu eruptionibus infeſtum habent; militibuſque ex aggere pugnantibus incommodant ex muro machinis, quas machinas a Decimo Bruto, per ea loca cum Antonio Octavioque bellum gerente, relictas habebant. Ubi tamen ſubrui cœpta ſunt ab hoſtibus mœnia; aliam ſibi introrſus munitionem excitant oppidani, intraque eam ſe recipiunt, relicto vetere muro: quem Romani captum, admoto ſtatim igne concremarunt. Adver-

A. U. 719. κατὰ δὲ τοῦ ἄλλου δύο χώματα ἔχουν, καὶ ἀπ' αὐτῶν γεφύρας τέσσαρας ἐξέτεινον ἐς τὸ τεῖχος. γενομένων δὲ τούτων, ὁ Καῖσαρ περιέπεμψέ τινας ἐς τὰ ὀπίσθια τῆς πόλεως, περισπᾷν τοὺς Μετούλους· τοῖς δ' ἄλλοις προσέταξε περᾷν ἐς τὰ τείχη διὰ τῶν γεφυρῶν. καὶ αὐτὸς ἐς ὑψηλὸν πύργον ἀναβὰς, ἑώρα.

XX. Οἱ βάρβαροι δὲ τοῖς περῶσιν ὑπήντων τε ἐκ μετώπου κατὰ τὸ τεῖχος, καὶ ὑφεδρεύοντες ἕτεροι τὰς γεφύρας μακροῖς δόρασιν ὑπεκέντουν· μᾶλλόν τε ἐθάῤῥησαν, μιᾶς γεφύρας καὶ δευτέρας ἐπ' ἐκείνῃ πεσούσης. ὡς δὲ καὶ ἡ τρίτη συνέπεσε, φόβος ἤδη παντελὴς τοὺς Ῥωμαίους ἐπεῖχε. καὶ οὐδεὶς τῆς τετάρτης ἐπέβαινεν, ἕως ὁ Καῖσαρ ἐκ τοῦ πύργου καταθορὼν ὠνείδιζεν αὐτούς. ἀλλὰ καὶ ὧς οὐκ ἐρεθιζομένων, αὐτὸς, ἀσπίδα λαβὼν, ἐπὶ τὴν γέφυραν ἵετο δρόμῳ. συνέθεον δ' αὐτῷ τῶν ἡγεμόνων Ἀγρίππας τε καὶ Ἵερων, καὶ ὁ σωματοφύλαξ Λοῦτος

*Lin.* 97. τινας *caret Leid.* *L.* 11. Ἱέρων. *an* Νέρων? *Ibid.* σωματοφύλαξ * λοῦτος *Hæſch. Nil variant MSS.* Hieron, Luciuſque: ex corporis cuſtodibus Jolas *Cand.* cuſtode corporis * Lu ac Vo * *Grad. An* Λεύκιος (*vel* Μούτιος) Σκαιόλας *aut* Σκαιούλας?

ſus nova munimenta *Cæſar* binos aggeres excitandos, ex iiſque quatuor pontes muro injiciendos, curat. His peractis, ut ancipiti prælio diſtraheret hoſtes, partem copiarum in averſam oppidi partem circummittit; ceteros per præparatos pontes exſcendere in mœnia jubet. Ipſe, conſcenſa edita turri, exitum certaminis proſpectat.

20. *Metulii* Romanis tranſire conantibus ex adverſo muro occurrunt; dum alii interim ex inferiori parte ſuffodere pontes longuriis ferro præfixis nitebantur. Jamque magis efferebantur animis, ubi unum ex pontibus, itemque alterum, collabentem videre. Poſtquam vero & tertius pons corruit; tantus jam metus Romanos cunctos inceſſit, ut in quartum, qui reliquus erat, pontem nemo auderet ſuccedere, neque Cæſar, e turri propere deſcendens, objurgando increpandoque commovere quemquam valeret. Itaque ipſe *Octavius Cæſar*, correpto clypeo, curſu *in pontem ſe proripit*, comitante ex ducibus Agrippa & Hierone, (*forte*, Nerone) cum corporis cuſtode... Soli iſti qua-

A. U. 719.

καὶ Οὐόλας· τέσσαρες οἵδε μόνοι, καὶ τῶν ὑπασπιστῶν ὀλίγοι. ἤδη δ' αὐτοῦ τὴν γέφυραν περῶντος, ἐν αἰδοῖ γενόμενος ὁ στρατὸς ἀνεπήδησεν ἄθρους. καὶ πάλιν ἡ γέφυρα βαρηθεῖσα καταπίπτει, καὶ οἱ ἄνδρες ὑπ' αὐτῆς ἀθρόοι κατεχώννυντο· καὶ οἱ μὲν ἀπέθανον αὐτῶν, οἱ δὲ συντριβέντες ἐφέροντο. ὁ δὲ Καῖσαρ ἐπλήγη μὲν τὸ σκέλος τὸ δεξιὸν, καὶ τοὺς βραχίονας ἄμφω· ἀνέδραμε δ' ὅμως εὐθὺς ἐπὶ τὸν πύργον μετὰ τῶν συμβόλων, καὶ ἑαυτὸν ἔδειξεν ἐῤῥωμένον, μή τις ὡς ἀποθανόντος γένοιτο θόρυβος. ἵνα δὲ μηδ' οἱ πολέμιοι νομίσειαν αὐτὸν ἐνδώσειν ἀναχωρήσαντα, εὐθὺς ἑτέρας ἐπήγνυτο γεφύρας. ὃ καὶ μάλιστα κατέπληξε τοὺς Μετούλους, ὡς ὑπὸ γνώμης ἀμάχου πολεμουμένους.

XXI. Καὶ τῆς ἐπιούσης πρεσβευσάμενοι πρὸς αὐτὸν, ὁμήρους τε πεντήκοντα ἔδοσαν, οὓς ὁ Καῖσαρ ἐπελέξατο· καὶ φρουρὰν ὑποσχόμενοι δέξασθαι, τὸν ὑψηλότερον λόφον τοῖς φρουροῖς ἀπέλιπον, αὐτοὶ δὲ μετεχώρουν ἐς τὸν

*Lin.* 15. *βαρυνθεῖσα superscr. ab alia man. in Leid.* *L.* 23. *ὑπὸ γνώμην Hæsch. operar. err.*

tuor erant, cum paucis satellitibus. Jamque pæne superaverat pontem *Cæsar*, quum, subeunte animos militum pudore, effuso impetu omnes sequuntur. Itaque *pons*, tantæ moli impar, *confractus corruit*, & ruina sua obruit cunctos. Pars interiere; alii confractis artubus sublati sunt. Ipse *Cæsar dextro crure et utroque brachio saucius* discessit. Ne quis tamen motus terrorve per opinionem mortis ejus existeret; protinus, conscensa rursus turri, cum insignibus spectandum sese incolumem militibus præbuit: ac, ne recessurus ea de causa omissurusve oppugnationem videretur hostibus, continuo alios rursus pontes construendos curavit. Quæ res maxime stupore metuque perculit oppidanos, reputantes, quam cum acri & invicti animi hoste sibi res esset.

21. Itaque postridie, missis legatis, *Metulii* quinquaginta *obsides Cæsari*, quos ipse selegit, *tradiderunt:* &, præsidium quoque admittere polliciti, altiori tumulo præsidiariis relicto, in humiliorem ipsi

A. U. 719. ἕτερον. ἐπεὶ δὲ ἐσελθοῦσα ἡ φρουρὰ τὰ ὅπλα αὐτοὺς ἐκέλευεν ἀποθέσθαι, οἵδε ἠγανάκτησάν τε, καὶ, τὰ γύναια σφῶν καὶ τοὺς παῖδας ἐς τὸ βουλευτήριον συγκλείσαντες, καὶ φυλακὴν ἐπιστήσαντες, οἷς εἴρητο, εἴ τι ἀηδὲς γίγνοιτο περὶ αὐτούς, ἐμπρῆσαι τὸ βουλευτήριον, ἐπεχείρουν τοῖς Ῥωμαίοις αὐτοὶ μετ' ἀπονοίας. Οἷα δὴ ὑψηλοτέροις ἐπιχειροῦντες ἐκ ταπεινοῦ, συνεχώσθησαν ἀθρόοι· καὶ οἱ φύλακες τὸ βουλευτήριον κατέπρησαν, πολλαί τε τῶν γυναικῶν ἑαυτάς τε καὶ τὰ τέκνα διεχρῶντο, αἱ δὲ καὶ ζῶντα ἔτι φέρουσαι ἐς τὸ πῦρ ἐνήλαντο· ὡς ἀπολέσθαι τῶν Μετούλων τήν τε νεότητα πᾶσαν ἐν τῇ μάχῃ, καὶ τῶν ἀχρείων τὸ πλέον τῷ πυρί. συγκατεφλέγη δὲ αὐτοῖς καὶ ἡ πόλις· καὶ οὐδὲν ἦν ἴχνος, μεγίστης ἐκεῖθι γενομένης. Μετούλου δὴ ἁλούσης, οἱ λοιποὶ τῶν Ἰαπόδων καταπλαγέντες, ἑαυτοὺς ἐπέτρεψαν τῷ Καίσαρι. Ἰάποδες μὲν οὖν οἱ πέραν Ἄλπεων, τότε πρῶτον Ῥωμαίων
720. ὑπήκουσαν. καὶ αὐτῶν Ποσηνούς, ἀποχωρήσαντος τοῦ

*Lin.* 29. ἐπεὶ δὲ ἐλθοῦσα *Leid.* *L.* 35. συνεχώθησαν *Leid.* *L.* 41. αὐτοῖς *caret idem.* *Ibid. pro* ἐκεῖθι *dat* αὐτόθι *idem.* *L.* 45. Ποσήνους *Leid.* Possenos *Cand. Grad.*

concesserunt. Postquam autem ab his, urbem jam ingressis, arma ponere jussi sunt; indignatione commoti, conjugibus ac liberis intra curiam conclusis, adpositaque custodia, cum mandato, ut, si quid adversi ipsis accidisset, curiam injecto igne consumerent, in Romanos cum desperatione impetum fecerunt. Sed quum ex inferiori loco contra eos, qui superiora tenebant, pugnarent; facile omnes obruti sunt. Et curiæ adpositi custodes ignem admoverunt: compluresque matres & se ipsas & liberos interemerunt; aliæ vivos natos sinu præferentes in flammas insiluerunt. Ita omnis *Metuliorum* juventus, in prælio, & imbellis multitudinis major pars, igne, absumta est: & cum incolis urbs incendio conflagravit, ut nullum, ex maxima quæ paulo ante fuerat, vestigium exstaret. *Metulo capto*, reliqui ex Japydibus territi Cæsari se dediderunt. Atque ita tunc primum *transalpini Japydes Romano imperio* sunt *adjecti.* E quorum numero *Posenos*, quum

Καίσαρος, ἀποστάντας, ἐπιπεμφθεὶς αὐτοῖς Μάρκος Ἕλβιος εἷλε, καὶ τοὺς μὲν αἰτίους ἔκτεινε, τοὺς δὲ λοιποὺς ἀπέδοτο. A. U.

XXII. Ες δὲ τὴν Σεγεστικὴν γῆν οἱ Ρωμαῖοι δὶς πρότερον ἐμβαλόντες, οὔτε ὅμηρον οὔτε ἄλλο εἰλήφεσαν. ὅθεν ἦσαν ἐπὶ φρονήματος οἱ Σεγεστανοί. ὁ δὲ Καῖσαρ αὐτοῖς ἐπῄει, διὰ τῆς Παιόνων γῆς, οὔπω Ρωμαίοις οὐδὲ τῆσδε ὑπηκόου γενομένης. Ὑλώδης δέ ἐστιν ἡ Παιόνων, καὶ ἐπιμήκης ἐξ Ιαπόδων ἐπὶ Δαρδάνους. καὶ οὐ πόλεις ᾤκουν οἱ Παίονες οἵδε, ἀλλ' ἀγροὺς ἢ κώμας κατὰ συγγένειαν. οὐδ' ἐς βουλευτήρια κοινὰ συνῄεσαν, οὐδ' ἄρχοντες αὐτοῖς ἦσαν ἐπὶ πᾶσιν. οἱ δ' ἐν ἡλικίᾳ μάχης, ἐς δέκα μυριάδας συνετέλουν. ἀλλ' οὐδ' οὗτοι συνῄεσαν ἀθρόοι, δι' ἀναρχίαν. προσιόντος δ' αὐτοῖς τοῦ Καίσαρος, ἐς τὰς ὕλας ὑποφυγόντες, τοὺς ἀποσκιδναμένους τῶν στρατιω- 719.

*Lin.* 50. οὔτε ἄλλον *Aug. Leid. An* ἄλλο οὐδὲν? *quod expresserunt Cand. & Grad.* *L.*59. δι' ἀναρχίας *Hæsch. invit. MSS.*

post Cæsaris discessum rebellassent, *M. Helvius*, contra eos missus, recepit; &, defectionis auctoribus supplicio adfectis, reliquos sub corona vendidit.

22. In *Segesticam* regionem bis, superioribus temporibus, Romani impetum fecerant; sed neque obsidibus receptis, neque alia ulla re impetrata, discesserant. Ea de causa magnos sibi spiritus sumserant SEGESTANI. Contra quos *Octavius Cæsar* duxit per fines *Pannoniorum*, qui nondum eo tempore in ditionem populi Romani pervenerant. Est autem saltuosa omnis PANNONIA, inter Japydas Dardanosque in longum protensa. Nullæ tunc in ea urbes erant; sed vicatim, aut dispersis per agrum domiciliis, habitabatur. Nullum universæ genti in commune regimen; nullæ communes curiæ: separatis per cognationes atque familias consiliis agebant. Ad centena millia ætate militari censebantur; qui tamen ne ipsi quidem, quoniam commune imperium penes neminem erat, in unum coire consueverant. Adventante *Cæsare*, in silvas se suas abdiderunt; indeque erumpendo, Romanos milites, si quos ab agmine dispersos nacti essent, oppresserunt. *Cæ-*

A. U. 719. τῶν ἀνῄρουν. ὁ δὲ Καῖσαρ, ἕως μὲν ἤλπιζεν αὐτοὺς ἀφίξεσθαι πρὸς αὐτὸν, οὔτε τὰς κώμας οὔτε τοὺς ἀγροὺς ἐλυμαίνετο. οὐκ ἀπαντώντων δὲ, πάντα ἐνεπίμπρη καὶ ἔκειρεν ἐπὶ ἡμέρας ὀκτώ· ἐς ὃ διῆλθεν ἐς τὴν Σεγεστανῶν, καὶ τήνδε Παιόνων οὖσαν, ἐπὶ τοῦ Σάου ποταμοῦ. ἐν ᾧ καὶ πόλις ἐστὶν ἐχυρὰ, τῷ τε ποταμῷ καὶ τάφρῳ μεγίστῃ διειλημμένη. διὸ καὶ μάλιστα αὐτῆς ἔχρῃζεν ὁ Καῖσαρ, ὡς ταμιείῳ χρησόμενος ἐς τὸν Δακῶν καὶ Βασταρνῶν πόλεμον, οἳ πέραν εἰσὶ τοῦ Ἴστρου· λεγομένου μὲν ἐνταῦθα Δανουβίου, γιγνομένου δὲ μετ' ὀλίγον Ἴστρου. ἐμβάλλει δ' ὁ Σάος ἐς τὸν Ἴστρον· καὶ αἱ νῆες ἐν τῷ Σάῳ Καίσαρι ἐγίγνοντο, αἳ ἐς τὸν Δανούβιον αὐτῷ τὴν ἀγορὰν διοίσειν ἔμελλον.

XXIII. Διὰ μὲν δὴ ταῦτα τῆς Σεγέστης ἔχρῃζεν ὁ Καῖσαρ. προσιόντι δὲ αὐτῷ οἱ Σεγεστανοὶ προσέπεμψαν, πυνθανόμενοι, τίνος χρῄζει; Ὁ δὲ, Φρουρὰν ἐσαγαγεῖν,

*Lin.* 64. ἐσὸ διῆλθεν *Aug.* *L.* 65. Σαοῦ *h. l. Hæſch. oper. err.* *L.* 66. τῷ τότε ποταμῷ *Leid. mend.* *L.* 68. ταμείῳ *h. l. Hæſch. & Aug. ſed* ταμιείῳ *Leid. ut mox omnes.* *Ibid.* Βασλερνῶν *Hæſch. cum MSS. Prætuli, ut alibi, lect. Cand. cum qua conſentit Grad.* *L.* 70. μετ' ὀλίγον Ἴστρον *Hæſch. invit. MSS.*

*ſar*, quoad ſpes erat, venturos ad ſe barbaros, vim omnem ab agris eorum viciſque abſtinuit. Poſtquam nemo occurrit, ferro ac flammis omnia late vaſtavit, ad octavum uſque diem; quo in *Segeſtanum agrum*, qui & ipſe *Pannoniorum* eſt, *ad Savum fluvium*, pervenit. Ad eum fluvium ſita urbs eſt, egregie munita, cum ipſo fluvio tum ampliſſima foſſa circumdata: quam ob cauſam maxime eam expetebat *Cæſar*, opportunum ſibi horreum arcemque belli futuram, quod bellum adverſus Dacas Baſtarnaſque meditabatur, qui trans *Iſtrum* incolunt. Influit enim *Savus* in Iſtrum; (qui ibi quidem locorum *Danubius* vocatur, paulo inferius autem *Iſtri* nomen accipit:) & in Savo flumine parari naves Cæſar juſſerat, quæ commeatus in Danubium ipſi eſſent invecturæ.

23. Eam igitur maxime ob cauſam magni momenti ſibi fore *Cæſar* putaverat, ſi *Segeſtam* urbem cepiſſet. Adpropinquanti obviam miſerunt *Segeſtani*, qui, *quid ſibi vellet?* ab eo quærerent. Ille, *præſi-*

ἔφη, καὶ ὁμήρους ἑκατὸν λαβεῖν, ἵν' ἀσφαλῶς ταμιείῳ τῇ πόλει χρῷτο ἐπὶ Δάκας. ᾔτει δὲ καὶ σῖτον, ὅσον δύναιντο φέρειν. Ταῦθ' οἱ μὲν πρωτεύοντες ἠξίουν δοῦναι. ὁ δὲ δῆμος, ἐξαγριαίνων, τὰ μὲν ὅμηρα διδόμενα περιεῖδεν· ὅτι ἴσως οὐ παρὰ σφῶν, ἀλλὰ τῶν πρωτευόντων παῖδες, ἦσαν· προσιούσης δὲ τῆς φρουρᾶς, τὴν ὄψιν οὐκ ἐνεγκόντες, ὁρμῇ μανιώδει τὰς πύλας αὖθις ἀπέκλειον, καὶ αὐτοὺς τοῖς τείχεσιν ἐπέστησαν. ὁ οὖν Καῖσαρ τόν τε ποταμὸν ἐγεφύρου, καὶ χάρακας καὶ τάφρους πάντοθεν ἐποιεῖτο. ἀποτειχίσας δ' αὐτοὺς, δύο χώματα ἔχου. οἷς ἐπέδραμον μὲν οἱ Σεγεστανοὶ πολλάκις· οὐ δυνηθέντες δ' ἑλεῖν, λαμπάδας καὶ πῦρ πολὺ ἄνωθεν ἐπέβαλλον. προσιούσης δ' αὐτοῖς Παιόνων ἑτέρων βοηθείας, ὁ Καῖσαρ ὑπαντήσας, ἐνήδρευσεν αὐτήν. καὶ οἱ μὲν ἀνῃρέθησαν, οἱ δ' ἔφυγον. καὶ οὐδεὶς ἔτι Παιόνων ἐβοήθει. *A. U.* 719.

XXIV. Οἱ Σεγεστανοὶ δὲ πᾶσαν πολιορκίαν ὑποστάν-

*Lin.* 84. αὐτοὺς *Ven.* *L.* 86. ἔχουν *Hæſch. invit. MSS.*

*dium urbi imponere, & centum obſides ſibi velle dari,* reſpondit, *quo tutius oppido pro ſede belli adverſus Dacas Baſtarnaſque poſſet uti.* Frumenti quoque copiam, quantam facultates eorum paterentur, popoſcit. Nihil horum primores civitatis recuſandum ſibi cenſebant. Plebs autem, vehementer offenſa, de obſidibus quidem non valde laboravit; puto, quod non ex ſuo ordine, ſed ex optimatum liberis, dandi eſſent: at præſidii adpropinquantis ne adſpectum quidem tulerunt; ſed, veluti furore perciti, portas rurſus occluſerunt, murumque occuparunt. Igitur *Cæſar* flumen ponte jungit, foſſaque ac vallo urbem cingere inſtituit. Quibus rebus perfectis, binos aggeres excitavit: quos, quum crebris eruptionibus fruſtra adgreſſi eſſent oppidani, ſuperne facibus multoque igne injecto perdere conabantur. Advenientes autem eis auxilio alios *Pannonios* ex inſidiis adgreſſus *Cæſar*, partem interfecit, reliquos in fugam conjecit: nec ulli poſthac ex reliquis Pannoniis auxilium obſeſſis ferre auſi ſunt.

24. Itaque *Segeſtani*, omnia oppugnationis mala per-

A. U. τες, ἡμέρᾳ τριακοστῇ κατακράτος ἐλήφθησαν· καὶ τότε
719. πρῶτον ἤρξαντο ἱκετεύειν. καὶ αὐτοὺς ὁ Καῖσαρ, ἐπαίνῳ
τε τῆς ἀρετῆς καὶ ἐλέῳ τῆς ἱκεσίας, οὔτε ἔκτεινεν, οὔτε
ἀνέστησεν· ἀλλὰ χρήμασιν ἐζημίωσε. καὶ τῆς πόλεως
μέρος διατειχίσας, ἐσήγαγεν ἐς αὐτὸ φρουρὰν πέντε καὶ
εἴκοσι σπειρῶν. Καὶ ὁ μὲν, τάδ᾽ ἐργασάμενος ἐς Ῥώμην
ἀνέζευξεν, ὡς ἦρος ἐπανήξων ἐς τὴν Ἰλλυρίδα. Φήμης δ᾽
ἐπιδραμούσης, ὅτι τὴν φρουρὰν οἱ Σεγεστανοὶ διέφθειραν,
720. ἐξέθορε χειμῶνος. καὶ τὸ μὲν τέλος τῆς φήμης ψευδὲς εὗρε, τὴν δὲ αἰτίαν ἀληθῆ. γεγόνεσαν γὰρ ἐν κινδύνῳ, τῶν Σεγεστανῶν αὐτοὺς ἄφνω περιστάντων· καὶ πολλοὺς τὸ αἰφνίδιον ἀπολωλέκει. τῆς δ᾽ ἐπιούσης προελθόντες, ἐκράτουν τῶν Σεγεστανῶν. Ὁ οὖν Καῖσαρ ἐπὶ Δαλμάτας μετῄει, γένος ἕτερον Ἰλλυριῶν, Ταυλαντίοις ὅμορον.

*Lin.* 97. ἤγαγεν ἐς αὐτὸ *Leid.* *L.* 99. *vulgo omnes* ὡς προσεπανήξων. *Recepi emendationem, quam perſpecte propoſuit Muſgr.* *L.* 2. τέλος *caret Aug.* *L.* 5. προσελθόντες *Hæſch. cum MSS. Recepi Muſgravii emendationem.*

peſſi, trigeſimo tandem die *vi expugnati* ſunt; ac tunc demum ad preces ſe convertere cœperunt. Quorum virtutem admiratus *Cæſar*, & miſeratione ſupplicum commotus, neque ſupplicio quemquam adfecit, neque patria ejecit. Pecunia mulctare contentus, certam urbis partem a reliquo oppido muro ſeparandam curavit; & in eam præſidium quinque & viginti cohortium impoſuit. Quibus rebus peractis, Romam revertit; proximo vere Illyridem repetiturus. Cum autem *rumor* increbuiſſet, *præſidiarias cohortes ab Segeſtanis eſſe deletas;* ipſa hieme profectionem maturavit. Adveniens autem invenit, non eo quidem, quo fama ferebat, proceſſiſſe malum; ceterum, haud ſine cauſa vulgatum fuiſſe rumorem. Quippe magno in diſcrimine fuerant milites, repentina Segeſtanorum irruptione oppreſſi: multoſque ſuorum hoc ipſo amiſerant, quod præter omnium opinionem ea res ipſis acciderat. Sed poſtridie progreſſi, profligaverant perdomuerantque rebelles. Itaque copias ſuas *Cæſar* in *Dalmatas* convertit, aliam Illyricam gentem, Taulantiis finitimam.

XXV. Οἱ Δαλμάται δὲ, ἐξ οὗ τὰς ὑπὸ Γαβινίῳ πέντε τάξεις ἀνῃρήκεσαν, καὶ τὰ σημεῖα εἰλήφεσαν, ἐπαρθέντες ἐπὶ τῷδε, τὰ ὅπλα οὐκ ἀπετέθειντο ἔτεσιν ἤδη δέκα. ἀλλὰ καὶ, τοῦ Καίσαρος ἐπιόντος αὐτοῖς, συμμαχήσειν ἀλλήλοις συνετίθεντο. καὶ ἦσαν οἱ μαχιμώτατοι μυρίων καὶ δισχιλίων πλείους· ὧν στρατηγὸν Οὔερσον αἱροῦνται. ὁ δὲ Πρωμόναν αὖθις, τὴν τῶν Λιβυρνῶν πόλιν, καταλαβὼν ὠχύρου, καὶ τἄλλα οὖσαν ἐκφυῶς ὀχυρωτάτην. ὄρειον γάρ ἐστι τὸ χωρίον, καὶ αὐτῷ περίκεινται λόφοι πάντοθεν ὀξεῖς, οἷα πρίονες. ἐν μὲν δὴ τῇ πόλει τὸ πλέον ἦν· ἐν δὲ τοῖς λόφοις διέθηκε Σούαρος φρούρια· καὶ πάντες ἐφεώρων τὰ Ῥωμαίων ἀφ᾽ ὑψηλοῦ. ὁ δὲ Καῖσαρ ἐς μὲν τὸ φανερὸν πάντας ἀπετείχιζε· λάθρα δὲ τοὺς εὐτολμωτάτους ἔπεμπε, ζητεῖν ἄνοδον ἐς τὸ ἀκρότατον τῶν λόφων. καὶ οἱ μὲν, τῆς ὕλης αὐτοὺς ἐπικαλυπτούσης, νυκτὸς

*A. U. 720.*

*Lin. 8. omnino aut pro* πέντε *legendum* πεντεκαίδεκα, *aut ante vocab.* πέντε *interciderunt verba nonnulla; puta,* πεντεκαίδεκα (σπείρας) καὶ τὰς ὑπὸ Οὐατινίῳ. *L. 13.* Οὔεῤσον *Ven. Leid. L. 15.* τἆλλα *Hæsch. Aug. L. 18.* Σούαρος, *quod dedit Hæsch. cum MSStis, retinui; quoniam dubitari poteſt, hoc-ne loco, an paulo ante, corruptum nomen ſit. Nomen h. l. omiſit Cand. In ora Cod. Leid. eſt* f. Οὔερσος. *Et* Verſus *Grad.*

25. DALMATÆ, poſt cæſas Gabinii (quindecim, Vatinii) quinque cohortes, earumque ſigna ablata, elati eis ſucceſſibus, jam per decem annos arma non poſuerant. Iidem, proficiſcente adverſus eos *Octavio Cæſare*, junctis in mutua auxilia fœderibus ſeſe firmaverunt. Erant delectæ juventutis amplius millia duodecim; quibus ducem, *Verſum* nomine, conſtituerunt. Is *Promonam*, Liburnorum oppidum, rurſus occupavit, communivitque, quamvis abunde munitum ingenio loci. Quippe montanus eſt locus, quem tumuli undique inſigni aſperitate, inſtar ſerrarum, circumjacent. Major hoſtium pars urbem inſedit; in collibus vero præſidia *Suarus* (*vel* Verſus) diſpoſuit: omneſque ex alto Romanos deſpectabant. *Cæſar* propalam univerſos muro circumdare inſtituit: clam vero fortiſſimum quemque mittit, qui indagarent rationem, qua ad editiſſimum ex tumulis, de quibus dictum eſt, poſſent eniti. Et hi qui-

A. U. 720. ἐμπίπτουσι τοῖς φύλαξιν εὐναζομένοις, καὶ κτείνουσιν αὐτούς, καὶ τῷ Καίσαρι κατέσεισαν ὑπὸ λύγῃ. ὁ δὲ τῆς τε πόλεως ἐς πεῖραν ᾔει τῷ πλέονι στρατῷ, καὶ ἐς τὸ εἰλημμένον ἄκρον ἑτέρους ἐφ' ἑτέροις ἔπεμπεν, οἳ τοῖς ἄλλοις λόφοις ἐπικατῄεσαν. φόβος τε καὶ θόρυβος ἦν τοῖς βαρβάροις ὁμοῦ πᾶσιν, ἐπιχειρουμένοις πάντοθεν· μάλιστα δὲ οἱ ἐν τοῖς λόφοις ἔδεισαν, διὰ τὸ ἄνυδρον, μὴ τῶν διόδων ἀφαιρεθῶσι. καὶ συμφεύγουσιν ἐς τὴν Πρωμόναν.

XXVI. Ὁ δὲ Καῖσαρ αὐτήν τε, καὶ δύο λόφους, οἳ ἔτι ἐκρατοῦντο ὑπὸ τῶν πολεμίων, ὁμοῦ περιετείχιζε, τεσσαράκοντα σταδίων περίμετρον. κἀν τούτῳ Τέστιμον Δαλμάτην, στρατὸν ἕτερον ἄγοντα τοῖς ἐν Πρωμόνῃ σύμμαχον, ὑπαντήσας, ἐδίωκεν ἐς τὰ ὄρη· καὶ ἐφορῶντος ἔτι τοῦ Τεστίμου, τὴν Πρωμόναν εἷλεν, οὔπω τῆς περιτειχίσεως τετελεσ-

*Lin.* 24. ὑπὸ λύγην *Hæsch. invitis MSStis, a quorum præscripto veritus sum discedere* *L.* 34. Teutinum *Cand. & in marg. idem* Teutinus, alias Testinus.

dem, arboribus tecti, excubias noctu invadunt, & somno adhuc consopitas obtruncant; remque *Cæsari* nondum liquido, mane signis ex composito ostendunt. Tunc ille majorem partem exercitus ad faciendum urbis periculum educit; simulque ad superiorem tumulum captum alios super alios submittit, qui inde ad inferiores colles occupandos processerunt. Itaque terror trepidatioque barbaros pariter omnes invadit, ubi se omni ex parte petitos circumventosque intelligunt. Maximus autem eos, qui in tumulis erant, metus occupavit, propter aquæ penuriam, ne scilicet aditu ad eam intercluderentur; itaque in oppidum hi confugiunt.

26. *Cæsar* & ipsam *Promonam*, & duos colles, qui etiam tum ab hostibus tenebantur, uno continuo muro in ambitum V. M. passuum sepire instituit. Et, dum hæc fiunt, *Testimo*, cum alia *Dalmatarum* manu auxilio obsessis venienti, obviam profectus, fudit eum & in montes fugavit: moxque, inspectante etiam tum Testimo, *Promonam cepit*, nondum omni ex parte ad finem perducta muri molitione.

A. U. 720.

τετελεσμένης. ἐκδραμόντων γὰρ τῶν ἔνδον, καὶ συνελαυνομένων ὀξέως, οἱ Ῥωμαῖοι φεύγουσιν αὐτοῖς ἐς τὴν πόλιν συνεισέπεσον, καὶ τὸ τρίτον τούτων ἔνδον ἔκτειναν· οἱ λοιποὶ δ᾽ εἰς τὴν ἄκραν ἀνέδραμον. καὶ σπεῖρα Ῥωμαίων ἐφύλασσεν αὐτοὺς ἐπὶ τῶν πυλῶν. οἷς προσπίπτουσιν οἱ βάρβαροι νυκτὸς τετάρτης, καὶ ἐξέλιπεν ἡ σπεῖρα τὰς πύλας ὑπὸ δέους. ὁ δὲ Καῖσαρ τοὺς μὲν πολεμίους ἀνέκοψε τῆς ὁρμῆς, καὶ τῆς ἐπιούσης εἷλε παραδόντας ἑαυτούς. τὴν δὲ σπεῖραν, ἣ τὸ φυλάκιον ἐξέλιπε, διακληρώσας, ἐζημίωσε θανάτῳ τὸ δέκατον· καὶ λοχαγοὺς ἐπὶ τῷ δεκάτῳ δύο. καὶ τοῖς λοιποῖς ἐκέλευεν ἐκείνου τοῦ θέρους κριθὴν ἀντὶ σίτου τραφῆναι δίδοσθαι.

XXVII. Οὕτω μὲν ἑάλω Πρωμόνα. Τέστιμος δ᾽ ὁρῶν διεσκέδασε τὸν στρατὸν ἑαυτοῦ, φεύγειν ἄλλους ἀλλαχοῦ. ὅθεν αὐτοὺς οὐκ ἐδύναντο οἱ Ῥωμαῖοι διώκειν ἐς πολύ, τήν τε διαίρεσιν σφῶν τὴν ἐς πολλὰ δείσαντες, καὶ τὴν ἀπει-

*Lin.* 40. συνέπεσον *Leid.* *L.* 42. οἱ προσπιπτ. *Aug. Ven. Leid. Sed* οἷς *margo Cod. Leid.* *L.* 43. καὶ ἐξέλειπεν *Hæsch. invit. MSS.* *L.* 45 *sq. verba* καὶ τῆς ἐπιούσης - - ἑαυτοὺς *non expressit Grad.* *L.* 48. ἐκέλευσεν *Leid.* *L.* 50. Τεύτιμος *h. l. Hæsch. cum Aug. Ven. Grad. Sed* Τέστιμος *Leid.* Teutinus *Cand. ut supra.*

tione, quam instituerat. Quum enim eruptionem tentavissent cives, repulsique acriter essent; Romani milites una cum fugientibus in urbem irruperunt. Ibi tertia fere hostium parte interfecta, reliqui in arcem se receperunt; ad cujus portas statim cohors militum Romanorum, custodiæ causa, adposita est. In hanc custodiam hostes quarta nocte impetum ex arce faciunt; & cohors, metu territa, stationem deserit. Sed impetum hostium mox repulit *Cæsar*; & postridie ejus diei ultro sese dedentes cepit. *Cohortis* autem, *quæ stationem deseruerat*, *decimum quemque* sorte ductos morte adfecit, & præter decimum militem duos insuper centuriones: *reliquis* illa æstate, *loco tritici*, *hordeum* in cibum distribui jussit.

27. *Promona* hoc modo *capta*, *Testimus*, id conspicatus, exercitum suum dispersit, aliosque alio diffugere jussit. Quapropter non longe eos persequi potuerunt Romani; quod, propter viarum ignorationem, & confusa fugientium vestigia, multas in

A. U. 720. ρίαν τῶν ὁδῶν, καὶ τὰ ἴχνη τῆς φυγῆς συγκεχυμένα. Συνόδιον δὲ αἱροῦσι πόλιν ἐν ἀρχῇ τῆς ὕλης, ἐν ᾗ τὸν Γαβινίου στρατὸν ἐνήδρευσαν οἱ Δαλμάται, περὶ φάραγγι βαθείᾳ καὶ ἐπιμήκει καὶ μέσῃ δύο ὀρῶν. ἔνθα καὶ τὸν Καίσαρα ἐνήδρευον. ὁ δὲ τό τε Συνόδιον ἐνέπρησε· καὶ ἐς τὰ ὄρη περιπέμψας ἄνω στρατὸν, ἑκατέρωθεν αὐτῷ συμπαρομαρτεῖν, αὐτὸς ᾔει διὰ τῆς φάραγγος, κόπτων τὴν ὕλην, καὶ τὰς πόλεις αἱρῶν, καὶ πάντα ἐμπιπρὰς, ὅσα κατὰ τὴν ὁδὸν ᾕρει. πολιορκουμένης δὲ πόλεως Σετουίας, ἐπῄει τις αὐτοῖς συμμαχία βαρβάρων, ἣν ὁ Καῖσαρ ὑπαντήσας ἐκώλυσεν ἐσδραμεῖν ἐς τὴν Σετουίαν. κἀν τῷ πόνῳ τῷδε ἐπλήγη λίθῳ τὸ γόνυ· καὶ ἐς πολλὰς ἡμέρας ἐθεραπεύετο. ῥαΐσας δὲ, ἐς Ῥώμην ἐπανῆλθεν, ὑπατεύσων σὺν Βολκατίῳ Τύλλῳ· Στατίλιον Ταῦρον ἐς τὰ λοιπὰ τοῦ πολέμου καταλιπών.

*Lin.* 55. Συνόδιον διαιροῦσι *vulgo omnes. Necessaria emendatione restitui locum. Lin.* 60. δι' αὐτῆς φαρ. *Leid. L.* 62 *sq.* Ἑτουίας *h. l. Aug. Ven. Leid. Sed* Setovia *Cand.* Setonia (*sic*) *Grad. L.* 64. Ἑτουΐαν *h. l. solus Leid. L.* 67. Βολβακίῳ Τύλλῳ *Hæsch. cum MSS. nostris*, Barbatio Tullo *Cand. Corruptum nomen emendavi:* & Volcatio *etiam Grad. dedit. Ibid.* Στατύλλιον *Hæsch. cum MSS.* Statylium *Cand.* Statilium *Grad. cujus emendationem recepi.*

partes se distrahere parum tutum arbitrarentur. *Synodium* vero *oppidum* capiunt, in principio silvæ positum, in qua olim *Gabinii* copiis insidiati erant *Dalmatæ*, in profunda & oblonga valle, inter duorum montium continua juga pergente: quo eodem loco etiam *Cæsari* tunc insidias collocarunt barbari. *Synodio* incenso, *Cæsar* per superiora montium partem exercitus mittit, qui paribus fere passibus utrimque cum eo procederent, dum per vallem ipse instituere iter. In eo itinere obvias silvas cecidit, oppida cepit, igneque omnia vastavit. *Setoviam* autem urbem obsidens *Cæsar*, dum adventantibus aliorum barbarorum auxiliis occurrit, eaque ingressu urbis prohibet, eo certamine lapidis ictu *sauciatur* genu; quo vulnere complures dies decumbere est coactus. Hinc ubi primum convaluit, Romam reversus est, Consulatum collega *Volcatio Tullo* gesturus; ad reliquum bellum conficiendum *Statilio Tauro* relicto.

XXVIII. Νουμηνίᾳ δ᾽ ἔτους ἀρξάμενος ὑπατεύειν, καὶ τὴν ἀρχὴν αὐτῆς ἡμέρας παραδοὺς Αὐτρωνίῳ Παίτῳ, εὐθὺς ἐξέθορεν αὖθις ἐπὶ τοὺς Δαλμάτας, ἄρχων ἔτι τὴν τῶν Τριῶν ἀρχήν· δύο γὰρ ἔλειπεν ἔτη τῇ δευτέρᾳ πενταετίᾳ τῆσδε τῆς ἀρχῆς, ἣν ἐπὶ τῇ προτέρᾳ σφίσιν αὐτοῖς ἐψηφίσαντο, καὶ ὁ δῆμος ἐπικεκυρώκει. Οἱ Δαλμάται δ᾽ ἤδη κάμνοντες ὑπὸ λιμοῦ, τῶν ἔξωθεν ἀγορῶν ἀποκεκλεισμένοι, ἐρχομένῳ τῷ Καίσαρι ὑπήντων, καὶ σφᾶς παρέδοσαν σὺν ἱκετηρίᾳ, ὅμηρά τε δόντες ἑπτακοσίους παῖδας, οὓς καὶ ὁ Καῖσαρ ᾔτει, καὶ τὰ Ῥωμαϊκὰ σημεῖα τὰ Γαβινίου· τὸν δὲ φόρον τὸν ἀπὸ Γαΐου Καίσαρος ἐκλειφθέντα ἀποδώσειν ὑποστάντες, εὐπειθεῖς ἐς τὸ ἔπειτα ἐγένοντο. Τὰ σημεῖα δὲ ὁ Καῖσαρ ἀπέθηκεν ἐν τῇ στοᾷ τῇ Ὀκταουΐᾳ λεγομένῃ. Δαλματῶν δ᾽ ἁλόντων, καὶ Δερβανοὶ προσιόντα τὸν Καίσαρα συγγνώμην ᾔτουν σὺν ἱκετηρίᾳ, καὶ ὁμήρους ἔδοσαν, καὶ τοὺς ἐκλειφθέντας φό- A. U. 721.

*Lin.* 70. Ἀντρωνίῳ *Hæsch. Leid. Grad. perperam. Recte Aug. Ven.* Antonio *Cand. Ibid.* Πέτρῳ *Hæsch. cum MSStis. Cognomen omisit Cand.* Pæto *Grad. cum quo correxi mendum. L.* 73. τῆσδε ἀρχῆς *Leid. male. L.* 78 *sq.* σημεῖα τοῦ Γαβιν. *Leid. L.* 81. ἐν στοᾷ τῇ *idem.*

28. Calendis Januariis consulatum ingressus, eodem die *Autronium Pætum* sibi in magistratu suffecit, in Dalmatiamque recurrit; Triumviratum etiam tunc constituendæ reipublicæ gerens. Duo enim anni deerant de altero quinquennio hujus imperii; quod in id tempus, post expletum prius quinquennium, ipsi *Triumviri* sibi prorogaverant, populusque confirmarat. Jam vero *Dalmatæ*, fame fatigati, externo commeatu intercluso, venienti *Cæsari* sponte obviam facti, suppliciter *se dedunt*, obsidesque pueros, numero septingentos, quos etiam postulaverat Cæsar, & Romana *Signa*, *Gabinio olim ablata*, tradunt; simulque tributum, quod a divi Julii temporibus pendere intermiserant, reddituros pollicentur. Et ab hoc quidem tempore obsequentes imperio Romano fuere. Ea signa Cæsar in *Porticu*, quæ *Octavia* dicitur, adpendi jussit. Devictis Dalmatis, *Derbani* quoque adventanti Cæsari supplices obviam prodiere, veniam oratum; obsidesque tradidere, & inter-

